Sunt qui existimant Timarchum tantis conviciis ab Æschine laceratum, vel, secundum alios, ne exspectato quidem judicio, laqueo sibi mortem conscivisse. Vide Plutarch. in vita Æschinis, Photium item Cod. CCLXIV. Ulpianum ad Demosthen. *π. παραπρεσβ.* Tzetzem in Chiliad. VI. 58. et Auctorem argumenti prioris. Interea tamen nihil istiusmodi comparet ex Demosthenis oratione quæ sequitur *de male obita legatione*, verum constat solummodo vicisse quidem Æschinem, adversariumque suum ea *infamia* perculisse, quæ his moribus ex præscripto legum debetur. Vid. pag. 59. l. 16. [§. ή.] hujusce Tomi. Ex eadem illa Demosthenis oratione etiam admoneo, nonnulla quæ Æschines in hac causa severe dixerit, hodie desiderari.

Quod in exordio hujus orationis de fuga inimicitiarum, animique sui moderatione prædicat Æschines, idem etiam inculcat in Epistola XIIma. Et laudatur profecto hoc prooemium ab Hermogene in cap. *περὶ Ἐπιεικείας*, tanquam illustre argumentum istius Characteris. De eo porro ita Dionysius quidam (sive is fuerit Dionysius Longinus, ut nonnulli arbitrantur, sive quispiam alius) ex Photii Cod. LXI. *Διονύσιος ὁ σοφιστὴς ἐντυχών ποτε τῷ κατὰ Τιμάρχου λόγῳ, καὶ τὴν ἀρχὴν ἀναγνοὺς τοῦ προοιμίου,* ——"*Εἴθε πολλοὺς ἐγράψω,*" *ἔφη,* "*εἴθε πολλοὺς ἐλύπησας, ἵνα πλείους καταλελοιπὼς ἐτύγχανες λόγους.*" *οὕτως ἥσθη τῷ χαρακτῆρι τοῦ ῥήτορος.*

Postremo, hanc causam inter alios memorat Lucian. Apolog. pro Merced. conduct. §. 7. et adv. Indoct. §. 27. Plutarch. in libello de Virtute Athen. ubi vocatur *κατὰ Τιμάρχου ἑταιρήσεως*, uti inscribitur in Argumento posteriori. In eamque perpetuam commentationem contexuit Brodæus VIII. Miscell. 7. unde quæ utiliora videri possunt, identidem excerpsi. TAYLOR.

ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ ΛΟΓΟΝ.

Pag. ed. Tayl.

9 Ἀθηναῖοι πολεμήσαντες πρὸς Φίλιππον τὸν Ὀλυνθιακὸν πόλεμον, ὕστερον δέξαν αὐτοῖς, εἰρήνην ἐποιήσαντο πρὸς Φίλιππον· καὶ συμμαχίαν αὐτῷ, καὶ τοῖς ἐγγόνοις ψηφισάμενοι, ἔπεμψαν πρὸς αὐτὸν ἔκα πρεσβεις, τοὺς ἀπολελυμένους παρ' αὐτοῦ τοὺς ὅρκους, ἐν οἷς ἦσαν Δημοσθένης τε καὶ Αἰσχίνης. ἐπανηκούσης δὲ τῆς πρεσβείας, γράφουσι παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε καὶ Τίμαρχος· Ἀρίζηλος Σφήττιος, διάσημος ὢν ἐν τῇ πολιτείᾳ, καὶ δημηγορῶν, καὶ πολλὰ ἢ ἔκα τῶν ψηφίσματα γεγραφώς. ἐτύγχανε δὲ νεωστὶ γεγραφὼς ψήφισμα βουλεύειν, τὸν ἐκφέροντα ἔπαλα πρὸς Φίλιππον, θανάτῳ ζημιοῦσθαι. Ἀποτεθείσης οὖν τῆς γραφῆς, πρὶν τὸν ἀγῶνα εἰσελθεῖν, ἐγράψατο Αἰσχίνης τὸν Τίμαρχον ὡς δημηγοροῦντα παρὰ τοὺς νόμους· οὐκ ἐξεῖναι γὰρ αὐτῷ δημηγορεῖν ἡταιρηκότι. ἔνιοι μὲν οὖν φασὶν ὡς ἀπήγξατο ὁ Τίμαρχος, τὴν κρίσιν οὐχ ὑπομείνας· οἱ δὲ, ὅτι ἀλοὺς ἠτιμώθη, ὡς Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. οὗτω δὲ περιδόξαν τὸ πρᾶγμα ἐγένετο, ὥστε ἀπὸ τῆς κρίσεως ταύτης, τοὺς πορνοὺς τὸ λοιπὸν ἐκάλουν Τιμάρχους. τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον· ἐν αὐτῷ δὲ διασυστήσας ἑαυτὸν μέτριον, ἵνα εὔνοιαν ἐπισπάσηται, καὶ τὸν Τίμαρχον διαβαλὼν, καὶ περὶ τῆς
10 πολιτείας εἰπὼν, μεταβαίνει ἐπὶ κεφάλαια, οὐ τῆς ὑποθέσεως ἴδια, ἀλλὰ κοινὰ κατὰ πάντων τῶν ἑταιρήσεως κρινομένων. ἔστι δὲ τάδε. εἰ καλῶς καὶ ἀκριβῶς τοὺς νόμους ἔθεντο οἱ παλαιοὶ περὶ τῆς τῶν παίδων εὐκοσμίας, καὶ μειρακίων, καὶ τῶν ἄλλων ἡλικιῶν· εἰ ὀρθῶς ἀπεῖπον τοῖς ἡταιρηκόσι μὴ δημηγορεῖν· καὶ ἐξῆς, εἰ παρὰ τοὺς νόμους δημηγορεῖ Τίμαρχος ἡταιρηκάς· ἐν ᾧ εἰ ἔιοχος Τίμαρχος τῇ γραφῇ ἑταιρήσας· εἰ παρὰ Μισγόλα ἡταίρησε μισθοῦ περὶ τὰ τειαῦτα εἴτι δεινῶ· εἰ παρὰ Ἀντικλεῖ ἐν τῷ κυβευτηρίῳ διατρίβων, καὶ κυβεύων ἀνελήφθη ὑπὸ Πιτταλάκου, δημοσίου δούλου τῆς πόλεως, καὶ παρ' αὐτῷ διέτριψεν ἑταιρῶν· εἰ παρὰ Ἡγησάνδρῳ τῷ Τιμομάχου ταμίᾳ διέτριψε χρόνον ἑταιρῶν.

[1] *προτεθείσης

Ἀθηναῖοι κ. τ. λ.] Miserunt illi quidem auxilia Olynthiis, sed Amphipolitanum bellum ex professo cum Philippo egerunt. Quare vide num legendum τὸν περὶ Ἀμφιπόλεως πόλεμον, aut τὸν Ἀμφιπολιτικὸν πόλεμον. Etsi hoc durius. Wolf.

Ἐτύγχανε δὲ νεωστὶ γεγραφὼς ψήφισμα βουλεύειν] Nuper scripserat decretum *senator, cum in senatu esset, cum senatorem ageret.* Senatum Atheniensem fuisse non perpetuum, sed annuum ex Ulpiano cognovimus. Ego verti, *senatusconsultum promulgarat.* Fuerunt et ψηφίσματα τοῦ δήμου, *plebiscita.* Idem. Potius, *Plebiscitum.* Jurin.

Ἀποτεθείσης] *Reposita* vel *asservata* Actione. Forte, ἀποδοθείσης, *Crimine ad prætorem delato, actione publice proposita.* Vetus [Venetus ed. *Francofurt.* 1604.] anonymus interpres harum orationum (quem posthac litera V notabo) *intermissa ea delatione, antequam ad examen judicii devenirctur.* Wolf.

Ἡταιρηκότι] Τὸ ἑταιρεῖν non est simpliciter scortari, nec tam mulierum quam marium, qui corpore quæstum faciunt. Hos a suggesto Athenienses arcuerunt, ex lege Solonis, quæ exstat apud Laertium, τὸν ἡταιρηκότα εἴργειν ἀπὸ τοῦ βήματος. Idem.

Ὅτι ἁλοὺς ἠτιμώθη] Wolfius, *condemnatum atque in ordinem coactum esse.* Potius, *ignominia affectum esse.* Nempe, qui magistratu aut quovis supra ceteros honore insignis eo dejicitur, recte dicitur in ordinem cogi, cum postea pari cum reliquis civibus jure fruatur: at qui ἀτιμᾶται, omni jure civium excidit. Jurin.

Τιμάρχους] Falli videtur scriptor argumenti. Nam antiquiorem hac causa fuisse ejusmodi appellationem patet ex §. λά. hujus Orationis. Idem.

Τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον] Σφοδρότερον, παθητικώτερον. τὰ πάθη perorationibus, τὰ ἤθη principiis sunt accommodatiora: hæc Comica, illa Tragica. Wolf.

Διασυστήσας] Malim συστήσας, deleta præpositione διά. Idem.

Οὐ τῆς ὑποθέσεως ἴδια, ἀλλὰ κοινὰ] Tractat quæstionem infinitam, propositum, locum communem. Idem.

Ἐν ᾧ] S. ζητεῖται ἢ ἐξετάζεται. Idem.

Καὶ κυβεύων κ. τ. λ.] V. *Apud Pittalacum propinatorem aliquandiu permansit, ei suo corpore deserviens.* Idem.

ΑΛΛΩΣ.

ΤΟΥΤΟΝ τὸν λόγον ὁ Αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ Τιμάρχου. ἦν δὲ ὁ Τίμαρχος τῶν ἐπὶ τὸ βῆμα προσιόντων, καὶ αὐτὸν τὸν Αἰσχίνην [1] σεσυκοφαντικάς. νόμοι δὲ εἰσι περὶ τῶν ῥητόρων κείμενοι, οὓς τινας χρὴ εἴργεσθαι [2] λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκότας, τοὺς ἡταιρηκότας, εἰ δὲ μὴ πείθοιντο, ἐξεῖναι τὸν βουλόμενον αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι, ὥςτε δοκιμάζεσθαι, εἰ ἐπιτήδειοί εἰσι λέγειν. δύο δὲ ἐγκαλῶν Τιμάρχῳ Αἰσχίνης, καὶ ὅτι ἡταίρηκε, καὶ ὅτι τὰ πατρῷα κατεδήδοκε. περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος, ὅτι τὸ πλέον τῆς κατηγορίας διὰ ταύτην ἐστί. φαίνεται δὲ νενικηκὼς τὸν ἀγῶνα, ὥς φασιν οἱ παλαιοί. δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας γράφεσθαι.

[1] σεσυκοφαντηκὼς

[2] * τοῦ λέγειν

Δοκιμασίαν κατὰ T.] Δοκιμασίαν ἐπαγγέλλειν τινὶ, *inquisitionem* vel *probationem denunciare alicui*, vel, *intendere actionem vitæ anteactæ*. Est genus actionis in eos, qui magistratu aut honore indigni putantur. ἔδει γὰρ κληρουμένους λαγχάνειν μὲν, ἄρχειν δὲ οὔ, εἰ μὴ δοκιμασθέντας, ut docet Demosthenes. V. [sc. l. 5. δοκιμάζεσθαι εἰ ἐπιτήδειοι] *popularem adversus eos fore actionem ut judicarentur, an idonei essent ad concionem* [*habendam*.] IDEM.

Σεσυκοφαντικὼς] Σεσυκοφαντηκὼς lege. IDEM.

Κατεδήδοκε] Deesse videtur post hanc vocem. Hæret enim Constructio. δύο δὲ ἐγκαλῶν Αἰσχίνης ——— περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος. TAYLOR.

Μετὰ τὰς δίκας γράφεσθαι] Probabile hoc est vel ex eo, quod multa insunt in orationibus, quæ non ratione provisa, sed ex eventu cognita, et inserta esse videantur. Cicero orationem *pro Deiotaro* negat scriptione magnopere esse dignam, et apud eundem Cato senex, *Causarum*, inquit, *illustrium quascunque defendi, nunc quam maxime orationes conficio:* et Milo de sui Ciceroniana defensione dixisse fertur, *o Cicero, si ita dixisses, ut scripsisti, Milo non esset mullos Massilienses.* WOLF.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ

ΚΑΤΑ

ΤΙΜΑΡΧΟΥ

ΛΟΓΟΣ.

Pag. et v. ed. H. Steph.

11 α. ΟΥΔΕΝΑ πώποτε τῶν πολιτῶν, ὦ ἄνδρες Ἀθη- 1.1
ναῖοι, οὔτε γραφὴν γραψάμενος, οὔτ' ἐν εὐθύναις λυπήσας,
ἀλλ', ὡς ἔγωγε νομίζω, μέτριον ἐμαυτὸν πρὸς ἕκαστα
τούτων παρεσχηκώς· ὁρῶν δὲ τήν τε πόλιν μεγάλα βλα-
πτομένην ὑπὸ Τιμάρχου τουτουὶ δημηγοροῦντος παρὰ τοὺς 5
νόμους, καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος — ὃν δὲ τρόπον,
προϊόντος ἐπιδείξω τοῦ λόγου — ἕν τι τῶν αἰσχίστων ἡγη-
σάμην εἶναι, μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ, καὶ τοῖς
νόμοις, καὶ ὑμῖν, καὶ ἐμαυτῷ. εἰδὼς δὲ αὐτὸν ἔνοχον ὄντα
οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινώσκοντος τοῦ γραμ-
ματέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνί. καὶ,
ὡς ἔοικεν, ὦ ἄνδρες Ἀθηναῖοι, οἱ εἰωθότες λόγοι λέγεσθαι 10
ἐπὶ τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς. αἱ γὰρ ἴδιαι
12 ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦνται. τοῦ μὲν

α. Οὔτε γραφὴν γραψάμενος κ. τ. λ.] Quid inter γραφὴν, εἰσαγγελίαν et id genus alia actionum genera intersit, ex Ulpiano petatur, Harpocratione item, et Suida. Venetus, γραφὴν γράψασθαι deferre, iv εὐθύναις λυπῆσαι repetundarum judicio damnare vertit [et quidem inscitissime.] Wolf.

Ἔνοχον ὄντα οἷς] Subaudi νόμοις legibus, non criminibus, ut Wolfius. Jurin.

Οἷς] Περιπλέκομαι, ὅταν αἰσχρὰ ᾖ τὰ λεγόμενα, φυλαττόμενος τὴν ἀπρέπειαν ——— ἐν τῷ κατὰ Τιμάρχου φησὶν Αἰσχίνης, ἐδεῖν δ' αὐτὸν ἔνοχον ὄντα (θέλει μὲν εἰπεῖν τῇ ποιότητι, φυλαττόμενος δὲ τὸ αἰσχεῖν, περιπλέκει λέγων) οἷς ὀλίγῳ πρότερον ἠκούσατ' ἀναγινώσκοντος τοῦ γραμματέως. Hermogen. περὶ περιπλοκῆς. Taylor.

Ἐπήγγειλα] V. hoc judicium illi denunciavi. Wolf. Ulpianus ad Androtinam, Ἐπαγγελία ἐστὶ δίκη πρὸς δοκιμασίαν τοῦ δήμου (vel, ut in margine admonemur, τοῦ βίου) καὶ ὁ Αἰσχίνης, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν. Adeoque Demosthenes in ea oratione, §. ή. fin. μὴ διὰ ταῦτα οἴου σοι προσήκειν μὴ δοῦναι δίκην, εἰ γράφεις ἡταιρηκώς, ὅτι καὶ πρὸς τοὺς θεσμοθέτας ἔσθ' ἡμῖν ἐπαγγελία. Harpocr. Ἐπαγγελία σημαίνει καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξόν· καί ἐστιν οἷον παραγγελία. Αἰσχίνης κατὰ Τιμάρχου. Vide §. ις'. med. hujus orationis. Taylor.

Ὡς ἔοικεν] V. ut credi par est. Wolf.

Ἐπανορθοῦνται] Γρ. ἐπανορθοῦσι παρὰ τῷ Ἑρμογένει. H. Stephanus. Ἐπανορθοῦσι etiam legit Stobæus, qui hoc comma laudat, pag. 244. Itemque Codd. Coisl. et Reg. 2. Locus Hermogenis, quem voluit Stephanus, est in tractatulo περὶ μεθοδ. δεινότητ. pag. 433. Edit. Crispin. Taylor. Quod malim. Auger.

οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ πόλις αἰτία οὖσα Τιμάρχῳ, οὔθ' οἱ νόμοι, οὔθ' ὑμεῖς, οὔτε ἐγώ· ἀλλ' αὐτὸς οὗτος ἑαυτῷ. οἱ μὲν γὰρ νόμοι προεῖπον αὐτῷ αἰσχρῶς βεβιωκότι μὴ δημηγορεῖν· ἐπίταγμα, ὥς γε δὴ ἐγὼ κρίνω, οὐ χαλεπὸν ἐπιτάξαντες, ἀλλὰ καὶ πάνυ ῥᾴδιον· ἐμὲ δ' ἐξῆν αὐτῷ, εἰ ἐσωφρόνει, μὴ συκοφαντεῖν.

β'. Περὶ μὲν οὖν τούτων μετρίως ἐλπίζω μοι προειρῆσθαι, οὐκ ἀγνοῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μέλλω ἐν πρώτοις λέγειν, ὅτι φανεῖσθε καὶ ἑτέρων ἤδη πρότερον ἀκηκοότες, ἀλλά μοι δοκεῖ καιρὸς εἶναι, καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ αὐτῷ τούτῳ λόγῳ χρῆσθαι. ὁμολογοῦνται γὰρ τρεῖς εἶναι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία. διοικοῦνται δ' αἱ μὲν τυραννίδες [1] καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων· αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι, τοῖς νόμοις τοῖς κειμένοις. εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τὰ μὲν τῶν δημοκρατουμένων σώματα καὶ τὴν πολιτείαν, οἱ νόμοι σώζουσι, τὰ δὲ τῶν τυράννων καὶ τῶν ὀλιγαρχιῶν, ἀπιστία, καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. φυλακτέον δὴ τοῖς μὲν ὀλιγαρχικοῖς, καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις, τοὺς ἐν χειρῶν νόμῳ τὰς πολι-

[1] καὶ αἱ ὀλιγαρχίαι

β'. Ἃ μέλλω κ. τ. λ.] Gr. ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν, φανεῖσθε κ. τ. λ. in Codd. Steph. Bern. Locker. Regg. 1. 4. itemque in Hermog. juxta locum modo laudatum. TAYLOR.

Ὁμολογοῦνται παρὰ πᾶσιν ἀνθρώποις, τρεῖς εἶναι πολιτεῖαι] Hic est ordo verborum, ut post ἀνθρώποις interpungas. ὁμολογοῦνται autem ἀντὶ τοῦ, ὁμολογεῖται ὅτι εἰσί. WOLF. Aliter ipse Æschines, qui hæc repetit in initio c. Ctesiph. εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τρεῖς εἰσὶ πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία. Tu ergo corrigas versionem hujus loci. TAYLOR.

Πολιτεῖαι] V. *administrandæ reipublicæ rationes.* WOLF.

Τοῖς τρόποις τῶν ἐφεστηκότων] Sic Isocrates, ἰσχυρότατον ἡγοῦ νόμον, τὸν τρόπον τοῦ βασιλέως. V. *moribus eorum qui præsunt confirmantur.* F. *conformantur.* IDEM.

Τῶν δημοκρατουμένων] *Populi* Wolfius: Adde, *liberi.* JURIN.

Ὀλιγαρχιῶν] Non credo hæc esse satis sana. In superioribus recte dixit τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία, et proxime, τυραννίδες, καὶ ὀλιγαρχίαι, καὶ πόλεις δημοκρατούμεναι. Ibi enim de Rebuspubl. disseritur: hic autem de *personis* ex quibus eæ Respublicæ conflantur. Intelligit nimirum τὰ σώματα τῶν δημοκρατουμένων, τῶν τυράννων, καὶ τῶν ὀλιγαρχικῶν. Ita enim legendum omnino est: uti et mox quoque legitur, φυλακτέον δὴ τοῖς μὲν ὀλιγαρχικοῖς. Mecum sentit præstantissimus Marklandus. TAYLOR. M. τυραννίδων. — τὰ τυραννίδων καὶ - - - i. e. τὰς τυραννίδας καὶ τὰς ὀλιγαρχίας. AUGER.

Ἐν χειρῶν νόμῳ] Hos Hesiodus χειροδίκας appellat, quibus jus est in armis. V. *observandum est ut eos apud se habeant qui virium lege respublicas subvertere student.* Φυλακτέον hic aliud significat, et πολιτείας non δημοκρατίας intelligit, sed est nomen generale. WOLF. Recte. TAYLOR. *Per vim atque cædem.* Herodot. in Polymn. ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νῆες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι. Polyb. lib. 4. Ὁ μὲν οὖν Ἀλέξανδρος ἐν χειρῶν νόμῳ κατ' αὐ-

τείας καταλύοντας· [1] ἡμῖν δὲ προσήκει τοῖς τὴν ἴσην καὶ τὴν 25
ἔννομον πολιτείαν ἔχουσι, [2] τοὺς παρὰ τοὺς νόμους τὶ λέγον-
τας ἢ βεβιωκότας κολάζειν. ἐντεῦθεν γὰρ ἰσχύσετε, ὅταν
13 εὐνομῆσθε, καὶ μὴ καταλύησθε ὑπὸ τῶν παρανομούντων,
καὶ ἀσελγῶς βιούντων. προσήκειν δ' ἔγωγε νομίζω, ὅταν
μὲν νομοθετῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχον-
τας καὶ συμφέροντας νόμους τῇ πολιτείᾳ θησοίμεθα· ἐπει-
δὰν δὲ νομοθετήσωμεν, τοῖς νόμοις τοῖς κειμένοις πείθεσθαι, 30
τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ δεῖ τὰ τῆς πόλεως κα-
λῶς καὶ εὖ ἔχειν. σκέψασθε γάρ, ὦ Ἀθηναῖοι, ὅσην πρόνοιαν
περὶ σωφροσύνης ἐποιήσατο Σόλων, ἐκεῖνος ὁ παλαιὸς νομο-
θέτης, καὶ ὁ Δράκων, καὶ οἱ κατὰ τοὺς χρόνους ἐκείνους
νομοθέται. πρῶτον μὲν γὰρ περὶ τῆς σωφροσύνης τῶν παί-
δων τῶν ἡμετέρων ἐνομοθέτησαν, καὶ διαρρήδην ἀπέδειξαν
ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον ἐπιτηδεύειν, καὶ ὡς δεῖ αὐ- 2.1
τὸν τραφῆναι· ἔπειτα δεύτερον, περὶ τῶν μειρακίων· τρίτον
δ' ἐφεξῆς, περὶ τῶν ἄλλων ἡλικιῶν· οὐ μόνον δὲ περὶ τῶν
ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων. καὶ τούτους τοὺς νό-

[1] ὑμῖν δὲ τοῖς τὴν

[2] * τὸ τοὺς π. τ. ν. ἢ λέγοντας

τὸν ἔπεσε τὸν κίνδυνον. Chalendas quoque Corax templo suo eum pellenti Apollini respondisse fertur, ἀλλ' ἐν χειρῶν νόμῳ ἔκτεινα. Sic enim scribendum est, non ἐκ χειρῶν νόμῳ, nec ἐν πολέμῳ γὰρ, νόμῳ ἔκτεινα, ut tradunt nonnulli. BRODÆUS.

Ἡμῖν] Ὑμῖν mavult H. Stephanus διὰ τὰ ἑξῆς ῥήματα, ἰσχύσετε, εὐνομῆσθε, καταλύησθε. Recte. atque ita Codd. Reg. 1. et Locker. Porro autem posterior ille Codex, τοὺς παρὰ τοὺς νόμους ἢ λέγοντας ἢ βεβιωκότας. TAYLOR. Lego ὑμῖν, deleo προσήκει, quod non est in aliis et a Wolfio additum fuit, necnon et κολάζειν, quod ab imperita manu in textum fuisse immissum videtur; et tunc accusativos τοὺς λέγ. &c. refero ad φυλακτέον quod præcessit. AUGER.

Ἔννομον] Minus acute Wolfius vertit *legitimam*. Rectius, *legibus fundatam*, ut discrimen sit inter talem Remp. eamque quæ *armis metuque sustinetur*. TAYLOR.

Βεβιωκότας κολάζειν] Si hi accusativi pendent a φυλακτέον, τὸ κολάζειν redundat: sin hoc verbum retinetur, legendum προσήκει κολάζειν. WOLF. διορθοῦσί τινες, κολάζειν προσήκει, ἵνα μὴ παρέλκῃ τοῦτο τὸ κολάζειν, τριῶν τῶν ἔμπροσθεν μετοχῶν φερομένων πρὸς τὸ φυλακτέον. STEPHANUS. Fortasse vox κολάζειν addita est ab imperito aliquo homuncione, qui locum aliter intelligere non potuit. TAYLOR.

Καὶ μὴ καταλύησθε κ. τ. λ.] Wolfius, *neque cuiquam licentiam detis vitam legibus contrariam et petulantem instituendi*. Minus assequi videtur mentem Oratoris. Is enim ad invidiam Timarcho conflandam subinnuit, periculum esse libertati publicæ ab ejusmodi hominibus. Quem in finem paulo ante præmisit, civium vitas et libertatem in populari republica non nisi legum præsidio conservari. Usurpatur autem τὸ καταλύησθε eodem sensu, quo καταλύειν τὸν δῆμον passim apud Demosthenem et Æschinem, et hic §. λζ'. fin. συγκαταλύειν τὸν δῆμον. Vertendum itaque, *neque libertatis periculum adeatis a legum violatoribus et turpis vitæ hominibus*. JURIN.

Ἐπειδὰν κ. τ. λ.] Potius hoc modo, ἐπειδὰν δ' ἐνομοθετήσαμεν. Ita Cod. Bern. TAYLOR.

Ἡμετέρων] Ὑμετέρων δὶς ἐν τοῖς ἑξῆς. STEPHANUS.

μους ἀναγράψαντες ὑμῖν παρακατέθεντο, καὶ ὑμᾶς αὐτῶν ἐπέστησαν φύλακας.

γ'. Βούλομαι δὴ καὶ [1]ἐγὼ πρὸς ὑμᾶς τὸν αὐτὸν τρόπον
5 χρήσασθαι τῷ λόγῳ, ὅνπερ τοῖς νόμοις ὁ νομοθέτης. πρῶτον μὲν γὰρ διέξειμι πρὸς ὑμᾶς τοὺς νόμους, οἳ κεῖνται περὶ τῆς εὐκοσμίας τῶν παίδων τῶν ὑμετέρων· ἔπειτα δεύτερον, τοὺς περὶ τῶν μειρακίων· τρίτον δὲ ἐφεξῆς, τοὺς περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ μόνον περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων. οὕτω γὰρ ἄν μοι μάλιστα ὑπολαμβάνω τοὺς λόγους εὐμαθεῖς γενέσθαι. ἅμα δὲ καὶ βούλομαι, ὦ
10 Ἀθηναῖοι, [2]διεξελθεῖν πρῶτον πρὸς ὑμᾶς, ὡς ἔχουσιν οἱ νό- 14
μοι περὶ τῆς πόλεως, πάλιν δὲ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοῦ Τιμάρχου. εὑρήσετε γὰρ αὐτὸν ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα. ὁ γὰρ νομοθέτης πρῶτον μὲν τοῖς διδασκάλοις, οἷς ἐξ ἀνάγκης παρακατατιθέμεθα τοὺς ἡμετέρους αὐτῶν παῖδας· οἷς ἐστὶν ὁ μὲν βίος ἀπὸ τοῦ σωφρονεῖν, ἡ δ' ἀπορία ἐκ τῶν ἐναντίων· ὅμως ἀπιστῶν φαίνεται, καὶ διαῤῥήδην ἀποδείκνυσι, πρῶτον μὲν ἣν ὥραν
15 προσήκει ἰέναι τὸν παῖδα τὸν ἐλεύθερον εἰς τὸ διδασκαλεῖον, ἔπειτα μετὰ πόσων παίδων εἰσιέναι, καὶ πηνίκα ἀπιέναι· καὶ τοὺς διδασκάλους τὰ διδασκαλεῖα, καὶ τοὺς παιδοτρίβας τὰς παλαίστρας, ἀνοίγειν μὲν ἀπαγορεύει μὴ πρότερον πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, κλείειν δὲ προστάττει πρὸ ἡλίου δεδυκότος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος· καὶ τοὺς νεανίσκους τοὺς εἰσφοιτῶντας, οὔστι-
20 νας δεῖ εἶναι, καὶ ἄστινας ἡλικίας ἔχοντας, καὶ ἀρχὴν, ἥτις ἔσται ἡ τούτων ἐπιμελησομένη· καὶ περὶ παιδαγωγῶν ἐπι-

[1] ἐγὼ νυνὶ πρὸς

[2] προδιεξελθεῖν

γ'. Μοι] Facessat otiosum istud vocabulum, quod nec postulat sensus, neque patitur syntaxis. Enascitur proculdubio ex voce sequente, μάλιστα. TAYLOR.

Ἅμα δὲ καὶ βούλομαι] Hic lego: ἐγὼ μὲν οὖν βούλομαι. AUGER.

Ὡς ἔχουσιν οἱ νόμοι περὶ τῆς πόλεως] V. *ut leges se habeant quæ de rep. lata exsistunt.* Malim, ὡς ἔχουσιν οἱ νόμοι οἱ τῆς πόλεως. Nam οἱ παρὰ τῆς πόλεως minus placet. WOLF. Deleo περὶ ut inutile et sensum impediens. AUGER.

Μετὰ πόσων] F. Ποίων. et, τοὺς εἰσφοιτᾶντας. WOLF. Omnino ποίων cum Wolfio. Atque ita locum dudum correxeram. Non agitur de *numero*, sed de ætate, indole, habitu et qualitate. Infra enim, τοὺς νεανίσκους τοὺς εἰσφοιτᾶντας, οὔστινας δεῖ εἶναι, καὶ ἄστινας ἡλικίας ἔχοντας. Eadem est mens doctissimi Petiti in Comment. de Legg. Attic. Lib. III. Tit. VII. TAYLOR. Imo

Τοὺς παιδοτρίβας] Male vertit Wolfius *Lanistas*, uti scite observavit ὁ μέγας Casaubonus ad Theophrast. Charact. cap. 7. qui nonnulla minime pœnitenda lectori hujusce orationis ibidem protulit. TAYLOR.

μελείας, καὶ περὶ μουσείων ἐν τοῖς διδασκαλείοις, καὶ περὶ ἑρμαίων ἐν ταῖς παλαίστραις· καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων, καὶ τῶν χορῶν τῶν ἐγκυκλίων. κελεύει γὰρ τὸν χορηγὸν, τὸν μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ εἰς ὑμᾶς ἀναλίσκειν, ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν' ἤδη ἐν τῇ σωφρονεστάτῃ αὐτοῦ 25 ἡλικίᾳ ὢν οὕτως ἐντυγχάνῃ τοῖς ὑμετέροις παισίν. ἀναγνώσεται οὖν ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεὺς, ἵν' εἰδῆτε, ὅτι ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα, ἄνδρα γενόμενον, χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ' ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας, ἐκ τῶν κακῶς τεθραμμένων παίδων παραπλησίους ἡγήσατο πολίτας ἔσεσθαι Τιμάρχῳ τουτῳί. λέγε δ' αὐ- 30 τοῖς τοὺς νόμους τούτους.

NOMOI.

Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ διδασκαλεῖα

Περὶ μουσείων] Sive sacella Musarum, sive conclavia studiosorum, vel communia omnium, vel privata singulorum, videntur intelligenda hic, et non Festum Musarum. Ἕρμαιον est τὸ εὕρημα ἢ ὠφέλημα, unde illud, κοινὸς ὁ Ἑρμῆς. Ἑρμεῖον vero, ἱερὸν τοῦ Ἑρμοῦ fortasse rectius quam Ἕρμαιον. Nam in εῖον templorum nomina permulta desinunt,ut Ἡρακλεῖον, Ἡφαιστεῖον, Ὀλυμπιεῖον. Ἕρμαια Pollux interpretatur ἑορτὴν παρώνυμον ἐξ Ἑρμοῦ, *Mercurialia, festum Mercurii*, ut Μουσῶν Μουσεῖα. V. *deque sessionibus in scholis et gymnasiis.* Wolf. Male. Taylor.

Τῶν χορῶν τῶν ἐγκυκλίων] Intelligit gregem seu cœtum ludionum et saltatorum in solennibus festis, ut Bacchanalibus, Quinquatribus, et similibus. V. *de puerorum ludi frequentatione, chorisque qui per circulos haberi solent.* Wolf.

Ὑπὲρ τετταράκοντα ἔτη] Recte igitur vapulavit a Midia Demosthenes, qui contra legem sese ædilem designarit annos circiter 32 natus. Sed ipse scribit se οὐ παισὶν ἀλλ' ἀνδράσι χορηγῆσαι. Idem. Objectionem uno oris spiritu et adduxit et refutavit Wolfius. Utinam et eadem facilitate et istud quoque refutasset, quod observabatur a Petito LL. Attic. Lib. III. Tit. VII. nempe eum, cui ἀπολογίαν δοκιμασίας scripsit Lysias (pag. Edit. Lond. 373.) anno 2do. Olymp. XCII^{da} in viros esse relatum, quod circa ætatis annum XXVI^{tum}. ut plurimum fieri solebat, anno vero ultimo Olympiadis sequentis, aut saltem proximo, constitutum fuisse χορηγὸν παιδικῷ χορῷ. Hanc legem laudavit Harpocratio in v. Ὅτι νόμος, ex hoc loco Æschinis, et ex Aristotele ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Taylor.

Οὕτως] Ita edendum curavi pro vulgato οὗτος, nactus fidem Codd. Bern. Locker. Coisl. et Reg. 2. *ut in sobria et severa ætate positus*, οὕτως, ita demum *inter pueros civitatis versetur.* Quantum hæc alteri lectioni præstet, discas abunde ex iis quæ annotavi ad Midianam, §. μγ'. init. Idem.

NOMOI] Quotcunque ad LL. Atticas commentati sunt, sequentia verba pro una ac perpetua lege venditant: cum tamen satis constare arbitror ex toto hoc commate — ἀναγνώσεται τοὺς νόμους ὁ γραμματεὺς — λέγε τοὺς νόμους — NOMOI etc. Æschinem non unam et continuam legem scribæ legendam porrexisse, sed particulas plures ex diversis titulis Codicis Soloniani excerptas. Quin et idem suadet tenor legis et allegandi ratio. Hoc modo igitur distinximus:

Οἱ δὲ τῶν παίδων διδάσκαλοι κ. τ. λ.

καὶ,

Οἱ γυμνασιάρχαι τοῖς ἑρμαίοις κ. τ. λ.

Eandem quoque curam adhibebis in fine,

μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύνοντος. καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ [1]ἀδελφοῦ ἢ θυγατρὸς ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ, θανάτῳ ζημιούσθω. Καὶ οἱ γυμνασιάρχαι τοῖς ἑρμαίοις μὴ ἐάτωσαν [2]συγκατιέναι
35 μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν δὲ ἐπιτρέπῃ καὶ μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος ἔστω ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. Οἱ δὲ χορηγοὶ οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.

δ'. Μετὰ ταῦτα τοίνυν, ὦ Ἀθηναῖοι, νομοθετεῖ περὶ
40 ἀδικημάτων, μεγάλων μὲν, γινομένων δ', οἶμαι, ἐν τῇ πόλει. ἐκ γὰρ τοῦ πράττεσθαι τινὰ ὧν οὐ προσῆκεν, ἐκ τούτου τοὺς νόμους ἔθεντο οἱ παλαιοί. διαῤῥήδην γοῦν λέγει ὁ νόμος, ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς 16
ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων τις, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὴν ἑταιρήσεως εἶναι· κατὰ δὲ τοῦ μισθώσαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε, τοῦ δέ φησιν ὅτι ἐμισθώσατο, καὶ ἴσα τὰ ἐπιτίμια ἑκατέρῳ

[1] ἀδελφὸς [2] συγκαθιέναι

ubi quoque latet tertia lex a prioribus sejungenda,

Οἱ δὲ χορηγοὶ οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.

Neque enim connectit articulus δὲ ea quæ hic leguntur, verum ea quæ præcesserunt in proprio loco, unde hoc fragmentum legis decerpitur. Eodem modo allegatur prima particula harum legum, ubi articulus nullum omnino usum habere poterit, præter eum quem declaravimus: Οἱ δὲ τῶν παίδων διδάσκαλοι κ. τ. λ. Vid. Lect. Lysiac. c. XI. p. 716. Atque hæc hactenus. Neque interea admodum sana sunt verba ipsa legis. Quare enim ἀδελφοῦ [l. 3.]? Quo animo dicitur? qua constructione? Quorsum pertinet? Tu legas omnino cum optimo Lockeriano Cod. et Reg. 2. ἀδελφός. Vides jam recte excipi omnes eos qui Magistro vel sanguine vel affinitate essent conjuncti, *filium*, FRATREM, *generum*. Atque ita vertisse video Wolfium, veræ licet lectionis, ut videtur, inscientem. Ejusdem quoque consilii optimum Marklandum nostrum esse comperio. IDEM.

Ἢ ἀδελφοῦ] Legendum puto, ἢ ἀδελφός. JURIN. Imo ἀδελφός. Distingue cum Tayloro, quia hic sunt plures leges. Vide interpretationem meam Gallicam. AUGER.

Τοῖς ἑρμαίοις] Ἐν τῇ Ἑρμοῦ ἑορτῇ. WOLF.

Συγκαθιέναι] Παρὰ τὸ συγκαθίημι *una demitto*. Malim συγκαθιέναι [voluit συγκατιέναι dixisse] *una descendere*, παρὰ τὸ συγκάτειμι, ἀπὸ τοῦ εἶμι, τοῦ πορεύομαι. IDEM. συγκαθιέναι Aldini Codd. aliique, corrigente tamen Scaligero. TAYLOR. συγκαθιέναι, subaudi ἑαυτὸν, *se ipsum demittere*. AUGER.

δ'. Ἐκ γὰρ τοῦ πράττεσθαι] Hinc illud Solonis de nulla pœna parricidæ constituta. WOLF. Καὶ ἐπινενόηνται νόμοι, τῆς χρείας ἐνεγκάσης αὐτοὺς, ὡς καὶ Αἰσχίνης φησὶν, ἐκ γὰρ τοῦ γίγνεσθαί τινα ὧν μὴ δεῖ, ἐκ τούτου τοὺς νόμους ἔθεντο οἱ παλαιοί. Sopater ad Hermogen. περὶ στάσεως. Πρῶτον γὰρ ὑπῆρχε τὰ πράγματα, καὶ οὕτω νόμοι ἐτέθησαν. ὡς καὶ Αἰσχίνης φησὶν, ἐκ γὰρ τοῦ τινὰς ἁμαρτάνειν, τοὺς νόμους ἔθεσθε. Id. p. 87. TAYLOR.

Ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν] V. *si quem quæstu locarit, ut se prostituat*. WOLF. τινα nempe παῖδα. AUGER.

Τις] Μετὰ τὸ τις τελείαν στιγμὴν θετέον, ἢ γρ. οὐκ ἐᾷ. STEPHANUS.

πεποίηκε. καὶ, μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ ἡβή- 3.1
σαντι τρέφειν τὸν πατέρα μηδὲ οἴκησιν παρέ-
χειν. ὃς ἂν [1]ἐκμισθωθῇ ἑταιρεῖν, ἀποθανόντα
δὲ θαπτέτω καὶ τἄλλα ποιείτω τὰ νομιζόμε-
να. σκέψασθε δὴ ὡς καλῶς, ὦ Ἀθηναῖοι, ζῶντος μὲν αὐ-
τοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιΐας, ὥσπερ ἐκεῖνος
τοῦ παιδὸς τὴν παῤῥησίαν· τελευτήσαντα δὲ αὐτὸν, ἡνίκα 5
ὁ μὲν εὐεργετούμενος οὐκ ἔτι αἰσθάνεται ὧν εὖ πάσχει, τι-
μᾶται δὲ ὁ νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει, καὶ
τἄλλα ποιεῖν τὰ νομιζόμενα. [2]καί τινα ἕτερον νόμον ἔθηκε,
φύλακα τῶν ἡμετέρων [3]παίδων, τὸν τῆς προαγωγείας, τὰ
μέγιστα ἐπιτίμια ἐπιγράψας, ἐάν τις ἐλεύθερον παῖ-
δα ἢ γυναῖκα προαγωγεύσῃ. καὶ ποῖον ἄλλον; τὸν
τῆς ὕβρεως, ὃς ἑνὶ κεφαλαίῳ πάντα τὰ τοιαῦτα συλλαβὼν 10
ἔχει. ἐν ᾧ διαῤῥήδην γέγραπται, ἐάν τις ὑβρίζῃ εἰς παῖδα,
— ὑβρίζει δὲ δήπου ὁ μισθούμενος —, ἢ ἄνδρα, ἢ γυναῖκα,
ἢ τῶν ἐλευθέρων τινὰ, ἢ τῶν δούλων, ἢ ἐὰν παράνομόν τι
17 ποιῇ εἰς τούτων τινὰ, γραφὰς ὕβρεως εἶναι πεποίηκε, καὶ
τίμημα ἐπέθηκεν ὅ, τι χρὴ παθεῖν ἢ ἀποτίσαι. λέγε τὸν
νόμον.

ΝΟΜΟΣ.

[4]Ἂν τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ, γραφέσθω ὁ κύριος
τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας, τίμημα ἐπιγραψάμενος, [4]ὃ 15
ἂν τὸ δικαστήριον [5]καταψηφίσηται, παραδοθεὶς [6]δὲ τοῖς ἱά τε-

[1] ἐκμισθάσῃ [2] καὶ τίνα [3] παίδων; [4] ᾧ [5] καταψηφισθῇ
[6] Deest δέ.

Παῤῥησίαν] *Libertatem*, Wolfius. Potius, *dicendi libertatem*. Nempe, ei qui corpus prostituerat, vetitum erat inter alia, sententiam publice dicere. Jurin.

Καί τινα] Rescribo, καὶ τίνα ἕτερον νόμον ἔθηκε, φύλακα τῶν ἡμετέρων παίδων; τὸν τῆς προαγωγίας. *quamnam præterea legem tulit, nostrorum liberorum custodem? legem de lenocinio.* Infra enim, καὶ ποῖον ἄλλον; τὸν τῆς ὕβρεως. Idem etiam submonuit Cl. Marklandus. Taylor.

Ἢ γυναῖκα προαγωγεύσῃ] V. si *perductor esset*. Wolf.

Καὶ ποῖον ἄλλον;] S. νόμον ἔθηκεν ὁ νομοθέτης. Idem.

Γραφὰς κ. τ. λ.] V. *dat lex contumeliæ actionem, pœnamque definivit, quid pati, quidve mulctæ nomine solvere tenetur.* Idem.

Γραφέσθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας] V. *Qui eum puerum in potestate habet, reum deferat ad præfectos prætorio, taliomique se subscribat.* Idem.

Ὅτι ἂν τὸ δικαστήριον καταψηφισθῇ] Malim, Ὃ ἂν (sc. τίμημα) τὸ δικαστήριον καταψηφίσηται, et mox [l. ead.] παραδοθεὶς δὲ [abest enim a vulgatis.] Idem. διορθοῦσι τινές, οὗ ἂν, ἄλλοι δὲ, ὃ ἄν. Stephanus. Vexatissimum hunc locum alii aliter tentarunt. Vide quid Petitus Attic. Legg. Lib. VI. Tit. V. " Varie emendant docti: alii enim reponunt, οὗ ἂν τὸ δικαστήριον, alii emendant, ὃ ἂν τὸ δικαστήριον. Ego vero nullus dubito aliquid deesse; itaque e sequentibus rescribendum suspicor, γραφέσθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας, τίμημα ἐπιγραψάμενος· θανάτου δ' ἂν τὸ δικα-

θνάτω αὐθημερόν· ἐὰν δὲ εἰς ἀργύριον καταψηφισθῇ, ἀποτισάτω ἐν ἱά ἡμέραις μετὰ τὴν δίκην, ἐὰν μὴ παραχρῆμα δύνηται ἀποτίνειν, ἕως δὲ τοῦ ἀποτίσαι εἰρχθήτω· ἔνοχοι δὲ ἔστωσαν ταῖσδε ταῖς αἰτίαις καὶ οἱ εἰς τὰ οἰκετικὰ σώματα ἐξαμαρτάνοντες.

20 ἴσως ἂν οὖν τις θαυμάσειεν, ἐξαίφνης ἀκούσας, τί δή ποτε τῷ νόμῳ τῷ τῆς ὕβρεως προσεγράφη τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. τοῦτο δὲ ἐὰν σκοπῆτε, εὑρήσετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι [1]τοῦτο πάντων ἄριστα ἔχει. οὐ γὰρ ὑπὲρ τῶν οἰκετῶν [2]ἐσπούδασεν ὁ νομοθέτης, ἀλλὰ βουλόμενος ἡμᾶς ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως, προσέγραψε μηδ' εἰς τοὺς δούλους ὑβρίζειν. ὅλως δὲ ἐν δη-
25 μοκρατίᾳ τὸν εἰς ὁτιοῦν ὑβριστὴν, τοῦτον οὐκ ἐπιτήδειον ἡγήσατο εἶναι συμπολιτεύεσθαι.

ε. Κἀκεῖνο δέ μοι συνδιαμνημονεύσατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐνταῦθα ὁ νομοθέτης οὕτω διαλέγεται αὐτῷ τῷ σώματι τοῦ παιδὸς, ἀλλὰ τοῖς περὶ τὸν παῖδα, πατρὶ, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις, καὶ ὅλως τοῖς κυρίοις· ἐπειδὰν 18
δ' ἐγγραφῇ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, καὶ τοὺς νό-

[1] [τοῦτο]

[2] ἐσπούδακεν

στήριον καταψηφισθῇ, παραδοθεὶς τοῖς ἕνδεκα, τεθνάτω αὐθημερόν. Atque ista referuntur ad judices Heliastas, penes quos arbitrium est aut morti addicendi, aut mulctandi corruptores: est quippe τιμητὸς ἀγών." Sequitur Heraldus Animadvers. in Salmas. Lib. V. Cap. XVIII. §. 14. "τίμημα ἐπιγραψάμενος * * * * * * * ὃ ἂν τὸ δικαστήριον καταψηφισθῇ, παραδοθεὶς δὲ τοῖς ἱά κ. τ. λ. *Is in cujus erat potestate, sive pater, sive tutor, corruptorem accusare poterat, et publico judicio persequi, libello Thesmothetis dato, litis æstimationem continente.* Post hæc verba τίμημα ἐπιγραψάμενος, deest aliquid, quod vidit etiam Samuel Petitus, et supplere voluit. Sententiam legis conjicere difficile non est: verba quæ desunt supplere non est facile." Nescio sane annon noster Wolfius hic se imperiose satis gesserit, qui locum ex suo ingenio concoctum ita in Editis dederit. Accedit quod ex verbis ita sollicitatis ne hilum quidem proficiat. Antiqua forsan lectio est veræ proximior, et nihil restat supplendum cum Petito et Heraldo. γραφέσθω ὁ κύριος —— τίμημα ἐπιγραψάμενος· οὗ ἂν τὸ δικαστήριον καταψηφίσηται, παραδοθεὶς τοῖς ἱά, τεθνάτω αὐθημερόν. *Hominem accusato, litis æstimatione adscripta. Quem si judices morte condemnaverint, morte mulctetur eo ipso die; sin argento tantum* etc. TAYLOR. Legerem cum Samuele Petito. AUGER.

Τοῦτο δὲ] Dele istud incisum post δὲ, quod nescio annon mea incuria huc irrepsit, τοῦτο δὲ ἐὰν σκοπῆτε, nulla distinctione. Id satius est. TAYLOR.

Τοῦτο πάντων] Τοῦτο cum Reiskio delendum arbitror. AUGER.

Οὐ γὰρ ὑπὲρ τῶν οἰκετῶν] Cur vero non? An non et servi homines sunt? Plus ne valere debet Fortunæ, ac potius superborum hominum tyrannis, quam Naturæ judicium? Demosthenes quidem in Midiana legis hanc appendicem ad insignem laudem humanitatis Atheniensium refert. WOLF.

Ὁτιοῦν] Melius fortasse cum Bern. ὀντινοῦν, *qui contumeliose* quemcumque *tractaverit.* Ita etiam Cod. Locker. ὁτιοῦν a manu secunda. TAYLOR. Plane rescribendum, εἰς ὀντινοῦν. Nempe in eo totus est Orator hoc in loco, ut ostendat nemini injuriam facere licere, neque ingenuo, neque servo. JURIN. M. ὀντινοῦν. AUGER.

ε. Αὐτῷ τῷ σώματι τοῦ παιδὸς] V. *de pueri capite.* WOLF.

Ἐπειδὰν δὲ ἐγγραφῇ] S. ὁ παῖς. IDEM.

Ἐγγραφῇ] Restituo ἐγγραφεὶς. BRODÆUS. ἐγγραφῇ τις Coisl. et Reg. 2.

μους γνῷ καὶ εἰδῇ τοὺς τῆς πόλεως, καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μή, οὐκ ἔτι ἑτέρῳ διαλέγεται, 30
ἀλλ' ἤδη αὐτῷ [1] Τιμάρχῳ. καὶ πῶς λέγει; ἄν τις Ἀθηναίων, φησὶν, ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι — ὅτι, οἶμαι, στεφανηφόρος ἡ ἀρχὴ —, μηδ' ἱερωσύνην ἱεράσασθαι — [2] ὃς οὐδὲ καθαρῷ διαλέγεται τῷ σώματι —· μηδὲ συνδικησάτω, φησὶ, τῷ δημοσίῳ· μηδὲ ἀρξάτω ἀρχὴν μηδεμίαν μηδέποτε, μήτ' ἔνδημον, μήτε ὑπερόριον, μήτε κληρωτὴν, μήτε χειροτονητήν· μηδὲ 35
κηρυκευσάτω, μηδὲ πρεσβευσάτω, μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω, μηδὲ συκοφαντείτω μισθωθείς· μηδὲ γνώμην εἰπάτω μηδέποτε, μήτε ἐν τῷ δήμῳ, μήτε ἐν τῇ βουλῇ, μηδ'

[1] [Τιμάρχῳ]

[2] *ὡς

Utrumque sine necessitate. TAYLOR.

Ληξιαρχικὸν γραμματεῖον] Παρὰ τὴν λῆξιν τῶν ἀρχῶν, quod civi Atheniensi licebat remp. capessere, et adipisci magistratus. V. *posteaquam in librum eorum qui in suam tutelam venerint, est relatus.* Alibi vertit, *in pubertatis codicem relatus.* WOLF. ληξ. γραμ. in quod puerorum nomina referebantur, qui jam tutelæ suæ facti erant. BRODÆUS. Scholiastes ita, τὴν ἐφημερίδα λέγει τὴν δημοσίαν, εἰς ἣν ἐνεγράφοντο οἱ τελεσθέντες τῶν παίδων οἷς ἐξὴν ἤδη τὰ πατρῷα οἰκονομεῖν, καὶ τῶν λήξεων ἄρχειν. Atque similiter Harpocratio, sed aliquanto plenius. Fui olim in ea sententia, hæc eapropter dici, quoniam tunc temporis tolleretur, *desineret* patria *potestas.* Verum intercessit Jul. Pollux VIII. §. 104. Ὁ δὲ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφεὶς, ἤδη τὰ πατρῷα παρελάμβανεν· ἡ δὲ πατρῴα οὐσία καὶ λῆξις ἐκαλεῖτο. TAYLOR.

Στόματι] Στόματι legit et interpretatur Wolfius. Haud scio annon rectius. Ecquis enim τῷ στόματι διαλέγεται? Noster π. παραπρεσβ. Ὁ δὲ, οὐδὲν ἄπωρατον ἔχει μέρος τοῦ στόματος, οὐδ' ὅθεν τὴν φωνὴν προίεται. Et rursus, κίναιδον αὐτὸν προσειπὼν, καὶ μὴ καθαρεύοντα τῷ στόματι, μηδ' ὅθεν τὴν φωνὴν ἀφίησιν. IDEM. Plane legendum τῷ στόματι, et ita vertit Wolfius. JURIN. Δ. Τ. στόματι. STEPHANUS.

Μηδὲ συνδικησάτω τῷ δημοσίῳ] Wolfius, *neque publicæ causæ patronus esto.* Immo, *neque sit ex judicum numero,* qui ex populo sorte ducuntur. Item in lege ipsa recitanda paulo infra, μηδὲ συνδικῆσαι τῷ δήμῳ, pro, *non populi causam agere,* vertendum, *ne judicet una cum populo.* JURIN.

Τῷ δημοσίῳ] Infra τῷ δήμῳ. BRODÆUS. M. τῷ δήμῳ, ut infra legitur in lege. AUGER.

Μηδὲ συκοφαντείτω] Hæc Æschines exagitandi adversarii causa inservit legi, ut et supra Timarchi nomen adjecit. WOLF. Non Legi, mi homo, cujus *diseria* verba Æschines non jam recenset, proxime, sc. l. 7. p. seq. αὐτολεξεὶ recensiturus. Et, ut id moneam, (nam nonnullis hæc locutio scrupulum injecit) summo artificio ab Oratore nostro non semel factum est, ut Timarchi *nomen,* mores artemque, civitatis suæ institutis pene intertexeret, quæ Legislator, ut debuit, generali loquendi modo præscripsit. Quod cum subdole fecit, summaque arte (quasi leges non in facinorosum quendam, sed in Timarchum ipsum, veluti facinorum omnium exemplar, ferrentur) tum Orationi ipsi vim et δεινότητα maximam conciliat. Ita l. 2. supra οὔκ ἔτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὐτῷ τῷ Τιμάρχῳ. Ita hic quoque, *Neque jus dicat, neque causam oret:* Ille tamen, a Timarchi moribus arrepta pulcre occasione, μηδὲ συκοφαντείτω μισθωθεὶς, dixit. Similiter, §. λβ'. med. fingit causam agi inter τὸν δεῖνα μισθωσάμενον, καὶ τὸν δεῖνα μισθωθέντα: Ubi versutissime generalem hypothesin ad Timarchum et Demosthenem privatim convertit: οὐκοῦν ὁ πρεσβύτερος — ἐρεῖ, Ἐμισθωσάμην, ὦ Ἀθηναῖοι, Τίμαρχον ἑταιρεῖν ἐμαυτῷ κατὰ τὸ γραμματεῖον τὸ παρὰ Δημοσθένει κείμενον. TAYLOR. Suppose an Athenian did *not* ἑταιρεῖν, was he therefore allowed by the Laws συκοφαντεῖν? Surely this is impossible. MARKLAND.

Μηδ' ἂν δεινότατος κ. τ. λ.] Videntur et hæc esse non Legis, sed Æschinis verba. WOLF.

ἂν δεινότατος ᾖ λέγειν Ἀθηναίων. ἐὰν δέ τις παρὰ ταῦτα πράττῃ, γραφὰς ἑταιρήσεως πεποίηκε, καὶ τὰ μέγιστα ἐπιτίμια ἐπέθηκε. λέγε αὐτοῖς καὶ τοῦτον τὸν νόμον, ἵν'
40 εἰδῆτε, οἵων [1]ἡμῖν κειμένων νόμων, ὡς καλῶν καὶ σωφρόνων, τετόλμηκε Τίμαρχος δημηγορεῖν, ὁ τοιοῦτος τὸν τρόπον οἷον ὑμεῖς ἐπίστασθε.

[2]Ἄν τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, μηδ' ἱερωσύνην ἱερώσασθαι, μηδὲ συνδικῆσαι τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν μήτε ἔνδημον μήτε ὑπερόριον μήτε κληρωτὴν μήτε χειροτονητὴν, μηδ' ἐπὶ κηρυκείαν ἀποστελ- 19
4. 1 λέσθω, μηδὲ γνώμην λεγέτω, μηδ' εἰς τὰ δημοτελῆ ἱερὰ εἰσίτω, μηδ' ἐν ταῖς κοιναῖς στεφανηφορίαις στεφανούσθω, μηδ' ἐντὸς τῶν τῆς ἀγορᾶς περιῤῥαντηρίων πορευέσθω· ἐὰν δέ τις ταῦτα ποιῇ, καταγνωσθέντος αὐτοῦ ἑταιρεῖν, θανάτῳ ζημιούσθω.

ς'. Τοῦτον μὲν τὸν νόμον ἔθηκε περὶ τῶν μειρακίων τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματα ἐξαμαρτανόντων· οὓς δὲ
5 ὀλίγῳ πρότερον ὑμῖν ἀνέγνων, περὶ τῶν παίδων· οὓς δὲ νυνὶ μέλλω λέγειν, περὶ τῶν ἄλλων Ἀθηναίων. ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων, ἐσκέψατο, τίνα χρὴ τρόπον συλλεγομένους ὑμᾶς εἰς τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ τῶν σπουδαιοτέρων πραγμάτων· καὶ πόθεν ἄρχεται; Νόμοι φησὶ περὶ Εὐκοσμίας. ἀπὸ σωφροσύνης πρῶτον [3]ἤρξατο· ὡς ὅπου πλείστη εὐκοσμία ἐστὶ, ταύτην ἄριστα τὴν
10 πόλιν οἰκησομένην. καὶ πῶς δὲ κελεύει τοὺς προέδρους χρηματίζειν; ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ,

[1] ὑμῖν [2] Νόμος. Ἄν τις [3] ἤξατο

Πεποίηκε] Nempe ὁ νόμος. AUGER.

Οἵων ἡμῖν κειμ.] *Quas inter leges a vobis latas, quam pulcras et honestas.* WOLF.

Ἄν τις] Δοκεῖ πρὸ τούτων λείπειν τὸ ΝΟΜΟΣ. STEPHANUS. Habet Locker. et Coisl. TAYLOR.

Ἀποστελλέσθω] Post ἀποστελλέσθω, mihi, ut Reiskio, addendum videtur μηδ' ἐπὶ πρεσβείαν. AUGER.

Δημοτελῆ] Δημόσια. WOLF. Errat homo, si hæc emendandi animo scripserit. TAYLOR.

Ἐν ταῖς κοιναῖς στεφανηφορίαις] *Cum tota coronatur civitas.* BRODÆUS.

Περὶ τῶν ῥαντηρίων] Legendum videtur μηδ' ἐντὸς τῶν τῆς ἀγορᾶς περιῤῥαντηρίων πορευέσθω. Forum aqua lustrali in circuitu conspergi solitum fuisse conjicio. WOLF. πρ. γρ. ἐντὸς τῆς ἀγορᾶς περὶ τῶν ῥαντηρίων. STEPHANUS. Rectius τῶν ἐν τῇ ἀγορᾷ περιῤῥαντηρίων meminit Aristides Panathen. or. SALMAS. Lectionem Codd. Ald. cum Wolfio recte emendarunt H. Stephanus et Brodæus, quemadmodum nos quoque exhibuimus ex Cod. Bern. aliisque. TAYLOR.

Καταγνωσθέντος αὐτοῦ ἑταιρεῖν] Ἀντὶ τοῦ, καταγνωσθεὶς ἑταιρεῖν, hoc est, μετὰ τὴν κατάγνωσιν. WOLF.

ς'. Ἔθηκε] Nempe ὁ νομοθέτης. AUGER.

Οἰκησομένην] Φησὶ subauditur, aut ἡγήσατο. BRODÆUS. Ἀττικὴ ἀντίπτωσις, ἀντὶ τοῦ, ταύτης τῆς πόλεως οἰκησομένης, τουτέστιν ἄριστα πραξούσης, sicut εὖ οἰκεῖν πόλιν. WOLF. Rectius. TAYLOR.

Ἐπειδὰν τὸ καθάρσιον] Vide Aristoph. Acharn. 43. cujus scholiastes hunc locum Æschinis laudat et illustrat, Har-

καὶ ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται, προχειροτονεῖν κελεύει τοὺς προέδρους περὶ ἱερῶν τῶν πατρίων καὶ κηρύκων καὶ πρέσβεων καὶ ὁσίων· καὶ μετὰ ταῦτα ἐπερωτᾷ ὁ κῆρυξ, Τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων; ἐπειδὰν δὲ οὗτοι πάντες εἴπωσι, τότε ἤδη κελεύει λέγειν τῶν ἄλλων Ἀθηναίων τὸν
20 βουλόμενον, οἷς ἔξεστι. σκέψασθε δὴ ὡς καλῶς, ὦ ἄνδρες 15
Ἀθηναῖοι. οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης, ὅτι οἱ πρεσβύ-

pocrat. item v. Καθάρσιον, et Maussacum in notis. Idem.

Προχειροτονεῖν] Wolfius, *in primis decernere:* Potius, *referre ad concionem*, vel, *decernendi potestatem facere.* Jurin.

Καὶ ὁσίων] Δημοσίων. Nam ἱερῶν antecessit. Wolf. Et ego quoque in hac mente fui, cum et hunc locum, et alium similem Lysiæ contra Nicomachum dudum mutaveram. Verum viri doctissimi monitu ea quæ ibi dixi pro indictis haberi velim. Nam in Psephism. de Plataensibus apud Demosth. c. Neær. pag. 1380. ed. R. Ἱπποκράτης εἶπε. Πλαταιέας εἶναι Ἀθηναίους; ἀπὸ τῆσδε τῆς ἡμέρας ἐντίμους, καθάπερ οἱ ἄλλοι Ἀθηναῖοι· καὶ μετεῖναι αὐτοῖς, ὅσπερ Ἀθηναίοις μέτεστι, πάντων καὶ ἱερῶν καὶ ὁσίων. Demosth. adv. Macartat. pag. 1067. ed. R. Νόθῳ δὲ μηδὲ τίθη μὴ εἶναι ἀγχιστείαν, μήτε ἱερῶν, μηθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος. Similiter in jurejurando Epheborum, quod exstat apud Stobæum, Serm. XLI. et Iul. Polluc. VIII. §. 105. ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὑπὲρ ὁσίων. Et Lycurgus etiam nostræ Edit. pag. 204. Ποῦ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν ὁ μηδένα κίνδυνον ὑπομείνας; Thucyd. II. 52. Ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως. Antiph. de Herod. cæde Edit. Steph. pag. 136. ἀπιστήσει δὲ αὐτὸν ἱερῶν καὶ ὁσίων, καὶ τῶν ἄλλων ἅπερ μέγιστα καὶ περὶ πλείστου ἐστὶν ἀνθρώποις. Maxim. Tyr. Dissert. XXII. init. Ἀλκεὶ Ἀναξαγόρας, γεγονὼς μὲν ἐν τῇ Κλαζομενίων γῇ καὶ πόλει, καὶ μετασχὼν ἱερῶν, καὶ ὁσίων, καὶ νόμων, καὶ τροφῆς, καὶ τῶν ἄλλων ὧν καὶ οἱ λοιποὶ Κλαζομένιοι. His addas licet quæ habet Demosthenes noster in Aristocratea, pag. 633. ed. R. πρῶτον μὲν τῆς πατρίδος, καὶ τῶν ἐν ταύτῃ πάντων καὶ ὁσίων καὶ ἱερῶν. Et pag. 641. μετεδίδομεν αὐτῷ καὶ ἱερῶν, καὶ ὁσίων, καὶ νομίμων, καὶ πάντων ὅσων περ αὐτοῖς μέτεστιν ἡμῖν. Similiter in Timocratea pag. 703. ed. R. Εἰ δὲ τις οὐδέ τινα ἢ τῶν ἱερῶν ἢ τῶν ὁσίων χρημάτων ἔχοντά τι τῆς πόλεως. Et pag. 730. Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν διοίκησιν ἀναιρεῖ, τήν θ' ἱερὰν καὶ τὴν ὁσίαν. Rursus ibid. τοὺς ἔχοντας τά τε ἱερὰ καὶ τὰ ὅσια χρήματα, καταβάλλειν εἰς τὸ βουλευτήριον. Et pag. 732. πάντα τὰ πράγματα ἀναιρεῖ, δῆμον, ἱππέας, βουλήν, ἱερὰ, ὅσια. Pag. 735. Ἔδει ἃ πάλαι ὑφῆρετο τῆς πόλεως χρήματα καταβεῖναι, τὰ μὲν ἱερὰ, τὰ δ' ὅσια. Et ibid. ὑφείλοντο χρήματα πολλὰ, τὰ μὲν ἱερὰ, τὰ δ' ὅσια. Deinde pag. 743. δόξαντας ἔχειν ἱερὰ χρήματα καὶ ὅσια. Quæ quidem omnia ita discerni videntur ut ἱερὰ ad Religionem, ὅσια ad Remp. spectarent: quemadmodum quoque inter *Res sacras* et *publicas* (vel potius eas quæ sunt *Universitatis*) distinguit Jurisprudentia Romana. Hoc elucescet ex iis quæ subjungimus. Demosthenes idem in Timocratea pag. 702. ed. R. τίθησι τοιγοῦν τὸν νόμον, δι' οὗ τῶν ἱερῶν μὲν χρημάτων τοὺς θεοὺς, τῶν ὁσίων δὲ τὴν πόλιν ἀποστερεῖ. Iterum, pag. 737. quem locum, etsi prolixior paulo sit, describam tamen. Καίτοι ἔστις ἐν δημοκρατίᾳ νομοθετῶν μήθ' ὑπὲρ τῶν ἱερῶν, μήθ' ὑπὲρ τοῦ δήμου νομοθετεῖ —— πῶς οὐ δίκαιός ἐστι τῆς ἐσχάτης τιμωρίας τυχεῖν; οὐ γὰρ δὴ ἐρεῖ, ὡς τοὺς τοιούτους οὐ καὶ προσήκει, καὶ οἱ νόμοι κελεύουσι ταῖς μεγίσταις τιμωρίαις ἐνόχους εἶναι, οὐδ' ὡς οὗτοι, ὑπὲρ ὧν εἵνεκε τὸν νόμον, οὐ καὶ κλέπται καὶ ἱεροσυλοί εἰσι, τὰ μὲν ἱερὰ, τὰς δεκάτας τῆς θεοῦ, καὶ τὰς πεντηκοστὰς τῶν ἄλλων θεῶν σεσυληκότες, καὶ ἀντὶ τοῦ ἀποδοῦναι, αὐτοὶ ἔχοντες, τὰ δ' ὅσια, ἃ ἐγίγνετο ὑμέτερα, κεκλοφότες. Omnino vide Harpocr. v. Ὅσιον, Valesium ad locum, et, qui ad Valesii laudes festinat, eruditissimum Lud. Casp. Valckenaer Animadv. ad Ammonium, pag. 114. Taylor. Add. D'Orville ad Charit. Aphrod. Lib. I. c. x. p. 112.

Ἀθηναῖοι] Πρ. γρ. μετὰ τὸ Ἀθηναῖοι ἔχει ὑποστιγμὴν μόνον. [et mox v. 8. p. seq.] ὑστέρου. Stephanus.

Ὅτι οἱ πρεσβ.] Vid. Stob. de Senectute, Serm. CXIV. Taylor.

τεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν, διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. βουλόμενος δὴ συνεθίσαι τοὺς ἄριστα φρονοῦντας, τούτους ἐπάναγκες περὶ τῶν πραγμάτων λέγειν, ἐπειδὴ [1] ὀνόματι αὐτῶν ἕνα ἕκαστον [2] ἀπορεῖ προσειπεῖν, τὴν κοινὴν
20 ἐπωνυμίαν τῆς ὅλης ἡλικίας ὑπολαβὼν, παρακαλεῖ ἐπὶ τὸ βῆμα, καὶ προτρέπει δημηγορεῖν, ἅμα δὲ καὶ τοὺς νέους διδάσκει αἰσχύνεσθαι τοὺς πρεσβυτέρους, καὶ πάνθ' ὑστέρους πράττειν, καὶ τιμᾶν τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα, ἐὰν ἄρα δὴ διαγενώμεθα. καὶ οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς, καὶ ὁ Θεμιστοκλῆς, καὶ ὁ Ἀριστείδης, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Τιμάρχῳ τουτῳὶ, ὁ δίκαιος ἐπικαλούμενος, ὥστε ὃ νυνὶ πάντες
25 ἐν ἔθει πράττομεν, τὸ τὴν χεῖρα ἔζω ἔχοντες λέγειν, τότε τοῦτο θρασύ τι ἐδόκει εἶναι, καὶ εὐλαβοῦντο αὐτὸ πράττειν. μέγα δὲ τούτου [3] πάνυ σημεῖον ἔργῳ οἶμαι ὑμῖν ἐπιδείξειν. εὖ γὰρ οἶδ' ὅτι πάντες ἐκπεπλεύκατε εἰς Σαλαμῖνα, καὶ τεθέασθε τὴν Σόλωνος εἰκόνα· καὶ αὐτοὶ μαρτυρήσαιτ' ἂν, ὅτι ἐν τῇ ἀγορᾷ τῇ Σαλαμινίων ἀνάκειται ὁ Σόλων, ἐντὸς τὴν χεῖρα ἔχων. τοῦτ' ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπόμνημα
30 καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς 21

1 * ὀνομαστὶ 2 * ἠπόρει 3 πάνυ τούτου

Ἐπάναγκες] Ἀναγκαίως. ἐπιῤῥηματικῶς. Nam ὁ καὶ ἡ ἐπανάγκης inusitata esse puto. Est autem illa ἀνάγκη αἱθαίρετος. Invitantur enim senes potius ad dicendum quam coguntur. Wolf.

Ὑπολαβὼν] Melius fortasse cum Cod. Locker. ἀπολαβών. Taylor.

Ὑστέρους] Ita excudit H. Stephanus præ Aldino ὑστέρου, quod Scaliger in Notis MStis emendaverat ὕστερον. Wolfius etiam ὑστέρους. Idem.

Ἐὰν ἄρα δὴ διαγενώμεθα] Placet ἐὰν ἄρα νὴ Δία γενώμεθα. Brodæus. Inscite tamen. Taylor.

Ἐν ἔθει] *Pro consuetudine, de more.* Hæc Æschinis verba videt atque notat Demosthenes. Brodæus.

Ἐντὸς τὴν χεῖρα ἔχων] Magnum illud semper continentiæ signum. Plutarch. πολιτ. παραγγελμ. Περικλῆς δὲ καὶ περὶ τὸ σῶμα καὶ τὴν διαιταν ἐξήλλαξεν ἑαυτὸν ἡρέμα βαδίζειν, καὶ πρέπως διαλέγεσθαι, καὶ τὸ πρόσωπον ἀεὶ συνεστηκὸς ἐπιδεικνύναι, καὶ τὴν χεῖρα συνέχειν ἐντὸς τῆς περιβολῆς, καὶ μίαν ὁδὸν πορεύεσθαι τὴν ἐπὶ τὸ βῆμα καὶ τὸ βουλευτήριον. Idem de Phocione, pag. 179. Edit. Bryan. Φωκίωνα γὰρ οὔτε γελάσαντά τις, οὔτε κλαύσαντα ῥᾳδίως Ἀθηναίων εἶδεν, οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον, οὐδὲ ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος. Valer. Maxim. VI. 9. *Xenocrates* —— *omissis de quibus disserebat, de modestia ac temperantia loqui cœpit. Cujus gravitate sermonis resipiscere coactus Polemo, primum coronam capite detractam projecit,* paulo post brachium intra pallium reduxit, *procedente tempore oris convivalis hilaritatem deposuit, ad ultimum totam luxuriam exuit.* Inde ad Rhetoricam per translationem admovebat Quintilianus XII. 10. *Quadam eloquentiæ frugalitate contentos, ac semper* manum intra pallium *continentes.* Bene mehercle factum id quod Demosthenes de hac re in Æschinem retorquet: οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα, Αἰσχίνη, δεῖ; οὔ.—ἀλλὰ περιβεβλεῦσθαι εἴσω τὴν χεῖρα ἔχοντα. de ementita legatione §. οβ'. med. Taylor.

διελέγετο τῷ δήμῳ τῶν Ἀθηναίων. σκέψασθε δή, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου, καὶ οἱ ἄνδρες ἐκεῖνοι, ὧν ὀλίγῳ [1]πρότερον ἐμνήσθην. ἐκεῖνοι μὲν γὰρ ἠσχύνοντο ἔξω τὴν χεῖρα ἔχοντες λέγειν· οὗτοσὶ δὲ οὐ πάλαι, ἀλλὰ πρώην ποτέ, ῥίψας ἱμάτιον, γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ, οὕτω κακῶς καὶ αἰσχρῶς διακείμενος τὸ σῶμα ὑπὸ μέθης καὶ βδελυρίας, ὥστε τούς γε εὖ 35
φρονοῦντας ἐγκαλύψασθαι, αἰσχυνθέντας ὑπὲρ τῆς πόλεως, εἰ τοιούτοις συμβούλοις χρώμεθα.

ζ'. Ἃ συνιδὼν ὁ νομοθέτης διαῤῥήδην ἀπέδειξεν οὓς χρὴ δημηγορεῖν, καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ. καὶ οὐκ ἀπελαύνει ἀπὸ τοῦ βήματος, εἴ τις μὴ προγόνων ἐστὶν ἐστρατηγηκότων υἱός, οὐδέ γε εἰ τέχνην τινὰ ἐργάζεται, ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ· ἀλλὰ καὶ τούτους καὶ μάλιστα ἀσπάζεται, καὶ διὰ τοῦτο πολλάκις ἐπερωτᾷ, τίς ἀγορεύειν βούλεται; τίνας δ' οὐκ ἤθετο δεῖν λέγειν; τοὺς αἰ- 40
σχρῶς βεβιωκότας. τούτους οὐκ ἐᾷ δημηγορεῖν. καὶ ποῦ τοῦτο δηλοῖ; Δοκιμασία φησὶ Ῥητόρων. ἄν τις λέγῃ ἐν τῷ δήμῳ, τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν, τοῦτον οὐκ ἐᾷ λέγειν. νὴ Δία καλῶς γε, ὡς ἔγωγέ φημι. διὰ τί; ὅτι εἴ τις οὓς ἐξίσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, φησίν, ὑπ' αὐτοῦ πείσονται οἱ ἀλλότριοι,
22 καὶ ἡ πόλις ὅλη; καὶ τίσι δεύτερον ἀπεῖπε μὴ λέγειν; [2]εἰ 5. 1
τὰς στρατείας φησὶ μὴ ἐστρατευμένος, ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, ἢ τὴν ἀσπίδα ἀποβεβληκώς. δίκαια λέγων. τί δή ποτε; ἄνθρωπε, τῇ πόλει ὑπὲρ ἧς τὰ ὅπλα μὴ τίθεσαι, ἢ διὰ δειλίαν μὴ δυνατὸς εἶ ἐπαμῦναι, μηδὲ συμβουλεύειν ἀξίου. τρίτον, τίσι

[1] πρότερον ἐν τῷ λόγῳ ἐπεμνήσθην. ἐκεῖνοι μέν γε ἠσχ. [2] ἢ

Ὀλίγῳ πρότερον ἐμνήσθην] Addit Bern. ἐν τῷ λόγῳ. Et similiter Locker. ὀλίγῳ πρότερον ἐν τῷ λόγῳ ἐμνήσθην. Idem.

Ἐκεῖνοι μέν γε] Ἐκεῖνοι μέν γὰρ mavult Wolfius, ita uti edendum curavi. Idem.

Θιμάτιον] Τὸ ἱμάτιον, sicut θάτερον pro τὸ ἕτερον, ταὐτὸν pro τὸ αὐτό, Attica κράσει, addito ι ἐφελκυστικῷ. Wolf.

ζ'. Ἀλλὰ καὶ τούτους] Τὸ καὶ Ἀττικιστὶ πλεῖστον, nisi forte malis ἀλλά γε. Mox [sc. l. 16.] lego, τίνας δ' οὐκ ᾤετο δεῖν λέγειν; Idem. Ita Codd. fere o. s. Bern. Locker. Coisl. Regg. 1. 2. 4. Edit. tamen Stephanica, τίνας δ' οὐκ ᾤετο λέγειν, neglecto necessario admodum isto vocabulo. Taylor.

Φησὶν] Delendum mihi videtur ut sensum impediens. Hic non lex, sed orator loquitur. Auger.

Εἰ τὰς στρ.] Pro εἰ lego cum Reiskio ἐν. Rursus v. 1. p. seq. et v. 4. Idem.

διαλέγεται; [1]εἰ πεπορνευμένος φησὶν ἢ ἑταιρηκώς. τὸν γὰρ τὸ σῶμα τὸ ἑαυτοῦ ἐφ' ὕβρει πεπρακότα, καὶ τὰ κοινὰ τὰ τῆς πόλεως ῥᾳδίως ἡγήσατο ἀποδώσεσθαι. τέταρτον, τίσι διαλέγεται; [1]εἰ τὰ πατρῷα φησὶ κατεδηδοκώς, ἢ ὧν ἂν κληρονόμος γένηται. τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν. καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρὸν, δημοσίᾳ δὲ χρηστόν. οὐδ' ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα, τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλ' οὐ τοῦ βίου. καὶ παρὰ μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, κἂν πάνυ κακῶς κἂν ἁπλῶς ῥηθῇ λόγος, χρήσιμα τὰ λεγόμενα ἡγήσατο εἶναι τοῖς ἀκούουσι· παρὰ δὲ ἀνθρώπου βδελυροῦ, καὶ καταγελάστως μὲν κεχρημένου τῷ σώματι, αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εὖ πάνυ λεχθῇ, συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι. τούτους οὖν ἐξείργει τοῦ βήματος, τούτους ἀπαγορεύει μὴ δημηγορεῖν. ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ, ἀλλὰ καὶ συκοφαντῇ, καὶ ἀσελγαίνῃ, καὶ μηκέτι τοιοῦτον ἄνθρωπον δύνηται φέρειν ἡ πόλις, δοκιμασίαν μὲν φησὶν ἐπαγγειλάτω Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστιν· ὑμᾶς δ' ἤδη κελεύει περὶ τούτων ἐν τῷ δικαστηρίῳ διαγινώσκειν. καὶ νῦν ἐγὼ κατὰ τοῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς. 23

ἡ. Ταῦτα μὲν οὖν πάλαι νενομοθέτηται, ὑμεῖς δὲ [2]τί προσέθεσθε; καινὸν νόμον μετὰ τὸ καλὸν παγκράτιον, ὃ οὗτος ἐπαγκρατίασεν ἐν τῇ ἐκκλησίᾳ. ὑπεραισχυνθέντες γὰρ ἐπὶ τῷ πράγματι, καθ' ἑκάστην ἐκκλησίαν, νόμον

[1] ἢ [2] τί; προσέθεσθε καινὸν

Τὸν γὰρ τ. ἰ. ο. κακ. οἰκήσαντα] Malim διοικήσαντα. Isocrates, ὁ κακῶς ὑπὲρ τῶν ἰδίων διωκηκὼς, οὐδέποτ' ἄμεινον βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Wolf. Quo ingenio ita emendaverit Wolfius, sentiet, ubi scholiastem nostrum ad hunc locum consultaveris, qui ex ipsissimo Isocrate vulgatam lectionem tuetur. Vel lexica etiam manu plenissima tibi ostendent quoties apud probatissimos scriptores οἰκεῖσθαι pro διοικεῖσθαι ponitur. Taylor. M. διοικήσαντα. Auger.

Κἂν ἁπλῶς] Καὶ ἁπλῶς. Ita lege. Taylor. Videtur scripsisse Æschines vel κἂν πάνυ κακῶς καὶ ἁπλῶς, vel, κἂν ἁπλῶς κἂν πάνυ κακῶς. Jurin.

Ὑμεῖς δὲ τί προσέθεσθε] Varie hæc legi et pungi possunt: Vel ex conjectura, ὑμεῖς δὲ καὶ προσέθεσθε καινὸν νόμον. Vel cum Reg. 1. ὑμεῖς δ' ἔ τι προσέθεσθε κ. ν. Vel denique cum Locker. ὑμεῖς δὲ τί; προσέθεσθε κ. ν. Utralibet certe lectio præstat vulgatæ. Taylor.

Καθ' ἑκάστην ἐκκλησίαν κ. τ. λ.] Ordo

ἐθήκατε καινὸν, ἀποκληροῦν φυλὴν ἐπὶ τὸ βῆμα, ἤ τις προεδρεύσει. καὶ τί προσέταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι κελεύει τοὺς φυλέτας, βοηθοῦντας τοῖς νόμοις, καὶ τῇ δημοκρατίᾳ· ὡς, εἰ μὴ βοήθειάν ποθεν [1] μεταπεμψόμεθα ἐπὶ τοὺς οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι ἡμᾶς δυνησομένους 25 περὶ τῶν σπουδαιοτάτων πραγμάτων. ἔστι δ' οὐδὲν ὄφελος, ὦ Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώπους ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς,—οὐ γὰρ αἰσχύνονται—, ἀλλὰ ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή. μόνως γὰρ ἂν οὕτως ἀνεκτοὶ γένοιντο. ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς περὶ τῆς εὐκοσμίας κειμένους τῶν [2] ῥητόρων, καὶ τὸν περὶ τῆς προεδρίας τῶν φυλῶν [3] νόμον· ὃν Τίμαρχος οὗτοσὶ καὶ ἕτεροι τοιοῦτοι ῥήτορες συνελθόντες, γεγραμ- 30 μένοι εἰσὶ μὴ ἐπιτήδειον εἶναι, ἵν' ἐξῇ πράττειν αὐτοῖς, καὶ λέγειν, καὶ ζῆν, ὡς αὐτοὶ βούλονται.

ΝΟΜΟΙ.

Τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν βουλῇ, ἢ ἐν δήμῳ, περὶ τοῦ

[1] μεταπεμψόμεθα [2] ῥητόρων. τὸν γὰρ περὶ [3] νόμον Τίμαρχος

est, ἐθήκατε νόμον καινὸν, ἀποκληροῦν, καθ' ἑκάστην ἐκκλησίαν, φυλὴν etc. Legem tulistis novam: in singulis concionibus sortito decernendam esse tribum, quæ etc. Post βοήθειάν ποθεν, [l. 4.] μεταπεμψόμεθα lego. Wolf. Lege itaque, ut videtur, cautum erat, silentibus tamen scriptoribus, ut ad immodestiam Oratorum compescendam, suggestum ascenderent eo ordine servato, quem Tribus in προεδρίᾳ servarent. Nemo, quantum ex vett. monumentis intelligo, hanc P. A. sollicitudinem tetigit, præter Æschinem iterum, c. Ctesiph. sc. non longe ab initio. Τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκ ἔτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι, οὔθ' οἱ πρυτάνεις, οὔθ' οἱ πρέσβεις, οὔθ' ἡ προεδρεύουσα φυλή, etc. Taylor. Mihi videntur transponendæ hæ voces καθ' ἑκάστην ἐκκλησίαν post καινὸν. ceterum hic Æschinis oratio paulo diffusior est, quam ego in interpretatione mea effeci breviorem. Auger.

Τοὺς φυλέτας] Tribules ejus, qui πρόεδρος est. Brodæus.

Ἀναγνώσεται —— καὶ τὸν π. τ. προεδρίας] Sed recitavit nusquam. Quæ enim paulo post secutura sunt verba legitima, modestiam Oratorum, non Tribuum prærogativam spectant. Vide igitur quantum medicinæ sit in scriptis Codd. Parisiensibus: Ἀναγνώσεται οὖν ἡμῖν τοὺς νόμους τοὺς περὶ τῆς εὐκοσμίας κειμένους τῶν ῥητόρων· τὸν γὰρ περὶ τῆς προεδρίας τῶν φυλῶν νόμον Τίμαρχος οὗτοσὶ καὶ ἕτεροί —— γεγραμμένοι εἰσὶ μὴ ἐπιτήδειον εἶναι. Scilicet hoc illud erat. Quo tempore hæc acta sint, legem illam alteram περὶ προεδρίας τῶν φυλῶν Timarchus abrogandam suasit. Ea igitur lite pendente, istius Legis vox auctoritate omni caruit: nullam habuit vim in foro et in judiciis, cum Timarchus tunc temporis eam *reum peregit*. Nam de *Lege*, pariter uti de *Reo*, loquuntur ICti Attici. Ita φεύγειν dicitur ψήφισμα, de quo deliberatur, ἀποφεύγειν, de cujus auctoritate pronunciatum est. Demosth. c. Aristocr. pag. 638. ed. R. ἐπειδή περ ἐστὶ τὸ φεῦγον ψήφισμα οὐκ ἐπὶ ἤδη γεγενημένῳ τινὶ πράγματι, ἀλλὰ κ. τ. λ. et pag. 652. τίς γὰρ οὐ γράφει γε θαῤῥῶν πάλιν, ἡνίκα ἂν ᾖ τοῦτο ἀποπεφευγός; Deinde nihil in jure Attico frequentius ea voce γραψάμενος παρανόμων τὸ ψήφισμα —— εἶλε τὸ ψήφισμα. Habes utramque in initio c. Neær. et alibi. γράφονται τὸ ψήφισμα· κατὰ τοὺς νόμους ἔδοξεν εἰρῆσθαι, καὶ ἀπέφυγεν. Demosth. c. Timocrat. p. 704. ed. R. Taylor. Lege ex plurimum codicum [sc. Parisiens.] auctoritate. γεγραμμένοι εἰσὶ pro γεγράφασι. Auger.

Τῶν ῥητόρων κ. τ. λ.] Totam hanc legis

εἰσφερομένου μὴ χωρὶς [1] ἢ περὶ ἑκάστου, ἢ δὶς περὶ τοῦ αὐτοῦ [2] ὁ 24
αὐτὸς τοῖς αὐτοῖς, ὅτι ἢ λοιδορεῖται, ἢ κακῶς [3] ἀγορεύει τινὰ, ἢ
[4] ὑποκρούει, ἢ χρηματιζόντων μεταξὺ ἀνηκέστως λέγῃ περὶ τῶν
35 μὴ ἐπὶ τοῦ βήματος, ἢ παρακελεύηται, ἢ ἕλκῃ τὸν ἐπιστάτην,
ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς, κυριευέτωσαν οἱ πρόεδροι
μέχρι ν' [5] δραχμῶν, εἶθ' ἕκαστον ἀδίκημα ἐπιγράφειν τοῖς πρά-
κτορσιν· ἐὰν δὲ πλέονος ἄξιός [6] ἐστι ζημίας, ἐπιβάλλοντες μέχρι
ν' δραχμῶν εἰσφερέτωσαν εἰς τὴν βουλὴν, ἢ εἰς τὴν πρώτην ἐκ-

[1] (ἢ περὶ ἑκάστου) [2] (ὁ αὐτὸς - - - * δηλονότι) ἢ λοιδορῆται [3] ἀγορεύῃ [4] ὑποκρούῃ
[5] δραχμῶν εἰς ἕκαστον [6] εἴη ζημίας, ἐπιβαλόντες

recitationem quæ intricatissima est, sic lego: τῶν ῥητόρων - - - μὴ χωρὶς περὶ ἑκάστου ἢ - - - αὐτοῖς. ἔτι ἐὰν λοιδορῆται, ἢ κακῶς ἀγορεύῃ τινὰ, ἢ χ. μ. ἀνηκέστως [hic sumitur pro ἀνυπομονήτως vel ἐπαχθῶς, graviter, moleste.] λέγῃ - - - - παρακελεύηται [absolute sumitur, vel subaudiendum τοὺς ἀνδρας] ἢ ἕλκῃ - - - δραχμῶν εἰς ἕκαστον ἀδίκημα ἐγγράφειν τοῖς πράκτορσιν. [i. e. τοῖς τῶν πρακτόρων γράμμασι] ἐὰν δὲ - - - ἐπιβαλόντες μέχρι ν' δραχμῶν, ε. ε. τ. βουλὴν, εἰς τ. τ. ἐκκλησίαν, ἐν τῷ - - - κλήσεις, [crimina] - - - κρύβδην ψηφιζομέναν τῶν - - - τοῖς πράκτορσι. delendo τῶν νόμων. Idem.

Περὶ τοῦ εἰσφερομένου] Forte, περὶ τῶν εἰσφερομένων, ἢ μὴ χωρὶς περὶ ἑκάστου, ἢ δὶς περὶ τοῦ αὐτοῦ. Wolf. Cod. Bern. περὶ τοῦ εἰσφερομένου, ἢ χωρὶς περὶ ἑκάστου, ἢ δὶς etc. Fortasse, μὴ χωρὶς περὶ ἑκάστου, ἢ δὶς περὶ τοῦ αὐτοῦ. Annotaveram olim ad Lysiam, pag. 114. Edit. London. Quod ad Wolfii et emendationem et versionem prope accedit. Senties, si modo animum advertas, emendationem istam Wolfianam ab H. Stephano aliisque perperam in hunc diem fuisse intellectam, ac alio animo acceptam atque ipse voluit. Taylor.

Ὅτι] Forte ὅτε. Etsi nec sic placet. Wolf. Π. ἔτι εἰ λοιδορῆται, ἢ κακῶς ἀγορεύῃ τινὰ, ἢ ὑποκρούῃ. Stephanus. ἀγορεύῃ et ὑποκρούῃ Reg. 2. ἀποκρούῃ Locker. Recte fortasse hæc subjunctiva, uti in sequentibus, λέγῃ et παρακελεύηται. Quanquam et ibi quoque variare Codices video. Taylor.

Ἀνηκέστως] F. ἀντὶ τοῦ, μὴ ἀνεκτῶς, καὶ ἀνυποίστως. Τὸ ἀνήκεστα ποιεῖν, παθεῖν, γίνεσθαι, notæ et usitatæ formulæ sunt: hanc alibi me legere non memini. Wolf.

Μὴ ἐπὶ τοῦ βήματος] *De rebus aliis quam de quibus in pulpito Rhetores aut alii e populo verba fecerint.* Brodæus. sub. προτιθεμένων. Ea quæ ad rem, de qua agitur, nihil attinent. Wolf.

Ἢ παρακελεύηται ἢ ἕλκῃ τὸν ἐπιστάτην] Wolfius, *vel aliquem concitarit vel præfectum traxerit.* Sed cum utramque verbum ad præfectum referri videatur, ego transtulerim, *vel ausus fuerit præfecto præcipere quid agendum sit, aut eundem per vim trahere.* Jurin.

Μέχρι ν' δραχμῶν] Illud ν' mihi non placet. Eandem enim summam infra nominat. Brodæus. sub. ζημιῶσαι. Wolf. Vide Demosth. adv. Macartat. laudatum in notis ad Lysiam, p. 114. Taylor.

Εἶθ' Legendum εἰς. Nempe mulcta quinquaginta drachmarum in singula delicta imponebatur. Jurin.

Ἐπιγράφειν] Potius ἐγγράφειν. Sc. ὄφλημα δημόσιον *in tabulas et commentarios exactorum referre.* Ita l. 3. p. seq. ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσιν. Demosth. adv. Macartat. [p. 1074. ed. R.] ὅτου δ' ἂν καταγνωσθῇ, ἐγγραφόντων οἱ ἄρχοντες, πρὸς οὓς ἂν ᾖ ἡ δίκη, τοῖς πράκτορσιν, ὃ τῷ δημοσίῳ γίνεται —— ἐὰν δὲ μὴ ἐγγράφωσιν, αὐτοὶ ὀφειλόνταν. Id. adv. Bœotum, [p. 998. ed. R.] ἐὰν ὄφλῃ τῷ δημοσίῳ, τί μᾶλλον οὗτος ἐγγεγραμμένος ἔσται ἐμοῦ; et paulo post, ἐὰν δὲ μὴ ἐκτισθῇ τὸ ὄφλημα, τί μᾶλλον οἱ τούτου παῖδες ἔσονται τῶν ἐμῶν ἐγγεγραμμένοι; Harpocr. Βουλεύσεως. ἐγκλήματος ὄνομα, —— ὅταν ἐγγεγραμμένος, ὡς ὀφείλων τῷ δημοσίῳ, αὐτὸς δικάζηταί τινι, ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. Jul. Pollux L. VIII. C. V. §. 22 Τὸ δὲ πάθος —— ἐζημιῶσθαι, προστετιμῆσθαι, ὄφλειν etc. καὶ ὁ τοιοῦτος —— ὄφλων, κεκολασμένος, ἐζημιωμένος, ἐγγεγραμμένος, κατεγνωσμένος. Idem C. VI. §. 61. εἰ δὲ μὴ τοῦτο σχοίη, τὸ ἐγγεγραμμένον ὤφλε, καὶ ἄτιμος ἦν. Vide omnino Libanii argumentum in Aristogitonianam priorem. Taylor.

Ἐστι] Ἢ Bern. et modo ἐπιβαλόντες Locker. quod reor esse verum. Præter istam mulctam L drachmarum legibus definitam, rem ad Judices deferunto. Eam esse hujus loci mentem arbitror. Idem.

Τὴν πρώτην ἐκκλησίαν] Wolfius *prima concione.* Corrige, *primam concionem.* Idem.

κλησίαν ἐν τῷ βουλευτηρίῳ· ὅταν [1]δὲ διεξίωσι κλήσεις, κρινάτωσαν, καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ, κρύβδην [2]ψηφιζόντων τῶν βουλευτῶν, ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσι [3]τῶν νόμων.

τῶν μὲν οὖν νόμων ἀκηκόατε, ὦ Ἀθηναῖοι, καὶ εὖ οἶδ' ὅτι δοκοῦσιν ὑμῖν καλῶς ἔχειν. τούτους μέν τοι τοὺς νόμους εἶναι χρησίμους ἢ ἀχρήστους, ἐφ' ὑμῖν ἐστίν. ἐὰν μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι [4]καὶ καλοὶ καὶ κύριοι· ἐὰν δ' ἀφίητε, καλοὶ μόνον, κύριοι δὲ οὐκ ἔτι.

Θ'. Βούλομαι δὲ, ὥσπερ ὑπεθέμην ἀρχόμενος τοῦ λόγου, ἐπειδὴ περὶ τῶν νόμων εἴρηκα, πάλιν τὸ μετὰ τοῦτο ἀτεχνῶς ἐξετάσαι τοὺς τρόπους [5]τοῦ Τιμάρχου, ἵνα εἰδῆτε, ὅσον διαφέρουσι τῶν νόμων τῶν ὑμετέρων. δέομαι δ' ὑμῶν, ὦ Ἀθηναῖοι, συγγνώμην μοι ἔχειν, ἐὰν ἀναγκαζόμενος λέγειν περὶ ἐπιτηδευμάτων, φύσει μὲν μὴ καλῶν, τούτῳ δὲ πεπραγμένων, προεξαχθῶ τι ῥῆμα εἰπεῖν, ὃ ἐστιν ὅμοιον τοῖς ἔργοις τοῖς Τιμάρχου. οὐδὲ γὰρ ἂν δικαίως ἐμοὶ ἐπιτιμήσαιτε, εἴ τι σαφῶς εἴποιμι, διδάσκειν ὑμᾶς βουλόμενος· ἀλλὰ πολὺ μᾶλλον τουτῳί. οὕτω γὰρ αἰσχρῶς τυγχάνει βεβιωκὼς, ὥστε τὸν τὰ τούτῳ πεπραγμένα διεξιόντα, ἀδύνατον εἶναι εἰπεῖν ὡς αὐτὸς βούλεται, ἐὰν μή τι καὶ τῶν τοιούτων φθέγξηται ῥημάτων. εὐλαβήσομαι δ' αὐτὸ ποιεῖν ὡς ἂν δύνωμαι μάλιστα. σκέψασθε δὲ, ὦ Ἀθηναῖοι, ὡς μετρίως μέλλω προσφέρεσθαι Τιμάρχῳ τουτῳί. ἐγὼ γὰρ, ὅσα μὲν παῖς ὢν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ ἡμάρτηκεν, ἀφίημι· καὶ ἔστω ταῦτα ἄκυρα, ὥσπερ τὰ ἐπὶ τῶν τριάκοντα, ἢ τὰ πρὸ Εὐκλείδου, ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη ἐγένετο προ-

[1] Deest δέ. [2] * ψηφιζομένων [3] [τῶν νόμων] [4] Deest καί. [5] τοὺς

Ὅταν δὲ δ. κλήσεις] F. ὅταν δὲ δ. τὰς κλήσεις. Puto hoc ad citationem rerum pertinere. Wolf. Aberat istud δὲ ab edit. Steph. Supplevit Cod. Bern. Taylor.

Κρύβδην ψηφίζων ἐν τῶν βουλευτῶν] F. κρύβδην ψηφιζόντων τῶν βουλευτῶν. Wolf. Δ. Τ. ψηφιζόντων τῶν 6. Stephan. Stephanus juxta cum Aldo edidit ψηφίζων ἐν τῶν βουλευτῶν. ἕνα Bern. Vir doctissimus in Legg. Attic. pag. 263. hariolatur, κρύβδην ψηφιζόντων ἐν βουλευτῶν, i. e. numeraliter acceptum, *Senatoribus quinque et quinquaginta.* Verum de frigidissima ea crisi dixit quæ dicenda essent vir omni præconio major, Petrus Wesselingius. Taylor.

Κρύβδην] Tessera non voce. Brodæus.

Τοῖς πράκτορσι τῶν νόμων] Forte, τῶν παρανόμων. Exactoribus ejus pecuniæ, qua mulctati sunt, qui fraudem legibus fecerunt. Wolf.

Θ'. Ὥσπερ τὰ ἐπὶ τῶν τριάκοντα etc.] XXX Tyrannorum expulsio, et actorum ab iis abrogatio satis nota est. De Euclide vide Ulpianum [ad orationem] contra Timocratem. Idem. Quædam ejusdem farinæ habet et Brodæus, quem proinde describere nolui. Taylor.

θεσμία· ἃ δὲ ἤδη φρονῶν, καὶ μειράκιον ὢν, καὶ τοὺς νόμους
15 ἐπιστάμενος τοὺς τῆς πόλεως, διαπέπρακται, περὶ τούτων
ἔγωγε τὰς κατηγορίας ποιήσομαι, καὶ ὑμᾶς ἐπ' αὐτοῖς
ἀξιῶ σπουδάζειν. οὗτος γὰρ πρῶτον πάντων μὲν, ἐπειδὴ
ἀπηλλάγη ἐκ παίδων, ἐκάθητο ἐν Πειραιεῖ ἐπὶ τοῦ Εὐθυδί-
κου ἰατρείου· τροφάσει μὲν, τῆς τέχνης μαθητὴς, τῇ δὲ
ἀληθείᾳ, πωλεῖν ἑαυτὸν προῃρημένος, ὡς αὐτὸ ἔδειξεν. ὅσοι
μὲν οὖν τῶν ἐμπόρων, ἢ τῶν ἄλλων ξένων, ἢ τῶν πολιτῶν
20 τῶν ἡμετέρων κατ' ἐκείνους τοὺς χρόνους ἐχρήσαντο τῷ σώ-
ματι Τιμάρχου, ἑκὼν καὶ τούτους ὑπερβήσομαι· ἵνα μή με 26
τὶς εἴτῃ, ὡς ἄρα λίαν ἀκριβολογοῦμαι ἅπαντα· ὧν δὲ ἐν
ταῖς οἰκίαις γέγονε, καταισχύνων τὸ σῶμα τὸ ἑαυτοῦ καὶ
τὴν πόλιν, μισθαρνῶν ἐπ' αὐτῷ τούτῳ, ὃ ἀπαγορεύει ὁ νό-
μος μὴ πράττειν, ἢ μὴ δημηγορεῖν, περὶ τούτων ποιήσομαι
τοὺς λόγους.

ί. Μισγόλας ἐστί τις Ναυκράτους, ὦ ἄνδρες Ἀθηναῖοι,
Κολυττεὺς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθός· καὶ οὐδα-
25 μῆ ἄν τις αὐτὸν μέμψαιτο· περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαι-
μονίως ἐσπουδακὼς, καὶ ἀεί τινας ἔχειν εἰωθὼς περὶ αὐτὸν
κιθαρῳδοὺς ἢ κιθαριστάς· ταυτὶ δὲ λέγω οὐ τοῦ φορτικοῦ
ἕνεκα, ἀλλ' ἵνα γνωρίσητε αὐτὸν ὅς τις ἐστίν. οὗτος αἰσθό-
μενος ὧν ἕνεκα τὰς διατριβὰς ἐποιεῖτο Τίμαρχος οὑτοσὶ
ἐπὶ τοῦ ἰατρείου, ἀργύριόν τι προαναλώσας, ἀνέστησεν αὐ-
τὸν, καὶ ἔσχε παρ' ἑαυτῷ, εὔσαρκον ὄντα, καὶ νέον, καὶ

Ὡς αὐτὸ ἔδειξεν] Lego, ὡς αὐτὸς ἔδειξεν. Brodæus. Inscite profecto, cum lectio recepta satis bene se habeat. ὡς αὐτὸ τὸ ἔργον ἔδειξεν Bern. Regg. 2. 4. ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξεν Coisl. Reg. 1. τοῦ ἔργον Locker. Qui omnes crisin Brodæi confodiunt. Taylor.

ί. Μισγόλας] Σμιγόλαν κεκωμῴδηκεν [Antiphanes] ὡς ἐσπουδακότα περὶ κιθαρῳδοὺς καὶ κιθαριστὰς ὡραίους. φησὶ γὰρ ὁ ῥήτωρ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου λόγῳ περὶ αὐτοῦ τάδε. Σμιγόλας ἐστὶ Ναυκράτους, ἄνδρες Ἀθηναῖοι, Κολυττεὺς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθὸς, καὶ οὐδαμῆ ἄν τις αὐτὸν μέμψαιτο, περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαιμονίως ἐσπουδακὼς, καὶ ἀεί τινας εἰωθὼς ἔχειν περὶ αὐτὸν κιθαρῳδοὺς ἢ κιθαριστάς· ταυτὶ δὲ λέγω οὐ τοῦ φορτικοῦ ἕνεκα, ἀλλ' ἵνα γνωρίσηται (l. γνωρίσητε) αὐτὸν ὅστις ἐστίν. καὶ Τιμοκλῆς δ' ἐν Σαπφοῖ φησὶν,

Ὁ Σμιγόλας οὐ προσιέναι σοι φαίνεται,
Ἀνθοῦσι τοῖς νέοισιν ἠρεθισμένος;

Ἄλεξις δὲ ἐν Ἀγῶνι ἢ Ἱππίσκῳ

Ὦ μήτερ, ἱκετεύω σε, μὴ πίσειέ μοι
Τὸν Σμιγόλαν, οὐ γὰρ κιθαρῳδὸς εἰμ' ἐγώ.

Athen. l. 8. p. 339. ubi de homine isto plura. Idem.

Ἡ κιθαριστὰς] Καὶ κιθ. malit legere doctissimus Valckenaerus ad Ammonium v. Κίθαρις, qui hunc locum Æschinis, sed inemendate, describit. Idem.

Οὐ τοῦ φορτικοῦ ἕνεκα] *Hæc dico, non arguendi luxus causa.* Quæ interpretatio si cui liberior videbitur, reponat, *non insectandi hominis gratia.* Inter citharistas autem et citharœdos hoc interesse puto, quod hi etiam cantillent, illi tantum pulsent citharam. Wolf.

βδελυρὸν, καὶ ἐπιτήδειον πρὸς τὸ πρᾶγμα, ὃ προῃρεῖτο 30
ἐκεῖνος μὲν πράττειν, οὗτος δὲ πάσχειν. καὶ ταῦτα οὐκ
ὤκνησεν, ἀλλ' ὑπέστη Τίμαρχος οὑτοσὶ, οὐδενὸς ὢν τῶν
μετρίων ἐνδεής· πολλὴν γὰρ πάνυ κατέλιπεν ὁ πατὴρ
αὐτῷ οὐσίαν, ἣν οὗτος κατεδήδοκεν, ὡς ἐγὼ προϊόντος
ἐπιδείξω τοῦ λόγου· ἀλλ' ἔπραξε ταῦτα δουλεύων ταῖς
αἰσχίσταις ἡδοναῖς, ὀψοφαγίαις καὶ πολυτελείαις δεί-
πνων, καὶ αὐλητρίσι, καὶ ἑταίραις, καὶ κύβοις, καὶ τοῖς
ἄλλοις, ὑφ' ὧν οὐδενὸς χρὴ κρατεῖσθαι τὸν γενναῖον καὶ 35
ἐλευθερον. καὶ οὐκ ᾐσχύνθη ὁ μιαρὸς οὗτος, ἐκλιπὼν μὲν
27 τὴν πατρῴαν οἰκίαν, διαιτώμενος δὲ παρὰ Μισγόλᾳ, οὔτε
πατρικῷ ὄντι φίλῳ, οὔτε ἡλικιώτῃ, οὔτε παρ' ἐπιτρόπῳ·
ἀλλὰ παρ' ἀλλοτρίῳ, [1]καὶ πρεσβυτέρῳ ἑαυτοῦ, καὶ παρ'
ἀκολάστῳ περὶ ταῦτα, ὡραῖος ὤν.

ιά. Πολλὰ μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται
Τιμάρχῳ κατ' ἐκείνους τοὺς χρόνους· ἓν δὲ ὃ καὶ διηγήσα-
σθαι ὑμῖν βούλομαι. ἦν μὲν Διονυσίων τῶν ἐν ἄστει πομπή. 40
[2]ἐπόμπευε δὲ ἐν τῷ αὐτῷ ὅ,τε Μισγόλας ὁ τοῦτον ἀνει-
ληφὼς, καὶ Φαῖδρος ὁ Καλλίου Σφήττιος. συνθεμένου δὲ
αὐτοῖς συμπομπεύειν Τιμάρχου τουτουὶ, οἱ μὲν περὶ τὴν
ἄλλην παρασκευὴν διέτριβον, οὗτος δὲ οὐκ ἐπανῆκε. παρω-
ξυμμένος δὲ πρὸς τὸ πρᾶγμα ὁ Μισγόλας ζήτησιν αὐτοῦ
ἐποιεῖτο μετὰ τοῦ Φαίδρου· ἐξαγγελθέντος δὲ αὐτοῖς εὑρί-
σκουσι τοῦτον ἐν συνοικίᾳ μετὰ ξένων τινῶν συναριστῶντα. 7. 1
διαπειλησαμένων δὲ τοῦ Μισγόλα καὶ τοῦ Φαίδρου τοῖς ξέ-
νοις, καὶ κελευόντων ἤδη ἀκολουθεῖν εἰς τὸ δεσμωτήριον, ὅτι
μειράκιον ἐλεύθερον διέφθειραν, φοβηθέντες οἱ ξένοι, φεύ-

[1] καὶ παρὰ πρεσβυτέρῳ

[2] ἐπόμπευον δὲ ἐν ταὐτῷ

Οὔτι παρ' ἐπιτρόπῳ] Malim, οὔτ' ἐπιτρόπῳ, καὶ παρ' ἀκολάστῳ, ut videatur Auctor de industria in postremo inciso præpositionem repetiisse. Idem.

Ὡραῖος ὤν] *In flore ætatis suæ*, Wolfius. Potius, *formosus cum esset*. Augebat enim suspicionem forma Timarchi. Jurin.

ιά. Διονυσίων τῶν ἐν ἄστει πομπὴ] Fuerunt enim etiam Ληναϊκὰ, ut ex vita Sophocleis apparet, ubi inter διδασκαλίας ἀστυκὰς καὶ Ληναϊκαὶ recensentur. Τιμάρχου τουτουὶ lege. Wolf.

Ἀπιλησὼς] Ἀναλαμβάνων in hac oratione *penes se aliquem habere* significat, *quo pro catamito utatur*. Brodæus.

Οὗτος δὲ οὐκ ἐπανῆκε] *Ad tempus, quo pompa ducenda erat, domum non est reversus*. Idem. Sub. ἐπὶ τὴν πομπήν. Wolf.

Συνοικίᾳ] Wolfius, *deprehendunt in ædibus cum hospitibus quibusdam prandentem*. Sed τὸ συνοικία non accipiendum est pro ædibus simpliciter, sed pro ædibus in plures partes distributis, quarum partium singulas singuli incolæ obtinebant, vel etiam pro caupona, teste Athenæo, quo sensu videtur et hic usurpari. Jurin. Vid. infra §. κά. fin. et κς'. Taylor.

γοντες ᾤχοντο, καταλιπόντες τὰ παρεσκευασμένα. καὶ
ταῦθ' ὅτι ἐγὼ ἀληθῆ λέγω, ἅπαντες ὅσοι κατ' ἐκείνους
5 τοὺς χρόνους ἐγίνωσκον Μισγόλαν καὶ Τίμαρχον, ἴσασιν·
ἐγὼ δὲ καὶ πάνυ χαίρω, ὅτι μοι γέγονεν ἡ δίκη πρὸς ἄνθρω-
πον οὐκ ἠγνοημένον ὑφ' ὑμῶν, οὐδ' ἀπ' ἄλλου γινωσκό-
μενον οὐδενὸς, ἢ ἀπ' αὐτοῦ τοῦ ἐπιτηδεύματος, περὶ οὗ καὶ
τὴν ψῆφον μέλλετε φέρειν. περὶ μὲν γὰρ τῶν ἀγνοουμένων,
σαφεῖς ἴσως προσήκει τὰς ἀποδείξεις ποιεῖσθαι τὸν κατή-
γορον· περὶ δὲ τῶν ὁμολογουμένων, οὐ λίαν ἔγωγε μέγα 28
10 ἔργον εἶναι νομίζω τὸ κατηγορεῖν. ἀναμνῆσαι γὰρ μόνον
προσήκει τοὺς ἀκούοντας. ἐγὼ τοίνυν, καί περ ὁμολογου-
μένου τοῦ [1]πράγματος, ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμὲν, γέ-
γραφα μαρτυρίαν Μισγόλᾳ, ἀληθῆ μὲν, οὐκ ἀπαίδευτον
δὲ, ὡς ἐγὼ ἐμαυτὸν πείθω. αὐτὸ μὲν γὰρ τοὔνομα τοῦ
ἔργου ὃ ἔπραττε πρὸς τοῦτον, οὐκ [2]ἐγγράφω, οὐδ' ἄλλο
γέγραφα οὐδὲν, ὃ ἐπιζήμιόν ἐστιν ἐκ τῶν νόμων τῷ [3]μὴ τἀ-
ληθῆ μαρτυρήσαντι· ἃ δέ ἐστιν ὑμῖν [4]τε ἀκούουσι γνώριμα,
15 ἀκίνδυνα δὲ τῷ μαρτυροῦντι, καὶ μὴ αἰσχρὰ, ταῦτα γέ-
γραφα. ἐὰν μὲν οὖν ἐθελήσῃ ὁ Μισγόλας δεῦρο παρελθὼν
τἀληθῆ μαρτυρεῖν, τὰ δίκαια ποιήσει· ἐὰν δὲ προαιρῆται
ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς τὸ ὅλον
πρᾶγμα συνίδετε. εἰ γὰρ ὁ μὲν πράξας αἰσχυνεῖται, καὶ

[1] πράγματος ὄντος, ἐπειδὴ [2] * ἐγγέγραφα [3] Deest μή. [4] μὲν

Ἐγὼ δὲ] Ἴσασιν ἤδη καὶ πάνυ χαίρω etc. Coisl. Reg. 2. Similiter fere Mor. nempe ἤδη loco τοῦ, ἐγὼ δὲ, servato puncto vulgari, cum hoc qu. scholiolo, ἤδη, ἀντὶ τοῦ, διὸ δέ. Sed tum legendum erat ἢ δή. Quo modo aperte legitur in Reg. 1. ἢ δὴ καὶ πάνυ χαίρω. IDEM.

Γέγραφα μαρτυρίαν Μισγόλᾳ] Wolfius, *testimonium Misgolæ scripto denunciavi*: Immo, *testimonium Misgolæ perscripsi*. Nempe ipse Orator testimonia perscribebat, testes autem ea vel vera, vel falsa esse, aut ipsis non liquere jurabant, quod abunde patet vel ex hac ipsa oratione. JURIN.

Ὃ ἐπιζήμιόν ἐστιν —— τῷ μὴ τἀληθῆ μαρτυρήσαντι] Lege, τῷ τἀληθῆ μαρτυρήσαντι, sine μή. Quis hæc non videt? Et abest sane tumultuosa ea vox ex optimo Cod. Locker. Videtur Auctor ipse quasi præsidio cinxisse hanc lectionem, cum mox interpretaturo simillimus scribat, ἀκίνδυνα τῷ μαρτυροῦντι. Iterum §. κ'. οὐδεὶς γὰρ κίνδυνος, ἅσπερ ἐκεῖ, οὐδ' αἰσχύνη προσέσται οὐδεμία τῷ τἀληθῆ μαρτυροῦντι. TAYLOR. Subesse videtur mendum, cum τὸ μὴ non redundet solum, sed et sensum perturbet. Nimirum Æschines testimonium quod Misgolæ scripserat, non solum verum esse, sed eo modo scriptum ait, ut si id Misgolas jurejurando confirmaret. nihil tamen periculi ex legibus adiret. *Nihil*, inquit, *scripsi, unde metus a legibus sit vera juranti*, τῷ τἀληθῆ μαρτυρήσαντι: vel, si placet, *etiam vera juranti*, τῷ μηδὲ τἀληθῆ μαρτυρήσαντι, quod proprius ad lectionem superiorem accedit. JURIN.

Ὑμῖν τε ἀκούοῦσι] Ὁ ἀκοὰν ἀόρ. β. rarus est, pro quo fortasse ἀκουοῦσι legendum, et pro τε, μέν, quia sequitur ἀκίνδυνα δέ. WOLF.

Ἐκκλητευθῆναι] *Citatione adigi*, Wolfius. Potius, *mulctam solvere*. Erat autem mulcta non dicti testimonii mille drachmarum. Vide l. 1. p. 28. JURIN.

προαιρήσεται χιλίας δραχμὰς μᾶλλον ἀποτίσαι τῷ δημοσίῳ, ὥστε μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυτοῦ ὑμῖν· ὁ δὲ πεπονθὼς δημηγορήσει· σοφὸς ὁ νομοθέτης ὁ τοὺς οὕτω 20
βδελυροὺς ἐξειργων ἀπὸ τοῦ βήματος. ἐὰν δ' ἄρα ὑπακούσῃ μέν, τράπηται δὲ ἐπὶ τὸ ἀναιδέστατον, ἐπὶ τὸ ἐξόμνυσθαι τὰς ἀληθείας, ὡς Τιμάρχῳ μὲν χάριτας ἀποδιδοὺς, ἑτέροις δὲ ἐπίδειξιν ποιούμενος, ὡς εὖ ἐπίσταται τὰ τοιαῦτα συγκρύπτειν· πρῶτον μὲν εἰς ἑαυτὸν ἐξαμαρτήσεται ἐπιορκῶν· ἔπειτα οὐδὲν αὐτῷ ἔσται πλέον. ἑτέραν γὰρ ἐγὼ γέγραφα
29 μαρτυρίαν τοῖς εἰδόσι Τίμαρχον τουτονὶ καταλιπόντα τὴν 25
πατρῴαν οἰκίαν, καὶ διαιτώμενον παρὰ Μισγόλᾳ· πρᾶγμα, οἶμαι, χαλεπὸν ἐξεργάσασθαι ἐπιχειρῶν. οὔτε γὰρ ἐμὲ δεῖ τοὺς ἐμαυτοῦ φίλους μάρτυρας παρασχέσθαι, οὔτε τοὺς τούτων ἐχθροὺς, οὔτε τοὺς μηδετέρους ἡμῶν γιγνώσκοντας· ἀλλὰ τοὺς τούτων φίλους. ἂν δ' ἄρα καὶ τούτους πείσωσι μὴ μαρτυρεῖν, — ὡς οὐκ [1]οἴομαι, εἰ δὲ μὴ, ἀλλ' οὐχ ἅπαντας —, ἐκεῖνό [2]γε οὐδεμήποτε δύνωνται ἀφελέσθαι 30
τὴν ἀλήθειαν, οὐδὲ τὴν ἐν τῇ πόλει περὶ Τιμάρχου φήμην, ἣν οὐκ ἐγὼ τούτῳ παρεσκεύασα, ἀλλ' αὐτὸς οὗτος ἑαυτῷ. οὕτω γὰρ χρὴ καθαρὸν τὸν βίον εἶναι τοῦ σώφρονος ἀνδρὸς, ὥστε μὴ ἐπιδέχεσθαι δόξαν αἰτίας πονηρᾶς. βούλομαι δὲ κἀκεῖνο προειπεῖν, ἐὰν ἄρα ὑπακούσῃ ὁ Μισγόλας τῷ νόμῳ καὶ ὑμῖν· εἰσὶ φύσεις ἀνθρώπων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων τὰ περὶ τὴν ἡλικίαν. ἔνιοι μὲν γὰρ νέοι ὄντες, 35
προφερεῖς καὶ πρεσβύτεροι φαίνονται· ἕτεροι δὲ πολὺν ἀρι-

[1] οἴομαί γε, εἰ [2] γε * οὐ δέδια, μή ποτέ με δύνωνται

Ὥστε μὴ δεῖξαι κ. τ. λ.] *Quam vestra era intueri*, Wolfius. Potius, *quam vobis os suum commonstrare*, vel, *quam vobis in conspectum prodire*. Idem.

Εἰ δὲ μὴ] Sub. μαρτυρήσουσιν ἔνιοι. Wolf.

Ἀλλ' οὐχ ἅπαντας] Sub. πείσουσι μὴ μαρτυρεῖν. Idem.

Ἐκεῖνό γε κ. τ. λ.] Τὴν ἀλήθειαν additum fortassis est κατ' ἐπεξήγησιν. *Illud utique mihi non eripient, veritatem scilicet.* Sed quid si legas, ἐκείνῳ γε sc. τῷ μὴ μαρτυρεῖν? Idem. Prior potius Interpretatio placet. *Illud utique nunquam efficient. quid? ut veritatem et famam quæ de Timarcho exivit, deleant aut extinguant unquam.* Corrigunt alii, ait Stephanus, οὐδὲ μήποτε. atque ita Coisl. οὐδέποτε Reg. 2. Locker. Ipsi Stephano placet οὐδαμῆ ποτε. Ita enim hominem intelligo in lectione ejus marginali. Porro hic autem δυνήσονται Codd. fere universi. Taylor.

Προφερεῖς] Cum explicatione Scholiastæ consentit Harpocratio, et Apostolius Prov. XVI. Cent. 63. Hesychius item verbis pene iisdem. Eum vero sensum satis refutavit H. Steph. in Thesauro. Nam si προφερεῖς illi dicantur, qui ætate juvenes sunt, ore vero senes videntur, totum hoc comma una vox illa denotabit. Modo, pro δοκοῦντες lege vel cum Locker. φαίνονται, vel cum Steph. et Reg. 1. δοκοῦσιν. Idem.

Πολὺν ἀριθμὸν χρόνου] I have met (sic

θμὸν χρόνου γεγονότες, παντάπασι νέοι [1]δοκοῦντες εἶναι. τούτων δ' ἐστὶ τῶν ἀνδρῶν Μισγόλας. τυγχάνει μὲν γὰρ ἡλικιώτης ὢν ἐμὸς, καὶ συνέφηβος· καὶ ἔστιν ἡμῖν τουτὶ πέμπτον καὶ τετταρακοστὸν ἔτος. καὶ ἐγὼ μὲν τοσαυτασὶ πολιὰς ἔχω, ὅσας ὑμεῖς ὁρᾶτε, ἀλλ' οὐκ ἐκεῖνος. διὰ τί
40 δὴ ταῦτα προλέγω; ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε, καὶ τοιοῦτόν τι τῇ διανοίᾳ ὑπολάβητε· ὦ Ἡράκλεις, ἀλλ' οὗτος γε τούτου οὐ πολὺ διαφέρει. ἅμα μὲν γάρ ἐστιν ἡ φύσις τοιαύτη τοῦ ἀνθρώπου, ἅμα δὲ ἤδη μειρακίῳ ὄντι 30
αὐτῷ ἐπλησίαζεν. ἵνα δὲ μὴ διατρίβω, κάλει μοι πρῶτον μὲν τοὺς εἰδότας Τίμαρχον τουτονὶ διαιτώμενον ἐν τῇ Μισγόλα οἰκίᾳ· ἔπειτα τὴν Φαίδρου μαρτυρίαν ἀναγίνωσκε·
3. 1 τελευταίαν δέ μοι λάβε τὴν αὐτοῦ Μισγόλα μαρτυρίαν. ἵνα καὶ τοὺς θεοὺς δεδιὼς, καὶ τοὺς συνειδότας αἰσχυνόμενος, καὶ τοὺς ἄλλους πολίτας, καὶ ὑμᾶς τοὺς δικαστὰς, ἐθέλῃ τἀληθῆ μαρτυρεῖν.

ΜΑΡΤΥΡΙΑ.

Μισγόλας Νικίου Πειραιεὺς μαρτυρεῖ. ἐμοὶ ἐγένετο ἐν [2]τῇ συνηθείᾳ Τίμαρχος, ὁ ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου ποτὲ καθεζόμενος,
5 καὶ [3]κατὰ τὴν γνῶσίν μοι τὴν πρὸς αὐτὸν πολυωρῶν εἰς τὴν νῦν οὐ [4]διέλιπον.

ιβ'. Εἰ μὲν τοίνυν, ὦ Ἀθηναῖοι, Τίμαρχος οὑτοσὶ παρέμεινε παρὰ τῷ Μισγόλᾳ, καὶ μηκέτι ὡς ἄλλον ἧκε, μετριώτερα ἂν διεπέπρακτο, — εἰ δή τι τῶν τοιούτων ἐστὶ μέτριον —, καὶ ἔγωγε οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲν αἰτιᾶσθαι, ἢ ὅπερ ὁ νομοθέτης παῤῥησιάζεται, ἡταιρηκέναι μόνον. ὁ γὰρ πρὸς ἕνα τοῦτο πράττων, ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν

[1] δοκοῦσιν [2] Deest articulus. [3] * Deest κατά. [4] * διέλιπεν

forte voluit scribere *not met*. REISK.) with this expression in some other Greek authors. MARKLAND.

Δοκοῦντες] Π. δοκοῦσιν. STEPHANUS.

Οὗτός γε τούτου] Οὗτος, sc. Misgolas. τούτου, sc. Timarchi. MARKLAND.

Οἰκίᾳ] Cl. Marklando post οἰκίᾳ ΜΑΡΤΥΡΕΣ, iterumque post ἀναγίνωσκε vox ΜΑΡΤΥΡΙΑ substituenda videtur. TAYL.

Ἵνα] Lege omnino ἐὰν, et modo cum Locker. ἐθελήσῃ. Satis patet correctionis istius necessitas. TAYLOR.

Μισγόλας κ. τ. λ.] Supra Κολυττέα tribulem suum esse dixit. WOLF. Ecce testimonium, quod prædixit noster 27. 13. οὐκ ἀπαίδευτον, et eodem tempore verum. Vide etenim quali *lepore* omnem sermonis obscenitatem declinet, ἐμοὶ ἐγένετο ἐν συνηθείᾳ —— κατὰ τὴν γνῶσίν μου —— πολυωρῶν εἰς τὴν νῦν. Sed unde evenit, ut qui §. i. init. erat domo *Colyttensis*, ut observavit Wolfius, et, (quod ille idem non observavit) etiam *Naucratis F.* jam prodiret *Niciæ F. Piræensis?* Anne hic iterum, Æschine, lepori et civilitati litasti? TAYLOR.

Κατὰ] F. μετά. Deinde τὴν γνῶσίν μου habet Bern. IDEM.

ποιούμενος, αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος εἶναι. ἐὰν δ' ὑμᾶς 10
ἀναμνήσας ἐπιδείξω, ὑπερβαίνων τούσδε τοὺς ἀγρίους ἄν-
δρας, Κηδωνίδην, καὶ Αὐτοκλείδην, καὶ Θέρσανδρον, ἀλλ'
ἐπιδείξω αὐτοὺς λέγων ὧν ἐν ταῖς οἰκίαις ἀνειλημμένος γέ-
γονε, καὶ μὴ μόνον παρὰ τῷ Μισγόλᾳ μεμισθαρνηκότα
31 αὐτὸν ἐπὶ τῷ σώματι, ἀλλὰ καὶ παρ' ἑτέρῳ, καὶ πάλιν
παρ' ἄλλῳ, καὶ παρὰ τούτου ὡς ἕτερον ἐληλυθότα· οὐκ ἔτι
δή που μόνον φανήσεται ἡταιρηκώς, ἀλλὰ καὶ — μὰ τὸν 15
Διόνυσον οὐκ οἶδ' ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέ-
ραν — καὶ πεπορνευμένος. ὁ γὰρ εἰκῇ τοῦτο, καὶ πρὸς
πολλοὺς πράττων, καὶ μισθοῦ, αὐτῷ μοι δοκεῖ τούτῳ
ἔνοχος εἶναι. ἐπειδὴ τοίνυν ὁ Μισγόλας τῇ τε δαπάνῃ
ἀπεῖπε, καὶ τοῦτον ἐξέπεμψε παρ' ἑαυτοῦ, μετὰ
τοῦτον ἀναλαμβάνει αὐτὸν Ἀντικλῆς Καλλίου Εὐωνυ-
μεύς. οὗτος μὲν οὖν ἄπεστιν ἐν Σάμῳ μετὰ τῶν κληρού-
χων. ἀλλὰ τὰ μετὰ ταῦτα ἐρῶ. ὡς γὰρ ἀπηλλάγη 20
παρὰ τοῦ Ἀντικλέους καὶ τοῦ Μισγόλα Τίμαρχος οὑ-
τοσὶν, οὐκ ἐνουθέτησεν ἑαυτὸν, οὐδὲ βελτίονων διατρι-

(β'. Κηδωνίδην, καὶ Α. καὶ Θ.] Hoc explicat Suidas et Varinus in vocabulo Κηδωνίδης. Brodæus. Consule Harpocrat. in singula voce, et Maussacum, pag. 113. Taylor.

Αὐτὸν] L. αὐτὸν. Nihil certius. Idem.

Ἀλλὰ καί·] Ita Editt. Ald. Wolf. cum Cod. Locker. Annotavit Stephanus, ἀλλὰ καὶ, ἐν τῇ πρώτῃ ἐκδόσει· βέλτιον δὲ ἄνευ τοῦ καὶ, ὡς παρὰ τῷ Ἑρμογένει. Locus Hermogenis est, ubi agit περὶ περιπλοκῆς his verbis: Ὅτι δὲ τὸ ὄνομα τοῦ σχήματος τοῦτό (l. τούτου) ἐστιν ἡ περιπλοκὴ, Αἰσχίνης φησὶν ἐν τῷ κατὰ Τιμάρχου οὕτως. φανήσεται οὖν οὐ μόνον ἡταιρηκώς, ἀλλὰ, μὰ τὸν Διόνυσον, οὐκ οἶδ' ὅπως δεῖ περιπλέκειν ὅλην τὴν ἡμέραν, καὶ πεπορνευμένος. ὡς δι' ὅλου τοῦ λόγου περιπλέξας, διὰ τὸ αἰσχρὰ εἶναι τὰ ῥήματα, ἐπὶ τίλει δὲ νικηθεὶς, εἴπεν ὑπὸ τῆς χολῆς, καὶ πεπορνευμένος. Similiter hunc locum Æschinis legit T. Magister, sine καὶ, in v. Ἑταῖρα. Idem.

Περιπλέκειν] *Tegere, dissimulare, per ambages efferre.* Ad verbum, *circumplicare.* Aliud est quam περιλαμβάνειν, *omnia complecti.* Wolf. Est *per ambages et circuitus loqui.* Salmas.

Ὅλην τὴν ἡμέραν] Recte hæc inclusisse mihi videor parenthesi, quemadmodum et Stephanus edidit quoque. Wolfius cum πεπορνευμένος conjungit, admodum inscite, ὅλην τὴν ἡμέραν καὶ πεπορνευμένος. Taylor. *Ambages nectere per totum diem.* Minus recte Wolfius transfert istud ὅλην τὴν ἡμέραν ad τὸ πεπορνευμένος. Jurin.

Πεπορνευμένος] Οὐχ ἡταιρηκώς, ἀλλὰ πεπορνευμένος. Hinc apparet τὸ πεπορνεῦσθαι esse turpius; fortasse quia publice et sine discrimine οἱ πόρνοι omnes admittant, οἱ ἑταιρούντες paulo sint verecundiores et occultiores, nec tam quæstus quam amoris mutui rationem habeant. Ἀλλ' ἐς κόρακας ταύτην τὴν φιλίαν. Apud Platonem extat hexameter, qui τὴν παιδεραστίαν λυκοφιλίαν appellat: Ὡς λύκοι ἄρνα φιλοῦσ' ὡς παῖδα φιλοῦσιν ἐρασταί. Wolf. Recte. discrimen satis indicant ea quæ sequuntur: *Qui vulgo quæstum corpore fecerit* — εἰκῇ —— πρὸς πολλοὺς —— καὶ μισθοῦ. Porro uti hinc inter ἡταιρηκότας et πεπορνευμένους, ita alibi eodem animo inter ἐρωμένους et eosdem distinguit: §. λά. fin. ἀποκρίνασθε, εἰς ὁποτέραν τάξιν τὸν Τίμαρχον κατανέμετε· πότερον εἰς τοὺς ἐρωμένους, ἢ εἰς τοὺς πεπορνευμένους. Quantum intersit inter ἑταιρεῖν, ἐρᾶσθαι, et πεπορνεῦσθαι, expedient tibi Athen. l. 13. p. m. 283. T. Magister v. Ἑταῖρα, et, qui hanc rem diligentissime excussit, doctissimus Heraldus Animadv. in Salmas. pag. 399. Taylor.

βῶν ἤψατο· ἀλλὰ [1] διημέρευεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται, καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι, καὶ κυβεύουσιν· ἤδη γὰρ οἶμαι ὑμῶν τινὰς ἑωρακέναι ἃ λέγω, εἰ δὲ μὴ, ἀλλ' ἀκηκοέναι γε. τῶν δὲ ἐκ τῆς διατριβῆς ταύτης ἔστι τις Πιττάλακος ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως. οὗτος εὐπορῶν ἀργυρίου, καὶ ὁρῶν τοῦτον ἐν τῇ διατριβῇ ταύτῃ, ἀνέλαβεν αὐτὸν, καὶ εἶχε παρ' ἑαυτῷ. καὶ ταῦτ' οὐκ ἐδυσχέραινεν ὁ μιαρὸς οὑτοσὶ, μέλλων ἑαυτὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως· ἀλλ' εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο μόνον ἐσκέψατο, τῶν δὲ καλῶν, ἢ τῶν αἰσχρῶν οὐδεμίαν πώποτε πρόνοιαν ἐποιήσατο. καὶ τοιαῦτα ἁμαρτήματα καὶ τοιαύ- 32
τας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τούτου εἰς τὸ σῶμα τὸ Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐκ ἂν τολμήσαιμι πρὸς ὑμᾶς εἰπεῖν. ἃ γὰρ αὐτὸς ἔργῳ πράττων οὐκ ἠσχύνετο, ταῦτ' ἐγὼ λόγῳ μόνον σαφῶς ἐν ὑμῖν εἰπὼν, οὐκ ἂν ἐδεξάμην ζῆν.

ιγ'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τούτους ἐν οἷς οὗτος ἦν παρὰ τῷ Πιτταλάκῳ, καταπλεῖ δεῦρο ἐξ Ἑλλησπόντου Ἡγήσανδρος, ὁ τοῦτον ἀνειληφώς. περὶ οὗ πάλαι εὖ οἶδ' ὅτι θαυμάζετε, διότι οὐ μέμνημαι· οὕτως ἐναργές ἐστιν ὃ ἐρῶ. οὗτος ὁ Ἡγήσανδρος ἀφικνεῖται, ὃν ὑμεῖς ἴστε κάλλιον ἢ ἐγώ. ἔτυχε δὲ τότε συμπλεύσας εἰς Ἑλλήσποντον ταμίας ἅμα Τιμομάχῳ τῷ Ἀχαρνεῖ, τῷ στρατηγήσαντι· καὶ ἧκε δεῦρο ἀπολελαυκὼς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας, ἔχων οὐκ ἐλάττους ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου, καὶ τρόπον τινὰ, οὐχ ἥκιστα αἴτιος ἐγένετο Τιμομάχῳ τῆς συμφορᾶς. ὢν δ' ἐν τοιαύτῃ ἀφθονίᾳ, καὶ φοιτῶν ὡς τὸν Πιττάλακον, συγκυβευτὴν ὄντα, καὶ τοῦτον ἰδὼν ἐκεῖ πρῶτον, ἥσθη τε, καὶ ἐπεθύμησε, καὶ ἐβουλήθη ὡς αὐτὸν ἀναλαβεῖν. καί πως ἴσως αὐτὸν ἡγήσατο ἐγγὺς εἶναι τῆς αὐτοῦ φύσεως. πρῶτον

[1] διημέρευσεν

Οὗ ἡ τηλία τίθεται] Aristophanis in Pluto Enarrator, καὶ δὴ καὶ ἰδίως ἐκαλεῖτο Τηλία περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο, καὶ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον ἐν τούτῳ. Pollux lib. 9. Καὶ Τηλία μὲν ὁμοία τῇ ἀρτοπώλιδι. κύκλους ἐμπεριγράψαντες, ἀνίσταταν τοὺς ὄρτυγας ἐπὶ ταῖς μάχαις ταῖς πρὸς ἀλλήλους· ὁ δὲ ἀνατραπεὶς καὶ ἐκπεσὼν κύκλου, ἡττᾶτο αὐτός τε, καὶ ὁ τοῦ ὄρτυγος δεσπότης. Brodæus. Vasis genus interpretantur, tum in quo Farina reponatur, tum Coturnices committantur. Item tabulam pistorum etc. Hic utique ludicrum aliquod instrumentum intelligendum est. Wolf.

Τιμομάχῳ] De Timomacho et ejus re-

μὲν οὖν τῷ Πιτταλάκῳ [1] διειλέχθη, δέομενος παραδοῦναι τοῦτον. ὡς δὲ οὐκ ἔπειθεν, αὐτῷ τούτῳ προσβάλλει· καὶ οὐ πολὺν ἀνάλωσε λόγον, ἀλλ' εὐθὺς ἐπεπείκει. καὶ γὰρ 9. 1
33 εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ [2] κακία καὶ [3] εὐπιστία· ὥστε καὶ ἐξ αὐτῶν τούτων εἰκότως ἂν μισοῖτο. ὡς δὲ ἀπήλλακτο μὲν ἀπὸ τοῦ Πιτταλάκου, ἀνείληπτο δὲ ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο, οἶμαι, ὁ Πιττάλακος, τοσοῦτον [4] τὸ ἀργύριον μάτην, ὡς ᾤετο, ἀνηλωκώς, καὶ ἐζηλοτύπει τὰ γινόμενα, καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτι δὲ αὐτοῖς ἠνώχλει, 5
σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου καὶ Τιμάρχου. μεθυσθέντες γάρ ποτε καὶ αὐτοὶ, καὶ τῶν συγκυβευτῶν τινὲς, καὶ ἄλλοι, ὧν οὐ βούλομαι τὰ ὀνόματα λέγειν, εἰσπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον μὲν συνέτριβον τὰ σκευάρια, καὶ διερρίπτουν εἰς τὴν ὁδὸν, ἀστραγάλους τέ τινας διασείστους καὶ φιμοὺς, καὶ κυβευτικὰ ἕτερα ὄργανα· καὶ τοὺς ὄρτυγας καὶ τοὺς 10
ἀλεκτρυόνας, οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος, ἀπέκτειναν· τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίονα αὐτὸν τὸν Πιττάλακον ἐμαστίγουν τὰς [5] ἑξανθρώπους πλη-

[1] διελέχθη [2] ἀκακία [3] εὐπειστία [4] Deest articulus. [5] ἐξ ἀνθρώπων

bus in Hellesponto gestis plura Demosth. c. Polyclem. TAYLOR.

ιγ'. Καὶ γὰρ εἰς αὐτὸ τὸ πρ. κ.τ.λ.] Sententia est, ut opinor, ita avidum fœdæ libidinis fuisse Timarchum, ut, quemadmodum illa apud Sallustium Sempronia, libidine accensa, sæpius peteret viros quam peteretur. Eumque ejusmodi monstrorum esse morem et in Eudemiis tradit Aristoteles, et Suidas de Eunuchis. Εὐπιστία ἀντὶ τῆς εὐπειθείας poni videtur. WOLF. Venetus Interpres ita: *nam ad hanc ipsam rem mirabilis ejus improbitas est et morigera natura.* TAYLOR. Legendum videtur, καὶ γὰρ εἰς τοῦτο τὸ πρᾶγμα δεινὴ ἡ κακία καὶ ἀπιστία. *Nam ad hujusmodi rem conficiendam magnam vim habere solet improbitas et perfidia.* Patet enim ex sequentibus, ὥστε καὶ ἐξ αὐτῶν τούτων εἰκότως ἂν μισοῖτο, duarum rerum Timarchum hic insimulari, *improbitatis* et *perfidiæ*, nempe erga Pittalacum. JURIN.

Τοσοῦτον τὸ ἀργύριον] Nonne, τοσοῦτον ἀργύριον? IDEM.

Ὅτι] F. ὅτι. *Ubi* molestus iis esse cœperat. Similem varietatem habes in sequentibus. Vid. p. 33. v. 17. TAYLOR.

Διασείστους καὶ φιμοὺς] *Talos agiles et nexiles* convertit anonymus Interpres Venetus. Ego me aleatorum artis etiam nostræ ætatis ignarum esse fateor. Nam dum alii lusitant, ego lucubrare ab ineunte ætate consuevi: nec tamen certam horum nominum interpretationem in libris meis reperire potui. Τὸ διασείειν est *concutere* et *agitare*, φιμὸν *camum*, *capistrum*, *reticulum*, item *fritillum* interpretantur. Sed videtur hic adjective poni, et τοῖς διασείστοις opponi: sive alteri perforati, alteri integri fuerint, sive quocunque modo se habuerint. Ego meam ignorationem negare non possum. WOLF. Lego potius διαστικτοὺς, *compunctos*. Attamen Pollux mentionem facit τῶν διασείστων κύβων libro octavo. puto, quod moventur et agitantur cribro, κοσκίνῳ. SALMAS. Vide omnino doctissimum, amicissimumque Dorvillium in Vanno, pag. 305. seq. Vulgatiora de hac re tibi dabunt Scholiastes noster, Pollux L. X. C. XXXI. Is. Casaubon. ad Theophrast. Charact. cap. V. Salmasius ad Vopiscum. Harpocratio, et Kusterus ad Suid. v. Διάσειστοι. TAYLOR.

Τὰς ἐξ ἀνθρώπων πληγὰς] *Et flagris quæ hominibus incuti solent plagas inferebant.* BRODÆUS. F. τὰς ἐξανθρώπους,

γὰς, οὕτω πολὺν χρόνον, ὥστε καὶ τοὺς γείτονας αἰσθέσθαι τῆς κραυγῆς. τῇ δὲ ὑστεραίᾳ ὑπεραγανακτήσας τῷ πράγματι ὁ Πιττάλακος ἔρχεται γυμνὸς εἰς τὴν ἀγορὰν,
15 καὶ καθίζει ἐπὶ τὸν βωμὸν τὸν τῆς μητρὸς τῶν θεῶν· ὄχλου δὲ συνδραμόντος, οἷον εἴωθε γίνεσθαι, φοβηθέντες ὅ, τε Ἡγήσανδρος καὶ ὁ Τίμαρχος, μὴ ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πόλιν, — ἐπῄει δὲ ἐκκλησία —, θέουσι πρὸς τὸν βωμὸν καὶ αὐτοὶ, καὶ τῶν συγκυβευτῶν τινὲς, καὶ περιστάντες ἐδέοντο τοῦ Πιτταλάκου ἀναστῆναι, 34
λέγοντες ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν· καὶ αὐτὸς
20 δὲ οὗτος οὐδέ πω μὰ Δία, ὥσπερ νῦν, ἀργαλέος ὢν τὴν ὄψιν, ἀλλ᾽ ἔτι χρήσιμος, ὑπογενειάζων τὸν ἄνθρωπον, καὶ πάντα φάσκων πράξειν, ἃ ἂν ἐκείνῳ συνδοκῇ· πέρας πείθουσιν ἀναστῆναι τὸν ἄνθρωπον ἀπὸ τοῦ βωμοῦ, ὡς τευξόμενόν τινος τῶν δικαίων. ὡς δ᾽ ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, οὐκ ἔτι προσεῖχον αὐτῷ τὸν νοῦν. βαρέως δὲ φέρων τὴν ὕβριν αὐτῶν ὁ ἄνθρωπος, δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. ὅτι δὲ ἐδικά-
25 σατο — σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου — ἄνθρωπον μηδὲν αὐτὸν ἠδικηκότα, ἀλλὰ τοὐναντίον ἠδικημένον, [1] οὐδὲ προσήκοντα αὐτῷ, ἀλλὰ δημόσιον οἰκέτην τῆς πόλεως, ἦγεν εἰς δουλείαν, φάσκων αὐτοῦ εἶναι δοῦλον. ἐν παντὶ δὲ κακῷ γενόμενος ὁ Πιττάλακος, προσπίπτει πρὸς τὰ γόνατα ἀνδρὶ καὶ μάλα χρηστῷ. ἔστι τὶς [2] Γλαῦκος Χολαργεύς. οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευθερίαν. τὸ δὲ
30 μετὰ τοῦτο λήξεις δικῶν ἐποιήσαντο. προϊόντος δὲ τοῦ χρόνου ἐπέτρεψαν διαγνῶναι τὸ πρᾶγμα Διοπείθει τῷ Σουνιεῖ, δημότῃ τε ὄντι τοῦ Ἡγησάνδρου, καὶ ἤδη [3] ποτὲ χρησαμένῳ, ὅτ᾽ ἦν ἐν ἡλικίᾳ. παραλαβὼν δὲ τὸ πρᾶγμα ὁ

[1] οὐδὲν [2] Γλαύκων [3] ποτὲ καὶ χρησαμένῳ

hoc est, ἀπανθρώπους καὶ θηριώδεις, etsi hoc adjectivum nusquam alibi legere me memini, nisi apud Athenæum, qui σπασμὸν, ἐξάνθρωπον συμφορὰν vocat. Wolf. Lege ἐξανθρώπους, id est, *inhumanas, crudeles.* Palmer. Vide quæ diximus ad Lysiam c. Agorat. pag. 259. Edit. London. Taylor.

Ὑπογενειάζων] F. τοῦ γενείου λαβόμενος ἱκέτης. Wolf.

Ὅτε] Πρ. γρ. ὅτι. Stephanus.

Ὅτι] Ita Editi. Stephanus sua, credo, auctoritate in ὅτε mutat. Ita Reg. 1. Locker. Utrumvis bonum erit. ἐδικάζετο Reg. 2. et Locker. Taylor.

Γλαῦκος] Lege Γλαύκων cum Locker. Ita in inferioribus, κάλει μοι Γλαύκωνα Χολαργέα, p. 35. v. 1. iterumque v. 4. Γλαύκων Τιμαίου Χολαργεύς. Ita etiam Brodæus. Idem.

Λήξεις δικῶν ἐποιήσαντο] Δίκας ἔλαχον ἀλλήλοις, *alteri alteros in jus vocarunt.* Wolf.

Διοπείθης ἀνεβάλλετο, χαριζόμενος τούτοις, χρόνους ἐκ χρόνων. ὡς δὲ [1] παρῆν ἐπὶ τὸ βῆμα τὸ ὑμέτερον ὁ Ἡγήσανδρος, — ὅτε καὶ προσεπολέμει Ἀριστοφῶντι τῷ [2] Ἀζηνιεῖ, πρὶν αὐτῷ τὴν αὐτὴν ταύτην ἠπείλησεν ἐπαγγελίαν ἐν τῷ δήμῳ, ἥν περ ἐγὼ Τιμάρχῳ ἐπήγγειλα —, καὶ ἐπειδὴ Κρώβυλος ὁ ἀδελφὸς ὁ αὐτοῦ ἐδημηγόρει, καὶ ὅλως ἀπετόλμων ἐν ἡμῖν πρῶτοι οὗτοι περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν, ἐνταῦθα ἤδη καταμεμψάμενος αὐτὸν ὁ Πιττάλακος, καὶ ἐκλογισάμενος ὅς τις ὢν πρὸς οὓς τινας ἐπολέμει, εὖ ἐβουλεύσατο — δεῖ γὰρ τἀληθῆ λέγειν — ἡσυχίαν [3] ἔχειν, καὶ ἠγάπησεν εἴ τι μὴ προσλάβοι καινὸν κακόν. ἐνταῦθα δὴ τὴν καλὴν νίκην ταύτην νενικηκὼς ὁ Ἡγήσανδρος ἀκονιτὶ, εἶχε παρ' ἑαυτῷ Τίμαρχον τουτονί.

ιδ'. Καὶ ταῦτα ὅτι ἐγὼ ἀληθῆ λέγω, πάντες ἴστε. τίς γὰρ ὑμῶν ὃς οὐ πώποτε εἰς τοὔψον ἀφῖκται, καὶ τὰς δαπάνας τὰς τούτων οὐ τεθεώρηκεν; ἢ τίς [4] οὐ τοῖς τούτων κώμοις καὶ μοιχείαις περιτυχὼν, οὐκ ἠχθέσθη ὑπὲρ τῆς πόλεως; ὅμως δὲ ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμὲν, κάλει μοι

[1] *παρεῖ [2] Ἀζηνιεῖ [3] ἔσχε [4] *ὃς

Ἀνεβάλλετο, χ. τ. χ. ἐκ χρ.] V. *Cum comperendinaretur, tempusque ex tempore ampliaret.* Idem.

Τῷ Ἀξηνιεῖ] Vel legendum est Ἀξωνεῖ, vel Ἀζηνιεῖ, quod ultimum præfero. Sæpissime enim accidit, ut ζ et ξ unum pro altero ponantur. Ἀζηνιὰ demus est Hippothoontidis tribus, de quo Hesychius, Suidas, Harpocratio, Stephanus, ipse Æschines infra pag. 26. et 70. et 77. [Edit. Ald.] ubi semper gentile Ἀζηνιεύς. Palmer. Hic proculdubio est iste Aristopho, quem sæpe citat Æschines noster, uti infra §. λά. post med. quique in ea oratione quæ contra Ctesiphontem est, dicitur γραφὰς παρανόμων πεφευγέναι LXXV. Vid. §. ξέ. Verum ibi, et ubique scribitur Ἀζηνιεὺς, ut rescripsit Palmerius, atque uti hic quoque habent Mor. Locker. Scalig. Vid. Meurs. Reliq. Attic. c. 1. et potissimum ea quæ diximus ad Leptineam §. λβ'. Taylor. L. Ἀζηνιεῖ. infra §. λά. med. et κ. Κτησιφ. §. μδ'. et §. ξέ. Markland.

Πρὶν αὐτῷ κ. τ. λ.] Num, πρὶν ἢ αὐτῷ —— ἠπείλησεν, vel, πρὶν αὐτῷ —— ἀπειλῆσαι? Jurin.

Τὴν αὐτὴν ἠ. ἐπαγγελίαν] Eadem et δοκιμασία dicitur in argumento hujus orationis. Uter autem ἠπείλησεν, Aristopho Hegesandro? an Hegesander Aristophonti? Est enim constructio ambigua. Sed Hegesandro minitatum esse Aristophontem, verisimilius est. Wolf.

Πρῶτοι] Quare πρῶτοι? Anne hi *primi* qui verba fecerunt de summa rerum Græcarum? Delendum credo; certe ab optimo Locker. abest. Taylor.

Ὅστις ἂν] *Qui vir esset, quam nullius auctoritatis.* Brodæus.

Ἀκονιτὶ] In Edit. Ald. erat ἀκονιτὶ εἶχε, non, νενικηκὼς ἀκονιτί. Ita etiam Codd. Coisl. Reg. 2. et Locker. Ita porro interpretari vides Wolfium. Rem vidit præstantissimus Stephanus. Taylor. *Victoriam istam nullo negotio adeptus, Timarchum habuit*, non, *istam victoriam adeptus, Timarchum nullo cum negotio habuit*, quomodo Cl. Wolfius. Jurin.

ιδ'. Τοῦψον] *Convivia, compotationes.* Brodæus. εἰς τὸ ὄψον, *ad obsonia et lauticias.* Videtur hic non τὰ μετ' ἄρτου ἐσθιόμενα significare, sed ἀγορὰν καθ' ἣν τὰ ὄψα πωλοῦνται, aut popinas, cujusmodi sunt Gallicæ, lautissimæ sane. Wolf. Recte Wolfius, quæ in medio habet, recteque *forum cupedinarium* vertit. Sic, εἰς τὸν χλωρὸν τυρὸν, εἰς τὸν οἶνον, εἰς τοὔλαιον etc. Vide Lect.

10.1 Γλαύκωνα Χολαργέα τὸν ἀφελόμενον εἰς ἐλευθερίαν τὸν Πιττάλακον, καὶ τὰς ἑτέρας μαρτυρίας ἀναγίνωσκε.

ΜΑΡΤΥΡΙΑ.

Μαρτυρεῖ Γλαύκων Τιμαίου Χολαργεύς. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν. χρόνῳ δ' ὕστερον ἐλθὼν πρὸς ἐμὲ Πιττάλακος ἔφη βούλεσθαι διαλυθῆναι τὰ πρὸς Ἡγήσανδρον, καὶ [1] προσπέμψαι αὐτῷ τὰς δίκας ἄρασθαι, ἥν τε αὐτὸς ἐνεκαλέσατο Ἡγήσανδρον καὶ Τίμαρχον, καὶ ἣν Ἡγήσανδρος τῆς δουλείας αὐτὸν, καὶ διελύθησαν ὡσαύτως. 36

ΜΑΡΤΥΡΙΑ.

Ἀμφισθένης μαρτυρεῖ. ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν——

καὶ τὰ ἑξῆς. οὐκοῦν καὶ αὐτὸν ὑμῖν καλέσω τὸν Ἡγήσανδρον. γέγραφα δ' αὐτῷ μαρτυρίαν κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον, μικρῷ δὲ σαφεστέραν, ἢ τῷ Μισγόλᾳ. οὐκ ἀγνοῶ δ' ὅτι ἀπομεῖται καὶ ἐπιορκήσει. διὰ τί οὖν αὐτὸν καλῶ ἐπὶ τὴν μαρτυρίαν; ἵν' ὑμῖν ἐπιδείξω, οἵους ἀπεργάζεται ἀνθρώπους τὸ ἐπιτήδευμα τοῦτο· ὡς καταφρονοῦντας μὲν τῶν θεῶν, ὑπερορῶντας δὲ τοὺς νόμους, ὀλιγώρως δὲ ἔχοντας πρὸς ἅπασαν αἰσχύνην. κάλει μοι τὸν Ἡγήσανδρον.

ΜΑΡΤΥΡΙΑ.

Ἡγήσανδρος Διφίλου [2] Σπειριεὺς μαρτυρεῖ. ὅτε κατέπλευσα ἐξ Ἑλλησπόντου, κατέλαβον παρὰ Πιτταλάκῳ τῷ κυβευτῇ διατρίβοντα τὸν Τίμαρχον τὸν Ἀριζήλου, καὶ ἐξ ἐκείνης τῆς γνώσεως ἐχρησά-

[1] * προσπέμψας αὐτῷ διάλυσιν τῆς δίκης, ἄρασθαι, ἥν

[2] Στειριεὺς

Lysiac. caput postremum. TAYLOR.

Προπέμψαι —— τῆς δίκης ἄρασθαι] Lego προσπέμψαι αὐτῷ τὰς δίκας ἄρασθαι. WOLF. τὰς δίκας Bern. ut voluit Wolfius. Ceteri omnes uno ore, προπέμψαι, et τῆς δίκης. Cod. Reg. 1. καὶ προπέμψαι διάλυσιν ἄρασθαι τῆς δίκης, ἥν τε αὐτὸς cetera. TAYLOR.

Καὶ διελύθησαν ὡσαύτως] Τὸν αὐτὸν τρόπον, id est, ut opinor, uterque alterum missum fecit, ἔχοντος ἑκατέρου ὡς ἔχει. WOLF.

Σπειριεὺς] Repone Στειριεύς. Στειρία enim demus est Pandionidis, de quo Pausanias in Phocicis (qui Στίρν videtur nominare) Hesychius, Harpocratio, Stephanus. Aristophanis Scholiastes ad Ranas habet Στηριεὺς, in eo, credo, corrigendus. Inde domo fuit Thrasybulus ille decantatus, qui ubique Στειριεὺς dicitur, ut apud Plutarchum in Alcibiade, et alios. PALMER. Non inscite Palmerius. Nam præter Meursium de Pop. Attic. nactus est bonum Cod. Bern. consentientem. Verum præterea, Hegesander noster p. 33. v. pen. videtur fuisse non Stiriensis, sed Suniensis: Διοπείθει τῷ Σουνιεῖ, δημότῃ ὄντι τοῦ Ἡγησάνδρου. Ad quam normam hic emendandum esse judico. TAYLOR.

μὴν Τιμάρχῳ, ὁμιλῶν τῇ αὐτῇ [1] ἄρσει ᾗ καὶ τὸ πρότερον Λαοδάμαντι.

οὐκ ἠγνόουν, ὅτι ὑπερόψεται τὸν ὅρκον, ὦ Ἀθηναῖοι· ἀλλὰ καὶ προεῖπον ὑμῖν. κἀκεῖνο δέ μοι πρόδηλόν ἐστιν, ὅτι ἐπειδὴ νῦν οὐκ ἐθέλει μαρτυρεῖν, αὐτίκα πάρεισιν ἐν τῇ 20 ἀπολογίᾳ· καὶ οὐδὲν μὰ Δία θαυμαστόν. ἀναβήσεται γάρ, οἶμαι, δεῦρο πιστεύων τῷ αὐτοῦ βίῳ, ἀνὴρ καλὸς κἀγαθὸς
37 καὶ μισοπόνηρος· καὶ τὸν Λεωδάμαντα ὅς τις ἦν οὐ γινώσκων, ἐφ' ᾧ ὑμεῖς ἀνεθορυβήσατε, τῆς μαρτυρίας ἀναγιγνωσκομένης. ἆρά γε προαχθήσομαί [2] τι σαφέστερον εἰπεῖν, ἢ κατὰ τὴν ἐμαυτοῦ φύσιν; εἴπατέ μοι πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, ὦ Ἀθηναῖοι, ὅς τις αὐτὸν κατήσχυνε 25 πρὸς Ἡγήσανδρον, οὐ δοκεῖ ὑμῖν πρὸς τὸν πόρνον πεπορνεῦσθαι; ἢ τίνας οὐκ οἰόμεθ' αὐτοὺς ὑπερβολὰς ποιεῖσθαι βδελυρίας, παροινοῦντας καὶ μονουμένους; οὐκ οἴεσθε τὸν Ἡγήσανδρον ἀπολογούμενον τὰς πρὸς τὸν Λεωδάμαντα πράξεις τὰς περιβοήτους, ἃς ὑμεῖς ἅπαντες σύνιστε, ὑπερῆφανα [3] τὰ ἐπιτάγματα ἐπιτάττειν, ὡς ταῖς

[1] * πράξει [2] * ἔτι [3] τὰ] τούτῳ

Τῇ αὐτῇ ἄρσει] *Eadem vitæ societate, cum eo familiariter degens.* Brodeus. F. χρήσει. Nisi forte sit τῶν τῆς δωδεκαμηχάνου παλαισμάτων ἓν τι ἡ ἄρσις καὶ ἡ θέσις. Ἀλλ' ἐς κόρακας ταῦτα. Postea, [§. κγ'. med.] ait ὁ μὲν ἀνὴρ ἐστὶν Ἡγήσανδρος ἐκεῖνος νυνί, ἔφη, πρότερον δ' ἦν Λεωδάμαντος γυνή. Wolf. Puto legendum τῇ αὐτῇ αἱρέσει, id est, *codem vitæ genere.* Palmer. Supra docuit Orator se testimonium Hegesandro scripsisse κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον, μικρῷ δὲ σαφεστέραν, ἢ τῷ Μιτγόλᾳ, et revera iis verbis testimonium concepit, quæ tam ad innocuum quam ad facinorosum sensum detorqueri possint. Ceterum minus perspexisse videtur Wolfius, quæ sit constructio horum verborum. Mihi ita intelligenda videntur; Τιμάρχῳ ὁμιλῶν ἰσχυσάμην τῇ αὐτῇ ἄρσει, ᾗ καὶ τὸ πρότερον ἰσχυσάμην Λαοδάμαντι ὁμιλῶν. Quæ autem fuerit ista, sive ἄρσις *sublevatio*, seu ἕρσις *nexus*, vel etiam, quod magis arridet, etiamsi paulo longius a vulgata lectione recedat, αἵρεσις *conditio, consuetudo*, qua usus fuerit Hegesander cum Laodamante, facile perspicitur ex §. κγ'. med. ὁ μὲν ἀνὴρ ἐστὶν Ἡγήσανδρος νυνί, πρότερον δ' ἦν καὶ αὐτὸς Λεωδάμαντος γυνή. Jurin.

Λαοδάμαντι] Infra v. 8. et antepen. Μεδάμαντα. Markland.

Πρὸς τὸν πόρνον πεπορνεῦσθαι] Sic Hegesandrum flagitiosiorem etiam Timarcho facit. Verum quo pacto negat, eum dicturum esse aut dixisse testimonium, cum id recitet? An id ipse Æschines illius exagitandi gratia confinxit? Wolf.

Παροινοῦντας καὶ μονουμένους] Non puto esse causam, cur μαινομένους substituamus. Idem. Recte tu quidem putasti. Taylor.

Οὐκ οἴεσθε —— διαπεπρᾶχθαι;] Periodi hujus sensum cum vix satis expressisse Wolfius videatur, nos integram exponemus. *Nonne creditis Hegesandrum, ad elevandam infamiam decantatæ illius et vobis omnibus notæ patientiæ, quam ipse Laodamanti præstitisset, res omnem impudentiam excedentes Timarcho imperasse, ut præ summa hujus turpitudine ipse non immodeste se gessisse videatur?* Jurin.

Ἀπολογούμενον] Utrum διηγούμενον, ἢ παραιτούμενον? Flagitiosam autem Laodamantis istius, quisquis ille fuit, historiam ignorare et me et studiosos adolescentes facile patior. Wolf.

Ὑπερῆφανα] Ὑπερῆφανα τὰ ἐπιτάγματα τούτῳ ἐπιτάττειν, et ὑπερῆφανα τούτῳ ἐ. ἐ. libri scripti. Taylor.

Ἐπιτάττειν] Utrum τὸν Λεωδάμαντα τῷ Ἡγησάνδρῳ, (Nam quanta istorum prosti-

τούτου ὑπερβολαῖς αὐτὸν [1]δόξαντα μέτρια διαπεπρᾶχθαι;

30 ιέ. Ἀλλ' ὅμως ὄψεσθε ὅτι καὶ μάλα ἐπιστρεφῶς καὶ ῥητορικῶς αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Κρώβυλος αὐτίκα μάλα δεῦρο ἀναπηδήσαντες, ταῦτα μὲν εἶναι πολλῆς ἀβελτηρίας φήσουσιν, ἃ ἐγὼ λέγω· ἀξιώσουσι δέ με μάρτυρας παρέχεσθαι διαῤῥήδην μαρτυροῦντας ὅπου ἔπραττεν, ὅπως ἐποίει, ἢ τίς εἶδεν, ἢ τίς ἦν ὁ τρόπος· πρᾶγμα, οἶμαι,

35 ἀναιδὲς λέγοντες. οὐ γὰρ [2]οἶμαι ἔγωγε ὑμᾶς οὕτως ἐπιλήσμονας εἶναι, ὥστε ἀμνημονεῖν, ὀλίγῳ πρότερον ἀκούσαντας ἀναγινωσκομένων τῶν νόμων, ἐν οἷς γέγραπται, ἐάν τις μισθώσηταί τινα Ἀθηναῖον ἐπὶ ταύτην τὴν πρᾶξιν, ἢ ἐάν τις αὐτὸν μισθώσῃ, ἔνοχον εἶναι τοῖς μεγίστοις καὶ τοῖς ἴσοις ἐπιτιμίοις. τίς οὖν οὕτω ταλαίπωρός ἐστιν ἄνθρωπος, ὅστις 38

ἂν ἐθελήσειε σαφῶς τὴν τοιαύτην μαρτυρίαν μαρτυρῆσαι, ἐξ ἧς ὑπάρχει αὐτῷ, ἐὰν ταλήθῃ μαρτυρῇ, ἐπιδεικνύναι

40 ἔνοχον ὄντα αὐτὸν τοῖς ἐσχάτοις ἐπιτιμίοις; οὐκοῦν ὑπόλοιπόν ἐστι τὸν [3]πεπονθότα ὁμολογεῖν. ἀλλὰ διὰ τοῦτο κρίνεται, ὅτι ταῦτα πράξας, παρὰ τοὺς νόμους ἐδημηγόρει. βούλεσθε οὖν τὸ ὅλον πρᾶγμα ἀφῶμεν, καὶ μὴ ζητῶμεν; νὴ τὸν Ποσειδῶ, καλῶς ἄρα τὴν πόλιν οἰκήσομεν, εἰ ἃ αὐτοὶ ἔργῳ ἴσμεν γινόμενα, ταῦτα ἐὰν μή τις ἡμῖν δεῦρο παρελθὼν σαφῶς ἅμα καὶ ἀναισχύντως αὐτὸς μαρ-

11.1 τυρήσῃ, διὰ τοῦτο ἐπιλησόμεθα. σκέψασθε δὲ καὶ ἐκ παραδειγμάτων. ἀνάγκη δὲ ἴσως ἔσται παραπλήσια τὰ παραδείγματα εἶναι τοῖς τρόποις [4]τοῦ Τιμάρχου. ὁρᾶτε τουτουσὶ τοὺς ἐπὶ τῶν οἰκημάτων καθεζομένους, τοὺς ὁμο-

[1] * δόξαντα [2] οἶομαι [3] πεπονθότα αὐτὸν ὁμολογεῖν [4] τοῖς

bulorum vecordia fuerit, ex ea fabula, quæ apud Suidam exstat de quodam, qui amatori suo præcepit, ut de rupe se præcipitaret, apparet) an τὸν Ἡγήσανδρον τῷ Τιμάρχῳ? Wolf.

Ὡς ταῖς ——— διαπεπρᾶχθαι] Ὡς δόξαντα (Sub. τὸν Ἡγήσανδρον) διαπεπρᾶχθαι μέτρια ταῖς ὑπερβολαῖς τούτου. Τουτέστιν, ἐπειδὴ ὁ Τίμαρχος πολὺ ἀκολαστότερός ἐστι τοῦ Λαοδάμαντος. Nec tamen satis confido huic sententiæ: nec nostra interesse sentio, cinædorum nosse historias atque facetias: neque me pœnitet primæ conversionis meæ. Idem.

ιέ. Τὸν πεπονθότα] Recte Locker. τὸν πεπονθότα αὐτὸν ὁμολογεῖν. Taylor.

Οἰκήσομεν] *Egregie profecto urbs incoletur.* Wolfius. Male. Potius, *administrabitur.* Οἰκῶ, οὐ μόνον τὸ κατοικῶ ——— ἀλλὰ καὶ τὸ ὡσανεὶ διοικῶ. Αἰσχίνης· τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν. Thom. Magister. Vide supra §. ζ'. med. Idem.

Οἰκημάτων] Οἴκημα ἀντὶ τοῦ δεσμωτήριον, Δείναρχος· ἀντὶ τοῦ πορνεῖον δὲ, Αἰσχίνης.

λογουμένως τὴν πρᾶξιν ταύτην πράττοντας. οὗτοι μέν τοι ὅταν πρὸς τῇ ἀνάγκῃ ταύτῃ γίνωνται, ὅμως πρό γε τῆς 5 αἰσχύνης προβάλλονταί τι καὶ συγκλείουσι τὰς θύρας. εἰ δή τις ὑμῶν ἔροιτο τοὺς ὁδῷ πορευομένους τί νῦν ὁ ἄνθρωπος οὗτος πράττει, εὐθὺς ἂν εἴποιτε τοῦ ἔργου τοὔνομα, οὐχ [1] ὁρῶντες τὸν εἰσεληλυθότα ὅς τις ἦν, ἀλλὰ τὴν προαίρεσιν τῆς ἐργασίας τοῦ ἀνθρώπου συνειδότες, καὶ τὸ πρᾶγμα [2] γνωρίζοντες. οὐκοῦν τὸν αὐτὸν τρόπον προσήκει ὑμᾶς καὶ περὶ Τιμάρχου ἐξετάζειν· καὶ μὴ σκοπεῖν, εἴ τις εἶδεν, ἀλλ' εἰ πέπρακται τούτῳ ἡ πρᾶξις. ἐπεί, πρὸς θεῶν, Τί- 10 μαρχε, τί χρὴ λέγειν; ἢ τί σὺ ἂν εἴποις αὐτὸς περὶ ἑτέ-
39 ρου ἀνθρώπου ἐπὶ τῇ αὐτῇ αἰτίᾳ κρινομένου; ἢ τί χρὴ λέγειν ὅταν μειράκιον νέον καταλιπὸν τὴν πατρῴαν οἰκίαν, νυκτερεύῃ ἐν ἀλλοτρίαις οἰκίαις, τὴν ὄψιν ἑτέρων διαφέρον, καὶ πολυτελῆ δεῖπνα δειπνῇ ἀσύμβολον, καὶ αὐλητρίδας ἔχῃ καὶ ἑταίρας [3] πολυτελεστάτας, καὶ κυβεύῃ, καὶ μηδὲν ἐκτίνῃ αὐτός, ἀλλ' ἕτερος ὑπὲρ αὐτοῦ· ἔτι ταῦτα μαντείας 15 προσδεῖται; οὐκ εὔδηλον ὅτι πᾶσα ἀνάγκη τὸν τὰ τηλικαῦτα ἐπιτάγματα τισὶν ἐπιτάττοντα, καὶ αὐτὸν ἀντὶ τούτων ἡδονάς [4] τισι παρασκευάζειν, τοῖς τὸ ἀργύριον [5] προσαναλίσκουσιν; οὐ γὰρ ἔχω, μὰ τὸν Δία τὸν Ὀλύμπιον,

[1] εἰδότες [2] γνωρίζετε [3] τὰς πολυτελεστάτας [4] τινας [5] προαναλίσκουσιν

Suidas, et similiter Harpocrat. Vide quæ diximus ad Marm. Sandvic. pag. 59. Idem.

Ἀνάγκῃ] F. αἰσχύνῃ. Nisi forte nefaria consuetudo necessitatem quandam afferat turpitudinis. Id quod in Ethicis Eudemiis ἥκιστα μὲν ἠθικῶς, μᾶλλον δὲ ἀσελγῶς καὶ ἀναισχύντως traditur. Wolf. Merito displicet Wolfio vox ista ἀνάγκῃ, sed locum non expedit: neque ego mehercule, sine ope codicis sanioris quam nacti sumus, expedire possum. Video autem interea quid velit Auctor. *Qui necessario istud agunt, qui eum quæstum exercent, non libidinis ergo, sed victus quotidiani causa, tamen ii ipsi non palam et publice prostant.* Taylor.

Εἰ δή τις κ. τ. λ.] F. εἰ δή τις ὑμᾶς ἔροιτο τῶν ὁδῷ πορευομένων. Wolf. Infeliciter profecto, neque opus est emendatione. Interpres Venetus: *si vero jam aliquis interroget vos illac transeuntes.* ὑμᾶν τοὺς πορευομένους, *quicunque vestrum illac transierit.* Taylor.

Ὁρῶντες;] Melius cum Bern. Coisl. et Reg. 2. εἰδότες. Idem.

Μειράκιον νέον καταλιπὼν] Sequitur διαφέρων. Quæ puto legenda per ο, καταλιπὸν, διαφέρον, sicut ἀσύμβολον, quod sequitur. Wolf. Stephanus invenit in suis exemplaribus (quibuscum præter Codd. Regg. 1. et 2. ceteri consentire videntur) καταλιπὼν, διαφέρων, syntaxi ad τὸ νεούμενον, ut aiunt, relata. Melius tamen ei videtur καταλιπὸν et διαφέρον, ἀκολούθως τῷ ἀσύμβολον. Notes tamen scholiastem nostrum ἀσύμβολος legere. Hunc locum respexit Athenæus l. XIII. p. m. 283. Καλῶς δὲ περὶ τῶν τοιούτων Ἔφιππος ἐν Σαπφοῖ φησίν,

ὅταν νέος
Εἰς ἀλλότριον εἰσελθὼν ὄψον ἐσθίῃ,
Ἀσύμβολόν τε χεῖρα προσβάλῃ βορᾷ,
Δεδίναι νόμιζ' αὐτὸν σοι τῆς νυκτὸς λόγον.

Τὰ αὐτὰ εἴρηκε καὶ Αἰσχίνης ὁ ῥήτωρ ἐν τῷ κατὰ Τιμάρχου. Senarium istum secundum Poetæ a deploratissimo metro hodie primus liberavi, neque Casauboni solertia in hoc loco mihi valde placet. Taylor.

τίνα τρόπον εὐφημότερον μνησθῶ τῶν σοὶ καταγελάστως πεπραγμένων ἔργων.

ις'. Θεωρήσατε δὲ, εἰ βούλεσθε, τὸ πρᾶγμα καὶ ἐκ πολιτικῶν τινῶν παραδειγμάτων, καὶ μάλιστα ἐκ τούτων ἃ νῦν μετὰ χεῖρας ἔχετε. γεγόνασι διαψηφίσεις ἐν τοῖς δήμοις· καὶ ἕκαστος ἡμῶν ψῆφον δέδωκε περὶ τοῦ σώματος, ὅστις Ἀθηναῖος ὄντως ἐστὶ καὶ ὅστις μή. καὶ ἔγωγε, ἐπειδὰν [1]προσίω τὸ δικαστήριον, καὶ ἀκροάσωμαι τῶν ἀγωνιζομένων, ὁρῶ ὅτι ἀεὶ τὸ αὐτὸ ἰσχύει παρ' ὑμῖν. ἐπειδὰν γὰρ εἴπῃ ὁ κατήγορος· Ἄνδρες δικασταὶ, τούτου κατεψηφίσαντο οἱ [2]δημόται, ὁμόσαντος οὐδενὸς ἀνθρώπου, οὔτε κατηγορήσαντος, οὔτε καταμαρτυρήσαντος, ἀλλ' αὐτοὶ συνειδότες·— εὐθὺς, οἶμαι, θορυβεῖτε ὑμεῖς, ὡς οὐ μετὸν τῷ κρινομένῳ τῆς πόλεως. [3]οὐθὲν γὰρ, οἶμαι, δοκεῖ προσδεῖσθαι ὑμῖν λόγων οὐδὲ μαρτυρίας, ὅσα τὶς σαφῶς οἶδεν αὐτός. φέρε δὴ, πρὸς τοῦ Διὸς, εἰ ὥσπερ περὶ τοῦ γένους, οὕτω καὶ περὶ τοῦ ἐπιτηδεύματος τούτου ἐδέησε δοῦναι [4]ψῆφον, Τίμαρχος εἴτε ἔνοχός ἐστιν, εἴτε μή· ἐκρίνετο δὲ τὸ πρᾶγμα ἐν τῷ δικαστηρίῳ· εἰσήγετο δὲ εἰς ὑμᾶς ὥσπερ νῦν· μὴ ἐξῆν δ' ἐκ τοῦ νόμου ἢ τοῦ ψηφίσματος μήτε ἐμοὶ κατηγορεῖν, μήτε τούτῳ ἀπολογεῖσθαι· ὁ δὲ κήρυξ ὁ νυνὶ παρεστηκὼς ἐμοὶ, ἐπηρώτα

[1] προσίω πρὸς τὸ [2] δημόται ὁμόσαντες, [3] οὐδὲν [4] ψῆφον Τίμαρχον, εἴτε

Εὐφημότερον] Deerat hæc vox in Edit. Stephanica, aliisque exemplaribus. Restituit cum Wolfio, Coisl. Locker. et Reg. 2. Idem.

Γεγόνασι διαψηφίσεις] V. *Factæ sunt in tribubus recensiones.* Wolf. Consule Harpocrationem. Taylor.

Ὅστις μὴ] Ita Brodæus et Wolfius illuviem quæ in Aldo erat repurgarunt. Adjuvant suis suffragiis Locker. Coisl. et Reg. 2. Præstat hoc quam ὅσπερ Stephani. Idem.

Προσίω τὸ δικαστήριον] F. τῷ δικαστηρίῳ ἢ πρὸς τὸ δικαστήριον. Wolf. πρὸς τὸ δικαστήριον Locker. Coisl. Reg. 2. εἰς τὸ δ. Reg. 1. Taylor.

Ὁμόσαντος] Cod. Locker. ὁμόσαντες. Ut sit κατεψηφίσαντο οἱ δημόται ὁμόσαντες, οὐδενὸς ἀνθρώπου οὔτε κατηγορήσαντος, οὔτε καταμαρτυρήσαντος. quanquam hæ duæ postremæ voces in isto exemplari desunt. Idem.

Ἀλλ' αὐτοὶ συνειδότες] *Sed ex sua ipsorum conscientia.* Hæc verba quæ habet Orator de popularibus, sive ejusdem pagi civibus, male transtulit Wolfius ad ipsos Judices. Jurin.

Εὐθὺς, οἶμαι, θορυβεῖτε ὑμεῖς] Legendum puto, εὐθὺς θορυβεῖτε ὑμεῖς. *Vos statim conclamatis.* Videtur enim τὸ οἶμαι, cum plane superfluum sit, et etiam sensum turbet, ex sequente linea huc irrepsisse. Idem. Recte. deest ea vox a manu 1ma. Cod. Locker. Taylor.

Ὡς οὐ μετὸν] Μετὸν locutio impersonalis est, *quod civitatis jurium particeps non est, quod civis non est.* Isocrates, τῶν δὲ λόγων τῶν καλῶς καὶ τεχνικῶς ἐχόντων, οὐ μετὸν τοῖς φαύλοις. Lysias, οὐ μετὸν αὐτῷ ἄλλων τε κατειργασμένων. Brodæus.

Δοῦναι ψῆφον Τίμαρχον] Malim Τίμαρχος. Wolf. ὑποστίζοντες πρὸ τούτου, οὐ μετὰ τοῦτο. Stephanus. Edidi ex mente Wolfii, et Cod. Bern. Olim, ἔδει δοῦναι ψῆφον Τίμαρχον, εἴτε ἔνοχός ἐστιν, εἴτε μή. Taylor.

ὑμᾶς τὸ ἐκ τοῦ νόμου κήρυγμα, τῶν ψήφων ἡ τετρυ-
πημένη ὅτῳ δοκεῖ πεπορνεῦσθαι Τίμαρχος,
ἡ δὲ πλήρης ὅτῳ μή· τί ἂν ἐψηφίσασθε; ἀκριβῶς
οἶδ' ὅτι κατέγνωτ' ἂν αὐτοῦ. εἰ δή τις με ἔροιτο ὑμῶν, τί 35
δὲ σὺ οἶσθα, εἰ ἡμεῖς ἂν τούτου κατεψηφισάμεθα; εἴποιμ'
ἄν, διότι ἐπαῤῥησιάσασθέ μοι, καὶ διείλεχθε· καὶ ὁπότε
καὶ ὅπου ἕκαστος, ἐγὼ ὑμᾶς ὑπομνήσω. ὅταν οὐτοσὶ ἐν τῷ
δήμῳ ἀναβῇ ἐπὶ τὸ βῆμα· καὶ ἡ βουλὴ ὅτε ἐβούλευσε πέ-
ρυσιν· ἢ ἐὰν μνησθῇ τειχῶν ἐπισκευῆς ἢ πύργου· ἢ ὡς ἀπή-
γετό [1]που τις· εὐθὺς ἐγελᾶτε καὶ ἐβοᾶτε, καὶ αὐτοὶ ἐλέ-
γετε τὴν ἐπωνυμίαν τῶν ἔργων, ὧν σύνιστε αὐτῷ. καὶ τὰ 40
μὲν πολλὰ καὶ παλαιὰ ἐάσω· τὰ δὲ ἐν αὐτῇ τῇ ἐκκλησίᾳ
γενόμενα, ὅτε ἐγὼ τὴν ἐπαγγελίαν ταύτην Τιμάρχῳ ἐπήγ-
γειλα, ταῦθ' ὑμᾶς ἀναμνῆσαι βούλομαι. τῆς γὰρ βουλῆς
τῆς ἐν Ἀρείῳ πάγῳ πρόσοδον ποιουμένης πρὸς τὸν δῆμον,
κατὰ τὸ ψήφισμα τὸ τούτου, ὃ οὗτος εἰρήκει περὶ τῶν οἰκή-
41 σεων τῶν ἐν τῇ Πνυκί· ἦν μὲν ὁ τὸν λόγον λέγων ἐκ τῶν
Ἀρεοπαγιτῶν Αὐτόλυκος· καλῶς, νὴ τὸν Δία τὸν Ὀλύμπιον 12.1
καὶ τὸν Ἀπόλλω, καὶ σεμνῶς καὶ ἀξίως τοῦ συνεδρίου
ἐκείνου βεβιωκώς· ἐπειδὴ δέ που προϊόντος τοῦ λόγου εἶπεν
ὅτι τό γε εἰσήγημα τὸ Τιμάρχου ἀποδοκιμάζει ἡ βουλή,
καὶ περὶ τῆς ἐρημίας ταύτης καὶ τοῦ τόπου τοῦ ἐν τῇ
Πνυκί· μὴ θαυμάσητε, ὦ Ἀθηναῖοι, ἔφη, εἰ Τίμαρχος ἐμ- 5
πειροτέρως ἔχει τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου· ἀνεθορυβή-
σατε ὑμεῖς ἐνταῦθα, καὶ ἔφατε τὸν Αὐτόλυκον ἀληθῆ λέγειν·

[1] * ποι

Τῶν ψήφων ἡ τετρυπημένη] Ἔστω subaudiendum. Brodæus. Nota calculorum discrimina, de quibus etiam Ulpianus aliquid. ψῆφος μέλαινα καὶ λευκή· τετρυπημένη καὶ πλήρης. Quorum priores condemnarunt, posteriores absolverunt. Wolf. Laudat hanc vocem Harpocratio ex hac oratione, quem consuli velim, itemque Lucianum cum suo scholiaste, T. II. pag. 335. Edit. Nov. Taylor.

Ἀναβῇ] Num legendum ἀνέβη? Jurin.

Τειχῶν ἐπισκευῆς] Ea quæ sequuntur, videntur ἀλληγορικὰ, mihi quidem αἰνιγματικὰ sunto, ut et ea quæ ex oratione Autolyci Areopagitæ notantur. Τὰ τείχη, ὁ πύργος, τὸ ἀπάγεσθαι obsceni aliquid innuunt. Alias τὸ ἀπάγεσθαι καὶ ἡ ἀπαγωγὴ de carcere dicitur. Scomatum horum acumen in verborum amphiboliis et allusionibus quibusdam positum nec a me satis intelligi fateor, nec eadem venustate a quoquam posse exprimi Latine existimo. Wolf.

Πρόσοδον ποιουμένης κ. τ. δ.] Ἀντὶ τοῦ, προσιούσης τῷ δήμῳ. Isocrates Areopag. περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην. et post, ὑπὲρ ἧς ἐγὼ καὶ τὸν λόγον μέλλω ποιεῖσθαι, καὶ τὴν πρόσοδον ἀνεγραψάμην. Idem.

Ἡ βουλὴ] Forte plenius distinguendum est post βουλὴ, ut cetera sic ordinentur, καὶ περὶ τῆς ἐρημίας ταύτης —— μὴ θαυμάσητε —— εἰ Τίμαρχος ἐμπειροτέρως ἔχει τ. β. τ. ἐ. Ἀ. πάγου. Id utique satius est. Taylor.

εἶναι γὰρ αὐτὸν τούτων ἔμπειρον. ἀγνοήσας δὲ ὑμῶν τὸν θόρυβον Αὐτόλυκος, μάλα σκυθρωπάσας καὶ διαλιπὼν εἶπεν· ἡμεῖς [1] μέντοι, ὦ Ἀθηναῖοι, οἱ Ἀρεοπαγῖται οὔτε κατηγοροῦμεν Τιμάρχου, οὔτε ἀπολογούμεθα, — οὐ γὰρ ἡμῖν πάτριον ἐστιν —, ἔχομεν δὲ [2] τοιαύτην συγγνώμην Τιμάρχῳ. οὗτος ἴσως, ἔφη, ᾠήθη ἐν τῇ ἡσυχίᾳ ταύτῃ μικρὸν ἡμῶν ἑκάστῳ ἀνάλωμα γίνεσθαι. [3] πάλιν, ἐπὶ τῇ ἡσυχίᾳ καὶ τῷ μικρῷ ἀναλώματι, μείζων ἀπήντα παρ' ὑμῶν μετὰ γέλωτος θόρυβος. ὡς δ' ἐπεμνήσθη τῶν οἰκοπέδων καὶ τῶν λάκκων, οὐδ' ἀναλαβεῖν αὐτοὺς ἐδυνήθητε. ἔνθεν καὶ παρέρχεται Πύρρανδρος ἐπιτιμήσων ὑμῖν· καὶ ἤρετο τὸν δῆμον εἰ οὐκ αἰσχύνοιντο γελῶντες παρούσης τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου. ὑμεῖς δ' [4] ἐξεβάλετε αὐτόν, ὑπολαβόντες, ἴσμεν, ὦ Πύρρανδρε, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον· ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖ τῶν ἀν- 42
θρωπίνων λογισμῶν. ταύτην ἐγὼ ὑπολαμβάνω τὴν μαρτυρίαν μεμαρτυρῆσθαι ὑμῖν ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων, ἣν ἁλῶναι ψευδομαρτυριῶν οὐ καλῶς ἔχει. οὐκοῦν ἄτοπον ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ μηδὲν μὲν ἐμοῦ λέγοντος, αὐτοὶ βοᾶτε τὴν ἐπωνυμίαν τῶν ἔργων ὧν σύνιστε τούτῳ, ἐμοῦ δὲ λέ-

[1] μέντοι, ἔφη, ὦ [2] τοιαύτην τινὰ συγγνώμην [3] καὶ πάλιν [4] ἐξεβάλλετε

Οὐ γὰρ ἡμῖν πατρικόν ἐστι] Malim πάτριόν ἐστιν, ea de causa quam in Isocratis commentariis e Suida protuli, et versatis in lectione Græcorum auctorum probari facile posse puto. Wolf.

Οὗτος ἴσως] Τὸ οὗτος μετὰ τοῦ ἔφη, κατά τινας. Stephanus.

Ἡσυχίᾳ] Ἡσυχία fortasse pro *loco deserto* et *silenti*. Taylor.

Οἰκοπέδων] Οἰκόπεδον *aream domus* et *domicilium* significat. Omnes porro ædis instar admittit Scortum. Minus autem obscurus est in voce λάκκων morsus, siquidem ea vox *fossam* et *cuniculum* notat. Brodæus. λάκκον est verbum obscœnum, ut Latinis *fossa*. unde λακκόπρωκτος. Cum autem mentionem injiceret οἰκοπέδων καὶ λάκκων, risu concutiebantur Areopagitæ, cum in memoriam recurrerent nefandæ libidinis Timarchi λακκοπρώκτου. ita explicandus locus. Salmas. Οἰκόπεδον est Planicies, locus solus et populi expers, area sc. domus vel incendio absumptæ, vel alio aliquo casu destructæ. *Æquor* vocant Latini. Ita Æquimelium apud Ciceronem et Livium solum vel æquor istius domicilii, quod Sp. Melius incoluit. Loquitur Auctor noster solummodo de locis *solis* et *spatiosis*, adeoque merito suspectis. Nihil opus est ista περιεργίᾳ et circuitione Brodæi. Taylor.

Οὐδ' ἂν λαβεῖν αὐτοὺς] F. οὐδ' ἀναλαβεῖν αὐτοὺς ἐδυνήθητε, et [l. 11.] ἤρετο τὸν δῆμον, εἰ οὐκ αἰσχύνοιντο. Wolf. Ald. εἰ οὐ καὶ σχύνοντο. Quod mendum etiam sustulit Brodæus. Nos plura ejus generis præterimus quæ Wolfius complanavit. Nam si maxime necessarium erat ut tollerentur, vix tanti sunt aut ingenii aut ponderis, ut lectori meo identidem aures de ea re vellerem. Taylor. Manifestum est debere legi, οὐδ' ἀναλαβεῖν ἑαυτούς, id est, *non potuistis vos recolligere et a risu temperare*. Palmer. Atque ita MSS. Taylor.

Ὑπολαβόντες] Stobæus, qui hunc locum citat, pag. 136. legit ὑπολαμβάνοντες, et deinde, sc. l. 15. ἐπικρατεῖν. Hoc quidem postremum non inscitum aut prorsus negligendum. Idem.

γοντος ἐπιλέλησθε· καὶ, μὴ γενομένης μὲν κρίσεως περὶ τοῦ πράγματος, ἥλω ἂν, γεγονότος δὲ ἐλέγχου, ἀποφεύξεται.

ιζ'. Ἐπειδὴ δὲ ἐμνήσθην τῶν διαψηφίσεων, καὶ τῶν τοῦ Δημοφίλου πολιτευμάτων, βούλομαί τι καὶ ἄλλο παράδειγμα περὶ τούτων εἰπεῖν. ὁ γὰρ αὐτὸς οὗτος ἀνὴρ καὶ πρότερόν τι τοιοῦτο πολίτευμα ἐπολιτεύσατο. ἠτιάσατο τινὰς εἶναι οἵπερ ἄρα ἐνεχείρουν [1]συνδικάζειν τὴν ἐκκλη- 25
σίαν καὶ τἆλλα δικαστήρια, ὥσπερ καὶ νῦν Νικόστρατος· καὶ περὶ τούτων κρίσεις αἱ μὲν πάλαι γεγόνασιν, αἱ δὲ νῦν ἐνεστᾶσιν ἔτι. φέρε δή, πρὸς τοῦ Διὸς καὶ τῶν θεῶν, εἰ ἐπὶ τὴν αὐτὴν ἐτράποντο ἀπολογίαν, ἥνπερ Τίμαρχος νυνὶ, καὶ οἱ συναγορεύοντες αὐτῷ, καὶ ἠξίουν διαρρήδην τινὰ μαρτυρεῖν περὶ τῆς αἰτίας, ἢ τοὺς δικαστὰς μὴ πιστεύειν·

[1] συνδεκάζειν

Καὶ, μὴ γενομένης] Parum attente hanc locum vertit Wolfius; neque melius cessit alteri, *et, cum hac de re nullum fieret judicium, fuerit condemnatus, cum vero aperte convictus fuerit, dimittatur.* Verto liberius, *absurdum fuerit, si a vobis condemnatus esset extrajudiciali quadam sententia, et cum de eo facinore quæstio non haberetur: jam autem, facta de his ipsis moribus inquisitione, et in judicio de ea re habito, a vobis absolvatur.* Idem.

ιζ. Δημοφίλου] Nimirum ille, qui hanc διαψήφισιν sive legem de Civium scrutinio habendo suasit. Lata est autem ea Lex Olymp. XC. 2. (uti ex Harpocrat. discimus v. Διαψήφισις) non multis annis ante hanc causam habitam. Ait igitur Æschines "Quoniam ad Populi διαψήφισιν, sive istud Demophili institutum, modo alludebam, unde argumentum mihi sumpsi de auctoritate publicæ Famæ, quantum sc. vel oculatum testem superare possit, iterum ex alia ipsius Demophili re apud vos gesta similiter argumentabor." Idem. By Demophilus he must here mean Timarchus, as appears from the next sentence ὁ γὰρ αὐτὸς οὗτος. One would not have expected any thing so low from Æschines. I think it would not be so bad, if the proper name τοῦ Δημοφίλου were reduced to τοῦ δήμῳ φίλου, *of this friend of the people.* Markland.

Συνδικάζειν] Ἐνεχείρουν συνδεκάζειν, τουτέστιν, ἅμα διαφθείρειν δωροδοκοῦντα. Περὶ τοῦ δεκασμοῦ vide annotationes in Symmachicum Isocratis. Sin aliquis συνδυάζειν legere mavult, vertat licebit, *bina inscriptione conjicere nomina in urnam.* Wolf. Ex hoc loco colligitur non licuisse Athenis privata judicia exercere, dum Populus in Pnyce convocatus erat ad deliberandum de Reip. negotiis, et legem fuisse Ἐκκλησίας γενομένης μηδένα δικάζειν. Quod elicitur etiam ex Demosthene contra Timocratem, ex his verbis, ἀδυνάτου δὲ ὄντος αἰθημερὲν ἐκκλησίαν ἅμα καὶ δικαστήριον γενέσθαι. Palmer. Συνδεκάζειν Locker. Coisl. Regg. 1. 2. Quæ proculdubio est hujus loci genuina scriptura. Uti et infra quoque l. 2. p. 43. τὸν μὲν, ὡς ἐδέκαζε, τὸν δὲ, ὡς ἐδεκάζετο, προκειμένης ἑκατέρῳ ζημίας ἐκ τοῦ νόμου θανάτου. Lex ait: *Siquis Senatorem Judicemve ære corruperit, uterque tam qui acceperit, quam qui porrexerit, ultimo supplicio afficitor.* Isocrat. de Pace, οὕτως ὀλίγον αὐτῶν φροντίζομεν, —— ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης, ἤν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας στρατηγοὺς χειροτονοῦμεν. Legem ipsam disertissime memorat Demosth. c. Stephan. 11. juxta finem: Ἐάν τις συνίστηται ἢ συνδικάζῃ (l. συνδεκάζῃ omnino) τὴν ἡλιαίαν ἢ τῶν δικαστηρίων τι τῶν Ἀθήνησιν, ἢ τὴν βουλὴν, χρήματα διδοὺς, ἢ δεχόμενος —— τούτων εἶναι τὰς γραφὰς πρὸς τοὺς θεσμοθέτας. Annon jure existimes ad hanc legem, (in qua uno quasi spiritu continentur qui *Remp. labefactare*, et qui *judicia corrumpere* satagunt) respexisse Pollucem, L. VI. C. XXXVI. Ἐπὶ καταλύσει τοῦ δήμου συνιὼν, τὰ δικαστήρια συνδεκάζων? Ubi MSS. similiter συνδικάζων, eodem errore. Taylor. Plane legendum συνδεκάζειν. Item l. 2. p. 43. ἐδέκαζε et ἐδεκάζετο. Jurin.

Ἐνεστᾶσιν] Ἀντὶ τοῦ, ἐνεστήκασι, τουτέστι, γίγνονται. Wolf.

30 ἅπασα δή που ἀνάγκη ἦν ἐκ τοῦ λόγου τούτου μαρτυρεῖν, τὸν μέν, ὡς [1]ἐδίκαζε, τὸν δέ, ὡς [2]ἐδικάζετο, προκειμένης ἑκατέρῳ ζημίας ἐκ τοῦ νόμου θανάτου· ὥσπερ ἐνθάδε, ἄν τις μισθώσηται τινὰ Ἀθηναίων ἐφ' ὕβρει, καὶ πάλιν, ἐάν τις Ἀθηναίων ἐπὶ τῇ τοῦ σώματος αἰσχύνῃ ἑκὼν μισθαρνῇ. ἔστιν οὖν ἡ μάρτυς, ὅς τις ἐμαρτύρησεν, ἡ κατήγορος, ὃς 43
ἐνεχείρησε τοιαύτην ποιεῖσθαι τὴν ἀπόδειξιν τοῦ πράγματος; οὐ δῆτα. τί οὖν; ἀπέφυγον οἱ κρινόμενοι; μὰ τὸν
35 Ἡρακλέα, ἐπεὶ θανάτῳ ἐζημιώθησαν· πολὺ, νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω, ἔλαττον ἁμάρτημα ἡμαρτηκότες τούτου τοῦ ἀνθρώπου. ἐκεῖνοι μέν γε οἱ ταλαίπωροι, οὐ δυνάμενοι γῆρας ἅμα καὶ πενίαν ὑπενεγκεῖν, τὰ μέγιστα τῶν ἐν ἀνθρώποις κακῶν, ταύταις ἐχρήσαντο ταῖς συμφοραῖς· οὗτος δ' οὐκ ἐθέλων τὴν ἑαυτοῦ βδελυρίαν κατέχειν. εἰ μὲν τοίνυν ἦν ὁ ἀγὼν οὗτος ἐν πόλει ἐκκλήτῳ, ὑμᾶς ἂν ἔγωγε
40 ἠξίωσα μάρτυράς μοι γενέσθαι, τοὺς ἄριστα εἰδότας ὅτι ἀληθῆ λέγω· εἰ δ' ὁ μὲν ἀγών ἐστιν Ἀθήνησιν, οἱ δ' αὐτοὶ δικασταί μοι καὶ μάρτυρες ἐστὲ τῶν λόγων, ἐμοὶ μὲν ἀναμιμνήσκειν προσήκει, ὑμᾶς δέ μοι μὴ ἀπιστεῖν.

ιή. Καὶ γὰρ ἔμοιγε δοκεῖ Τίμαρχος, ὦ Ἀθηναῖοι, οὐχ ὑπὲρ αὑτοῦ μόνον ἐσπουδακέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων

[1] ἐδέκαζε

[2] ἐδεκάζετο

Ἐδίκαζε] Lege ἐδέκαζε, et ἐδεκάζετο. Unius literæ ι et ε permutatio maximum discrimen facit. Idem. ἐδέκαζε — ἐδεκάζετο. Codd. iidem qui superius. Δώρων δὲ, κατὰ τοῦ ἐπὶ δώροις δικάσαντος ἦν ἡ γραφή. δεκασμοῦ δὲ, κατὰ τοῦ διαφθείραντος. καὶ ὁ μὲν δεκάζεσθαι, ὁ δὲ δεκάζειν ἐλέγετο. Poll. L. VIII. C. VI. Taylor.

Προκειμένης] Προσκειμένης Wolfius, credo, incuria Typothetarum. Idem.

Μισθαρνῇ] *Se prostituerit*, Wolfius. Melius, *se mercede prostituerit*. Jurin.

Ἔστιν οὖν ὅστις] F. A. ἔστιν οὖν ἡ μάρτυς ὅστις. Wolf. Ista ἡ μάρτυς sunt ex penu Wolfiano. Et bono sane consilio, certe non contemnenda elegantia, duas istas voculas supplevit. Taylor.

Ὑπενεγκεῖν] Ἀμύνεσθαι Mor. an pro varia lectione, an pro scholio? Idem.

Ἐν πόλει ἐκκλήτῳ] *In externa civitate.* Brodæus. Simpliciter accipio, ἀντὶ ἑτέρας πόλεως, ἐν ᾗ ἔδει ἄλλοθεν τὰς μαρτυρίας λαμβάνειν. Wolf. Quid sit πόλις ἔκκλητος ostendit eruditissimus Valesius ad Harpocr. p. 55. ex Etym. M. Videtur aliquando Provocatio fieri ad exteras Civitates, h. m. nempe a Senatu ad Populum, a Populo ad Judices, a Judicibus denique ad Forum aliquod peregrinum. Ἔφεσις δέ ἐστιν, ὅταν τις ἀπὸ διαιτητῶν, ἢ ἀρχόντων, ἢ δημοτῶν, ἐπὶ δικαστὴν ἐφῇ· ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον. Poll. L. VIII. C. VI. Tales igitur Actiones ἔκκλητοι nominabantur, ut Hesychius habet, Ἔκκλητοι δίκαι, αἱ ἐπὶ ξένης λεγόμεναι, καὶ οὐκ ἐν τῇ πόλει. Postremo et ipsæ Civitates, ad quas provocatur, Ἔκκλητοι πόλεις etiam vocari videntur, uti ex hoc loco Æschinis et Etym. M. liquet. Dicit ergo Æschines, si hæc fuisset Provocatio, coram vicina aliqua civitate acta, vobis, quos jam Athenis causam perorans pro *judicibus* habeo, tunc pro *testibus* uti potuissem. Idem.

τῶν ταὐτὰ διαπεπραγμένων αὐτῷ. εἰ γὰρ ἡ μὲν πρᾶξις
αὐτὴ ἔσται, ὥσπερ εἴωθε γίνεσθαι, λάθρα, καὶ ἐν ἐρη- 13.1
μίαις, καὶ ἐν ἰδίαις οἰκίαις· ὁ δὲ ἄριστα μὲν εἰδὼς, [1] καται-
σχύνων δέ τινα τῶν πολιτῶν, ἐὰν τἀληθῆ μαρτυρῇ, ἔνοχος
ἔσται τοῖς μεγίστοις ἐπιτιμίοις· ὁ δὲ κρινόμενος, καταμε-
μαρτυρημένος ὑπὸ τοῦ ἑαυτοῦ βίου, καὶ τῆς ἀληθείας,
ἀξιώσει μὴ ἐξ ὧν γινώσκεται, ἀλλ' ἐκ τῶν μαρτυριῶν κρί-
νεσθαι· ἀνῄρηται ὁ νόμος καὶ ἡ ἀλήθεια· καὶ δέδεικται 5
44 φανερὰ ὁδὸς δι' ἧς οἱ τὰ μέγιστα κακουργοῦντες ἀποφεύ-
ξονται. τίς γὰρ ἢ τῶν λωποδυτῶν, ἢ τῶν κλεπτῶν, ἢ τῶν
μοιχῶν, ἢ τῶν ἀνδροφόνων, ἢ τῶν τὰ μέγιστα μὲν ἀδικούν-
των, λάθρα δὲ τοῦτο πραττόντων, δώσει δίκην; καὶ γὰρ
τούτων οἱ μὲν ἐπ' αὐτοφώρῳ ἁλόντες, ἂν μὲν ὁμολογῶσι,
παραχρῆμα τῷ θανάτῳ ζημιοῦνται· οἱ δὲ λαθόντες, καὶ
ἔξαρνοι γινόμενοι, κρίνονται ἐν τοῖς δικαστηρίοις. εὑρίσκεται 10
γὰρ ἡ ἀλήθεια ἐκ τῶν εἰκότων. χρήσασθε δὲ παραδείγματι
τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου, τῷ ἀκριβεστάτῳ συνεδρίῳ
τῶν ἐν τῇ πόλει. πολλοὺς γὰρ ἔγωγε ἤδη ἔναγχος τεθεώ-
ρηκα ἐν τῷ βουλευτηρίῳ τούτῳ εὖ πάνυ εἰπόντας καὶ μάρ-
τυρας πορισαμένους, ἁλόντας· ἤδη δέ τινας κακῶς πάνυ δια-
λεχθέντας, καὶ πρᾶγμα ἀμάρτυρον ἔχοντας, οἶδα νικη-
σαντας· οὐ γὰρ ἐκ τοῦ λόγου μόνον, οὐδὲ ἐκ τῶν [2] μαρτύρων, 15
ἀλλ' ἐξ ὧν αὐτοὶ συνίσασι καὶ ἐξητάκασι, τὴν ψῆφον φέ-
ρουσι. τοιγάρτοι διατελεῖ τοῦτο τὸ συνέδριον εὐδοκιμοῦν ἐν
τῇ πόλει. τὸν αὐτὸν τοίνυν τρόπον, ὦ Ἀθηναῖοι, καὶ ὑμεῖς
τὴν κρίσιν ταύτην ποιήσασθε, καὶ πρῶτον μὲν ὑμῖν μηδὲν
ἔστω πιστότερον ὧν αὐτοὶ σύνιστε καὶ πέπεισθε περὶ Τι-
μάρχου τούτου· ἔπειτα τὸ πρᾶγμα θεωρεῖτε μὴ ἐκ τοῦ
παρόντος, ἀλλ' ἐκ τοῦ παρεληλυθότος χρόνου. οἱ μὲν γὰρ 20
ἐν τῷ παρεληλυθότι χρόνῳ λεγόμενοι λόγοι περὶ Τι-
μάρχου, καὶ τῶν τούτου ἐπιτηδευμάτων, διὰ τὴν ἀλή-
45 θειαν ἐλέγοντο· οἱ δ' ἐν τῇδε τῇ ἡμέρᾳ ῥηθησόμενοι, διὰ
τὴν κρίσιν, τῆς ὑμετέρας ἀπάτης εἵνεκα. ἀπόδοτε οὖν τὴν

[1] καταισχύνας τινὰ [2] μαρτυριῶν

.. Ἐὰν τἀληθῆ μαρτυρῇ] Sub. καθ' ἑαυτοῦ, τουτέστιν, ἐὰν ὁμολογῇ ἢ ἑταιρῆσαι ἢ διαφθεῖραί τινα. Wolf.

Ἢ τῶν τὰ μέγιστα μὲν ἀδικούντων] *Gravissimorum scelerum designator*: Wolfius. Potius *patrator*. Jurin.

ψῆφον τῷ πλείονι χρόνῳ, καὶ τῇ ἀληθείᾳ, καὶ οἷς αὐτοὶ σύνιστε.

ιθ'. Καί τοι λογογράφος γέ τις φησὶν, ὁ μηχανώμενος αὐτοῖς τὴν ἀπολογίαν, ἐναντία με λέγειν ἐμαυτῷ. οὐ γὰρ δὴ δοκεῖ εἶναι αὐτῷ δυνατὸν τὸν αὐτὸν ἄνθρωπον πεπορνεῦσθαι, καὶ τὰ πατρῷα κατεδηδοκέναι. τὸ μὲν γὰρ ἡμαρτηκέναι τι περὶ τὸ σῶμα, παιδὸς εἶναί φησι· τὸ δὲ τὰ πατρῷα κατεδηδοκέναι, ἀνδρός. ἔτι δὲ τοὺς καταισχύνοντας ἑαυτοὺς, μισθούς φησι πράττεσθαι τοῦ πράγματος. ἀποθαυμάζων οὖν περιέρχεται καὶ τερατευόμενος κατὰ τὴν ἀγορὰν, [1] εἰ οὗτος πεπόρνευκέ τε καὶ τὰ πατρῷα κατεδήδοκεν. εἰ δέ τις ἀγνοεῖ ταῦτα ὅπως ἔχει, ἐγὼ σαφέστερον αὐτὰ πειράσομαι διορίσαι τῷ λόγῳ. ἕως μὲν γὰρ ἀντήρκει ἡ τῆς ἐπικλήρου οὐσία, ἣν Ἡγήσανδρος ὁ τούτου ἔχων ἔγημε, καὶ τὸ ἀργύριον, ὃ ἔχων ἦλθεν ἐκ τῆς μετὰ Τιμομάχου ἀποδημίας, ἦσαν ἐπὶ πολλῆς ἀσελγείας καὶ ἀφθονίας. ἐπειδὴ δὲ ταῦτα μὲν ἀπολώλει, καὶ κατεκεκύβευτο, καὶ κατωψοφάγητο· οὗτοσὶ δ' ἔξωρος ἐγίνετο· ἐδίδου δ' εἰκότως [2] οὐδεὶς οὐδέν· ἡ δὲ βδελυρὰ φύσις καὶ ἀνόσιος [3] ἀεὶ τούτου τῶν αὐτῶν ἐπεθύμει, καὶ καθ' ὑπερβολὴν ἀκρασίας ἕτερον ἐφ' ἑτέρῳ ἐπίταγμα ἐπέταττε, καὶ [4] μηδὲν ἀπεφέρετο εἰς τὸ καθ' ἡμέραν ἔθος· ἐνταῦθα ἤδη ἐτράπετο ἐπὶ τὸ καταφαγεῖν τὴν πατρῴαν οὐσίαν. καὶ οὐ μόνον κατέφαγεν, ἀλλ' 46
εἰ οἷόν τ' εἰπεῖν, καὶ κατέπιεν, καὶ γὰρ οὐδὲ τῆς ἀξίας

[1] εἰ ὁ αὐτὸς πεπ. [2] οὐδεὶς ἔτι οὐδὲν [3] ἀεὶ ἡ τούτου [4] Deest μηδέν.

ιθ'. Λογογράφος] Οὐ μόνον ὁ λόγους γράφων, ἀλλὰ καὶ ἐπὶ διαβολῆς εὕρηται, cetera. T. Magister. Adde σχ. ad h. l. TAYLOR.

Μηχανώμενος] *Qui artifici solertia composuit.* Demosthenem hic videtur notare. BRODÆUS.

Οὗτος] Rectius omnino cum Mor. et Locker. εἰ ὁ αὐτός. TAYLOR. ὁ αὐτός. MARKLAND.

Ἀντήρκει] F. αὐτήρκει. Etsi et apud Platonem legitur ἀνταρκέσαι τοῖς διαβάλλουσιν ἡμᾶς. WOLF. Π. αὐτήρκει. STEPHANUS. Ita etiam habent Codd. Coisl. et Reg. 2. Brodæus quoque αὐτήρκει *sufficiebat.* Sed non habeo necesse. TAYLOR.

Ἐπικλήρου] Male vertit Wolfius et obscure, *orbæ puellæ.* Ἐπίκληρος, *an heiress,* quæ Fratrem non habet, et ad quam paterna bona hereditario jure deveniunt. IDEM.

Ἀεὶ τούτου] Ἡ δ. β. φ. καὶ ἀνόσιος τούτου ἀεὶ τῶν αὐτῶν ἐπεθύμει. Ita legit Cod. Bern. et Locker. ἡ τούτου ἀεὶ, Rectius sane. IDEM.

Καὶ ἀπεφέρετο] Sententia postulare videtur, καὶ μηδὲν ἀπεφέρετο. WOLF. Uti et edidit quoque. TAYLOR. Wolfius, *quod pro quotidiana consuetudine absumeretur.* Vitiose. Vertendum, *et nihil omittebatur ex quotidiana consuetudine.* JURIN.

Καὶ κατέπιεν] Καταπιεῖν ἐπὶ τῶν ξηρῶν, ut annotat Pollux. Sed fallitur. καταφαγεῖν enim ut καταπιεῖν τὴν οὐσίαν et κατακυβεύειν, de comedendo, perpotando et absumendo patrimonium. SALMAS. Wolfius, *etiam exhausit.* Malim, *etiam ebibit.* Opponuntur enim verba κατέφαγε καὶ κατέπιεν. JURIN.

ἕκαστον τῶν κτημάτων ἀπεδίδοτο, οὐδ' ἐδύνατ' ἀναμένειν 40
τὸ πλέον, οὐδὲ τὸ λυσιτελοῦν, ἀλλὰ τοῦ ἤδη [1] εὑρισκομένου
ἀπεδίδοτο. οὕτως ἠπείγετο σφόδρα πρὸς τὰς ἡδονάς. τούτῳ
γὰρ κατέλιπεν ὁ πατὴρ οὐσίαν ἀφ' ἧς ἕτερος μὲν [2] ἂν ἐλει-
τούργει, οὗτος δὲ οὐδὲ [3] αὐτὴν διαφυλάξαι ἐδυνήθη. οἰκίαν
μὲν γὰρ ὄπισθεν τῆς πόλεως, ἐσχατιὰν δὲ Σφηττοῖ, Ἀλω-
πεκῆσι δὲ ἕτερον χωρίον· χωρὶς δὲ οἰκέτας δημιουργοὺς τῆς 14.1
σκυτοτομικῆς τέχνης ἐννέα ἢ δέκα· ὧν ἕκαστος τούτῳ δύ'
ὀβολοὺς ἀπέφερε τῆς ἡμέρας, ὁ δ' ἡγεμὼν τοῦ ἐργαστηρίου,
τριώβολον· ἔτι δὲ πρὸς τούτοις, γυναῖκα ἀμόργινα ἐπιστα-
μένην ἐργάζεσθαι, καὶ ἔργα λεπτὰ εἰς τὴν ἀγορὰν ἐκφέρου-
σαν, καὶ ἄνδρα ποικιλτὴν, καὶ ὀφείλοντας τινὰς αὐτῷ ἀρ-
γύριον καὶ ἔπιπλα.

κ'. Ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, ἐνταῦθα μέν τοι νὴ Δία 5
σαφῶς πάνυ καὶ διαῤῥήδην ἔργῳ μαρτυροῦντας ὑμῖν τοὺς
μάρτυρας παρέξομαι. οὐδεὶς γὰρ κίνδυνος, ὥσπερ ἐκεῖ, οὐδ'
αἰσχύνη προσέσται οὐδεμία τῷ τἀληθῆ μαρτυροῦντι. τὴν
μὲν γὰρ οἰκίαν τὴν ἐν ἄστει ἀπέδοτο οὗτος Ναυσικράτει
τῷ κωμικῷ ὑποκριτῇ· ὕστερον δ' αὐτὴν ἐωρίατο παρὰ τοῦ
Ναυσικάτρους εἴκοσι μνῶν Κλεαίνετος ὁ χοροδιδάσκαλος·
τὴν δ' ἐσχατιὰν ἐπρίατο παρ' αὐτοῦ Μνησίθεος ὁ Μυῤῥι- 10
νούσιος, τόσον μὲν πολὺν, δεινῶς δ' ἐξηγριωμένον ὑπὸ τού-
47 του· τὸ δ' Ἀλωπεκῆσι χωρίον, ὃ ἦν ἄποθεν τοῦ τείχους
ἕνδεκα ἢ δώδεκα στάδια· ἱκετευούσης καὶ ἀντιβολούσης τῆς
μητρὸς, ὡς ἐγὼ πυνθάνομαι, ἐάσαι καὶ μὴ ἀποδόσθαι,

[1] εὑρίσκοντος [2] ἂν καὶ ἐλειτούργει [3] αὐτῷ

Ἀφ' ἧς] Ita Wolfius cum H. Stephano. MSS. [et πρ. γρ.] ἐφ' ἧς. Taylor.

Ὄπισθεν τῆς πόλεως] *Post urbem*, vel, *a tergo urbis* (si modo τὸ ὄπισθεν mendosum non est) hoc est, *suburbanum*. Nisi quis *juxta pomarium* malit intelligere, sive intra, sive extra urbem. Sequitur postea, τὴν μὲν γὰρ οἰκίαν τὴν ἐν ἄστει. Unde conjicio, in urbe quidem illam fuisse domum, sed in ea extrema, et loco quopiam remoto, et propinquo mœnibus. Wolf. Æstuare vides Wolfium, nec sibi satis constare. Totam vero istam difficultatem complanabit Scholiastes noster non incruditus; Πόλεως] τοῦτ' ἔστι τῆς Ἀκροπόλεως. τὸ γὰρ πάλαι ἡ Ἀκρόπολις τῶν Ἀθηναίων πόλις ἐκαλεῖτο. Istius etiam mentis est doctissimus Meursius Attic. Lect. VI. 33. Taylor.

Ἀμόργινα] *Amorgina opera*. Poll. L. VII. C. XVI. et Eustath. in Dionys. Afrum. Brodæus.

Καὶ ἄνδρα ποικιλτὴν] Poll. L. VII. C. X. Idem.

κ'. Ἔργῳ] Quid hoc? Quidnam esse putemus τὸ ἔργῳ μαρτυρεῖν? Lege, ἐγώ. Ita Locker. et bene. Taylor.

Ἔργῳ μαρτυροῦντας —] Hic alludit ad id quod dixit supra de testimoniis in hujusmodi flagitio. Auger.

Ὑποκριτῇ] Τῷ κωμικῷ ποιητῇ Coisl. Reg. 1. Recte fortasse, siquidem istius nominis Poetam Comicum aliquoties memoret Athenæus. Taylor.

ἀλλ', εἰ μή τι ἄλλο, ἐνταφῆναι ὑπολιπεῖν αὐτῇ· οὐδὲ τούτου τοῦ χωρίου ἀπέσχετο, ἀλλὰ καὶ τοῦτ' ἀπέδοτο δισχιλίων δραχμῶν. καὶ τῶν θεραπαινῶν καὶ τῶν οἰκετῶν οὐδένα κατέλιπεν, ἀλλὰ πάντας πέπρακε. καὶ ταῦθ' ὅτι οὐ ψεύδομαι, ἐγὼ μὲν ὡς κατέλιπεν αὐτῷ ὁ πατὴρ, μάρτυρας παρέξομαι· οὗτος δ' εἰ μή φησι πεπρακέναι, τὰ σώματα τῶν οἰκετῶν ἐμφανῆ παρασχέτω. ὡς δὲ καὶ ἀργύριον τισὶν ἐδάνειζεν, ὃ κομισάμενος οὗτος ἀνήλωκε, μάρτυρα παρέξομαι ὑμῖν Μεταγένη τὸν Σφήττιον, ὃς ὠφείλησε μὲν ἐκείνῳ πλείους ἢ τριάκοντα μνᾶς· ὃ δ' ἦν ὑπόλοιπον, τελευτήσαντος τοῦ πατρὸς, τούτῳ ἀπέδωκεν ἑπτὰ μνᾶς Τιμάρχῳ. καί μοι κάλει Μεταγένη τὸν Σφήττιον. πασῶν δὲ πρώτην ἀνάγνωθι τὴν Ναυσικράτους μαρτυρίαν τοῦ τὴν οἰκίαν πριαμένου, καὶ τὰς ἄλλας ἁπάσας λάβε, περὶ ὧν ἐμνήσθην ἐν [2] τῷ λόγῳ.

ΜΑΡΤΥΡΙΑΙ.

κά. Ὡς τοίνυν ἐκέκτητο ὁ πατὴρ αὐτοῦ ἀργύριον οὐκ ὀλίγον, ὃ οὗτος ἠφάνικε, τοῦθ' ὑμῖν ἐπιδείξω. φοβηθεὶς γὰρ τὰς λειτουργίας ἀπέδοτο ἃ ἦν αὐτῷ κτήματα, ἄνευ τῶν ἀρτίως εἰρημένων χωρίων· Κηφισιᾶσιν [1] ἕτερον ἀγρὸν, Ἀμφιτροπῆσιν ἐργαστήρια δύο ἐν τοῖς ἀργυρείοις, ἓν μὲν ἐν Αὐλῶνι, ἕτερον δὲ ἐπὶ [3] Θρασύλῳ. ὅθεν δὲ ταῦτ' ηὐπόρησεν,
48 ἐγὼ ἐρῶ. ἦσαν οὗτοι τρεῖς ἀδελφοὶ, Εὐπόλεμός τε ὁ παιδοτρίβης, καὶ Ἀρίζηλος ὁ τούτου πατὴρ, καὶ Ἀρίγνωτος, ὅς ἐστι καὶ νῦν, πρεσβύτης, διεφθαρμένος τοὺς ὀφθαλμούς.

[1] ἕτερον, ἀγρὸν Ἀμφιτροπῆσιν,

[2] τῷ αὐτῷ λόγῳ

[3] Θρασύλλῳ

Ἐνταφῆναι] Non enim in urbibus Græcis sepeliebatur quisquam, nisi virtutis ergo. Brodæus.

Ὡς] Restitue omnino ὧν. μάρτυρας ὧν κατέλιπεν. Quod ni ita esset, quid facias cum *nudo* isto vocabulo κατέλιπεν? μάρτυρας παρέξομαι ὡς ὁ πατὴρ αὐτῷ κατέλιπεν. Inficete. Mecum interpretari videtur Venetus: *Ego earum rerum quas huic pater reliquerat, testes dabo.* Taylor.

Κατέλιπεν] Sub. τοὺς οἰκέτας. Auger.

Σώματα] Ut in Epigr. σώματα πολλὰ τρέφαν. Salmas.

Ἐδάνειζεν] Nempe ὁ πατὴρ Τιμάρχου. Auger.

κά. Ὃ οὗτος ἠφάνικεν] Τουτέστιν, ἀνήλωκεν ὁ Τίμαρχος. Wolf.

Ἄνευ τῶν ἀρτίως εἰρημένων] Sub. χωρίων. Sententia est, Arizelum prædia omnia vendidisse, exceptis iis quæ modo a Timarcho devorata esse dixit. Idem. Vide quomodo hæc distinxerit Cod. Locker. ἄνευ τῶν ἀρτίως εἰρημένων, χωρίον Κηφισιᾶσιν, ἕτερον ἀγρὸν Ἀμφιτροπῆσιν, ἐργαστήρια δύο ἐν τοῖς ἀργυρείοις, ἓν μὲν ἐν Αὐλῶνι cetera. Taylor.

Ἐπὶ Θρασύλῳ] Vel ἐπὶ Θρασύλλῳ. De eo loco videndus Harpocrat. et Valesius, Meurs. Attic. Lect. V. 30. More Attico, inquit Harpocratio, ἀντὶ τοῦ, ἐπὶ τῷ Θρασύλλου μνήματι. Idem.

τούτων πρῶτος ἐτελεύτησεν, ἀνεμήτου τῆς οὐσίας οὔσης, Εὐπόλεμος, δεύτερος δ' Ἀρίζηλος, ὁ Τιμάρχου πατήρ. ὅτε δ' ἔζη, πᾶσαν τὴν οὐσίαν διεχείριζε, διὰ τὴν νόσον καὶ τὴν συμφορὰν τὴν περὶ τὰ ὄμματα τοῦ Ἀριγνώτου, καὶ διὰ τὸ τετελευτηκέναι τὸν Εὐπόλεμον· καί τι καὶ εἰς τροφὴν συνταξάμενος ἐδίδου τῷ Ἀριγνώτῳ. ἐπειδὴ δὲ καὶ ὁ Ἀρίζηλος ἐτελεύτησεν, ὁ Τιμάρχου τουτουὶ πατήρ, τοὺς μὲν πρώ- 35
τους χρόνους, ἕως παῖς ἦν οὗτος, ἅπαντα τὰ μέτρια παρὰ τῶν ἐπιτρόπων ἐγίνετο τῷ Ἀριγνώτῳ· ἐπειδὴ δ' ἐνεγράφη Τίμαρχος οὗτος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, καὶ κύριος ἐγένετο τῆς οὐσίας, παρωσάμενος ἄνδρα πρεσβύτην, καὶ ἠτυχηκότα, θεῖον ἑαυτοῦ, τήν τε οὐσίαν ἠφάνισε, καὶ τῶν ἐπιτηδείων οὐδὲν ἐδίδου τῷ Ἀριγνώτῳ, ἀλλὰ περιεῖδεν
ἐκ τοσαύτης οὐσίας ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα. καὶ 40
τὸ τελευταῖον, ὃ καὶ δεινότατον, ἀπολειφθέντος τοῦ πρεσβύτου τῆς γινομένης τοῖς ἀδυνάτοις δοκιμασίας, καὶ ἱκετηρίαν θέντος εἰς τὴν βουλὴν ὑπὲρ τοῦ μισθοῦ, βουλευτὴς ὤν, καὶ προεδρεύων ἐκείνην τὴν ἡμέραν, οὐκ ἠξίωσεν αὐτῷ συνειπεῖν, ἀλλὰ περιεῖδεν ἀπολέσαντα τὸν τῆς πρυτανείας

Ληξιαρχικὸν] Ita hanc vocem in exemplaribus Aldinis misere depravatam restituerunt una Brodæus, Wolfius, Stephanusque. IDEM. πρ. γρ. ληξιαρχικεῖν.

Ἠφάνισε] *Occultavit*, Wolfius. Perquam infeliciter. Quid esset οὐσία ἀφανής, quid contra φανερὰ, putassem eum hominem in Græcis scriptoribus exercitatissimum fugere vix potuisse. IDEM.

Ἐκ τοσαύτης οὐσίας] *In tantis opibus*, Wolfius. Potius, *tantis opibus orbatum*, tertia nempe parte paternæ hereditatis. JURIN.

Ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα] Causarios intelligo, quibus, etsi non militarent, tamen stipendium solveretur. Nisi forte intelligendus sit μισθὸς οὐχὶ ὁ στρατιωτικὸς, ἀλλ' ὁ δικαστικὸς, καὶ ἐκκλησιαστικὸς, καὶ βουλευτικός. Sequitur enim, ἀλλὰ περιεῖδεν ἀπολέσαντα τὸν τῆς πρυτανείας μισθόν. Etsi intelligi potest τὸ ὑπὸ τῶν πρυτανέων τοῖς ἀδυνάτοις διδόμενον. Paulo post, ἀπολειφθέντος τοῦ πρεσβύτου τῆς γενομένης τοῖς ἀδυνάτοις δοκιμασίας, καὶ ἱκετηρίαν θέντος. WOLF. Quanto conatu quantas nugas dixerit! Vidit rem Brodæus, τὸ ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα exponens *in eorum civium numerum relatus, qui, quod invalidi atque infirmi sunt, accepto a Rep. stipendio, aluntur.* Vide σχστην. ad locum, et quæ dixi ad Lysiæ Orationem de hac ipsissima causa habitam, pag. 404. Edit. Lond. TAYLOR.

Ἀπολειφθέντος τοῦ πρεσβύτου κ. τ. λ.] Wolfius, *cum senex inopum explorationi non interfuisset.* Potius, *cum prætermissus esset senex in recensione inopum.* JURIN.

Τὸν τῆς πρυτανείας μισθὸν] *Quam ex Prytaneo accipere solitus erat mercedem.* Aristophanis in Nebulis glossemata: Πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα. Paulo infra, ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ Πρυτανεῖα. ἦν δ' ἀργύριόν τι ὅπερ κατέθεσαν οἱ δικαζόμενοι, ἀμφότεροι καὶ ὁ φεύγων καὶ ὁ διώκων. BRODÆUS. Locus σχ. Aristoph. est ad Neb. 1154. Sed hæc nihil ad rem nostram, etiamsi essent verissima. Nam hic τὸ Πρυτανεῖον non dicitur, sed ἡ Πρυτανεία. Atque hoc longe aliud est. Πρυτανεία erat spatium XXXV circiter dierum, ut notum est, quantum sc. unaquæque Tribus præsideret in Senatu. Et cum singulis πρυτανείαις erogabatur τοῖς ἀδυνάτοις eorum congiarium, Arignotus ob nepotis inclementiam suo excidebat, quod illo temporis curriculo debebatur: Πρυτανεία δὲ Βουλυκῆς ὁ χρόνος. διήρηται γὰρ παρὰ τοῖς

μισθόν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Ἀρίγνωτον Σφήττιον, καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε.

15.1 [1] ΜΑΡΤΥΡΙΑΙ. 49

ἀλλ' ἴσως ἄν τις εἴποι, ὡς ἀποδόμενος τὴν πατρῴαν οἰκίαν, ἑτέραν ἄλλοθί που τοῦ ἄστεος ἐκτήσατο, ἀντὶ δὲ τῆς ἐσχατιᾶς καὶ τοῦ χωρίου τοῦ Ἀλωπεκῆσι, καὶ τῶν δημιουργῶν, καὶ τῶν ἄλλων, εἰς ταργυρεῖά τι κατεσκευάσατο, ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον. ἀλλ' οὐκ ἔστι
5 [2] τοῦτο. λοιπὸν οὐδὲν, οὐκ οἰκία, οὐ συνοικία, οὐ χωρίον, οὐκ οἰκέται, οὐ δάνεισμα, οὐκ ἀλλ' οὐδὲν, ἀφ' ὧν ἄνθρωποι μὴ κακοῦργοι ζῶσιν. ἀλλὰ τούτῳ ἀντὶ τῶν πατρῴων περίεστι βδελυρία, συκοφαντία, θράσος, τρυφὴ, δειλία, ἀναίδεια, τὸ μὴ ἐπίστασθαι ἐρυθριᾶν ἐπὶ τοῖς αἰσχροῖς· ἐξ ὧν ἂν ὁ κάκιστος καὶ ἀλυσιτελέστατος πολίτης γένοιτο.

κβ'. Οὐ τοίνυν μόνον τὰ πατρῷα κατεδήδοκεν, ἀλλὰ καὶ
10 τὰ κοινὰ τὰ ὑμέτερα, ὅσων πώποτε κύριος γέγονεν. οὗτος γὰρ ταύτην τὴν ἡλικίαν ἔχων, ἣν ὑμεῖς ὁρᾶτε, οὐκ ἔστιν ἥν τινα πώποτ' οὐκ ἦρξεν ἀρχὴν, οὐδεμίαν λαχὼν, οὐδὲ χειροτονηθεὶς, ἀλλὰ πάσας παρὰ τοὺς νόμους πριάμενος. ὧν τὰς μὲν πλείστας παρήσω, δυοῖν δὲ ἢ τριῶν μόνων μνησθήσομαι. λογιστὴς γὰρ γενόμενος, πλεῖστα μὲν τὴν πόλιν ἔβλαψε, δῶρα λαμβάνων παρὰ τῶν οὐ δικαίως ἀρξάντων,
15 μάλιστα δ' ἐσυκοφάντησε τῶν ὑπευθύνων τοὺς μηδὲν ἠδικηκότας. ἦρξε δ' ἐν Ἄνδρῳ, πριάμενος τὴν ἀρχὴν τριάκοντα μνῶν, δανεισάμενος ἐπ' ἐννέα ὀβολοῖς τὴν μνᾶν, εὐπορίαν τῇ

[1] Μαρτυρια.

[2] τούτῳ λοιπὸν

Ἀθηναίοις ὁ χρόνος εἰς δέκα περυτανείας, ὅσαι καὶ φυλαὶ ἦσαν —— ὅθεν καὶ τοὺς μισθοὺς, καὶ τὰ ἐνοίκια κατὰ τὰς περυτανείας, οὐ κατὰ μῆνα, ἐτέλουν. T. Magister in v. Πρυτανεῖον. TAYLOR.

ΜΑΡΤΥΡΙΑΙ] Vel ΜΑΡΤΥΡΙΑ potius. Ita quoque doctissimus Marklandus, et Cod. Locker. IDEM. Imo ΜΑΡΤΥΡΙΑ. AUGER.

Συνοικία] *Villam* vertit Interpres. Male. Συνοικία est *Domus*, quæ communis *cum aliis* habitatur. Anglice, *Lodgings*. Vid. Ælian. V. H. XIII. 12. et Perizon. ibi. Verti laxius potest. *Non domus sua, non domus sibi cum aliis communis.* MARKLAND. Interpretatur ipse Æschines infra, §. κς'. penult. ὅπου μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν, διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν, ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν. Vide consimilem interpretationem Ammonii. Οἶκος, Οἰκία, Συνοικία, Οἴκημα, Οἰκίσκος, καὶ Δωμάτιον διαφέρουσιν. Οἶκος μὲν λέγεται ἡ πᾶσα οὐσία· οἰκία δὲ ὑπὸ ἑνὸς ἢ ὑπὸ δύο κατοικουμένη· συνοικία δὲ, ἡ πολλοῖς, καὶ μισθουμένη. TAYLOR. Wolfius, *non villa*. Rectius, *ne pars quidem domus conductitiæ*. Vid. §. κς'. JURIN.

κβ'. Τῶν ὑπευθύνων] Absurde Wolfius, *qui rationes referebant*, cum omnino dictum sit de iis qui *nondum* referebant, sed proxime erant relaturi. TAYLOR.

Τὴν μνᾶν] *Singulas minas*. BRODÆUS.

50 [1] βδελυρίᾳ τοὺς συμμάχους τοὺς ὑμετέρους ποιούμενος. καὶ τοσαύτην ἀσέλγειαν ἐπεδείξατο εἰς ἐλευθέρων ἀνθρώπων γυναῖκας, ἡλίκην οὐδεὶς πώποθ' ἕτερος· ὧν οὐδένα ἐγὼ παρακαλῶ δεῦρο, τὴν αὑτοῦ συμφορὰν, ἣν εἵλετο σιγᾷν, εἰς πολλοὺς ἐκμαρτυρῆσαι· ἀλλ' ὑμῖν τοῦτο καταλείπω σκο- 20
πεῖν. τί δὲ προσδοκᾶτε; τὸν Ἀθήνησιν ὑβριστὴν οὐκ εἰς τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ εἰς τὸ σῶμα τὸ ἑαυτοῦ, νόμων ὄντων, ὑμῶν ὁρώντων, ἐχθρῶν ἐφεστηκότων, τοῦτον αὐτὸν λαβόντα ἄδειαν καὶ ἐξουσίαν καὶ ἀρχὴν, τίς ἂν ἐλπίσειεν ἀπολελοιπέναι τι τῶν ἀσελγεστάτων ἔργων; ἤδη νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω, πολλάκις ἐνεθυμήθην τὴν εὐτυχίαν τὴν τῆς ἡμετέρας πόλεως, κατὰ πολλὰ μὲν 25
καὶ ἄλλα, οὐχ ἥκιστα δὲ καὶ κατὰ ταῦτα, ὅτι κατ' ἐκείνους τοὺς χρόνους οὐδεὶς ἐγένετο τῆς Ἀνδρίων πόλεως ὠνητής.

κγ'. Ἀλλ' ἴσως καθ' αὑτὸν μὲν ἄρχων, φαῦλος ἦν οὗτος, μετὰ πλειόνων δὲ, ἐπιεικής. πόθεν; οὗτος, ὦ Ἀθηναῖοι, βουλευτὴς ἐγένετο ἐπὶ ἄρχοντος Νικοφήμου. ἅπαντα μὲν οὖν διεξελθεῖν ἃ ἐν τούτῳ τῷ ἐνιαυτῷ ἐκακούργησε, πρὸς μικρὸν μέρος τῆς ἡμέρας οὐκ ἄξιον ἐπιχειρεῖν· ἃ δ' ἐστὶν 30
ἐγγυτάτω τῆς αἰτίας, καθ' ἣν ἡ παροῦσα κρίσις ἐστὶ, ταῦτ' ἐρῶ διὰ βραχέων. ἐπὶ τοίνυν τοῦ αὐτοῦ ἄρχοντος, ὅτ' ἐβούλευεν οὗτος, ταμίας ἦν τῶν τῆς θεοῦ Ἡγήσανδρος ὁ Κρωβύλου ἀδελφός. ἔκλεπτον δὲ τῆς πόλεως κοινῇ καὶ μάλα φιλεταίρως χιλίας δραχμάς. αἰσθόμενος δὲ τὸ πρᾶ-
51 γμα ἀνὴρ ἐπιεικὴς Πάμφιλος ὁ Ἀχερδούσιος, προσκρούσας τι τούτῳ, καὶ παροξυνθεὶς, ἐκκλησίας οὔσης, εἶπεν ἀναστὰς, ὦ Ἀθηναῖοι, κλέπτουσιν ὑμῶν κοινῇ ἀνὴρ καὶ γυνὴ χιλίας 35
δραχμάς. θαυμασάντων δὲ ὑμῶν, πῶς ἀνὴρ καὶ γυνὴ, καὶ τίς ὁ λόγος, εἶπε μικρὸν διαλιπών· ἀγνοεῖτε, ἔφη, ὅ,τι λέγω; ὁ μὲν ἀνὴρ ἐστὶν Ἡγήσανδρος ἐκεῖνος νυνὶ, ἔφη, πρότερον δ' ἦν καὶ αὐτὸς Λεωδάμαντος γυνή· ἡ δὲ γυνὴ Τίμαρχος οὑτοσίν. ὃν δὲ τρόπον κλέπτεται τὸ ἀργύριον, ἐγὼ ἐρῶ. μετὰ ταῦ-

[1] βδελυρίᾳ τῇ ἑαυτοῦ τοὺς

κγ'. πόθεν] Ut Latini et Plinius Epist. SALMAS.

Ταμίας ἦν τῶν τῆς θεοῦ] *Minervæ*, hoc est, *fisci*. Demosth. c. Timocrat. καὶ χρήματα πολλὰ τῆς θεοῦ καὶ τῶν ἐπιπόμων τῆς πόλεως ἔχοντα. Apertius paulo infra ὀφείλειν τῶν μὲν πρεσβυτάτων ἕκαστον χιλίας δραχμὰς ἱερὰς τῇ Ἀθήνῃ. BRODÆUS.

Μετὰ ταῦτα ἤδη] Ita Aldus. Pro quo Stephanus et Wolfius, ita uti Nos edidi-

τα ἤδη διεξήει περὶ τοῦ πράγματος, καὶ μάλα εἰδότως
10 καὶ σαφῶς. διδάξας δὴ ταῦτα, τί οὖν ἐστὶν, ὦ [1]Ἀθηναῖοι,
ὃ συμβουλεύω ὑμῖν; ἐὰν μὲν ἡ βουλὴ καταγνοῦσα τουτονὶ
ἀδικεῖν, καὶ ἐκφυλλοφορήσασα δικαστηρίῳ παραδῷ, δότε τὴν
δωρεὰν αὐτοῖς· ἐὰν δὲ μὴ κολάσωσι, μὴ δότε, ἀλλ' εἰς ἐκεί-
νην αὐτοῖς τὴν ἡμέραν ἀπομνημονεύσατε. μετὰ ταῦτα ὡς
ἐπανῆλθεν ἡ βουλὴ εἰς τὸ βουλευτήριον, ἐξεφυλλοφόρησε μὲν
αὐτὸν, ἐν δὲ τῇ ψήφῳ κατεδέξατο. ὅτι δ' οὐ παρέδωκε
16.1 δικαστηρίῳ, οὐδ' ἐξήλασεν ἐκ τοῦ βουλευτηρίου, ἄχθομαι
μὲν λέγων, ἀνάγκη δέ ἐστιν εἰπεῖν, ὅτι τῆς δωρεᾶς ἀπε-
τύγχανε. μὴ τοίνυν φανῆτε, ὦ Ἀθηναῖοι, τῇ μὲν βουλῇ
χαλεπήναντες, καὶ πεντακοσίους ἄνδρας τῶν πολιτῶν
ἀστεφανώτους ποιήσαντες, ὅτι τοῦτον οὐκ ἐτιμωρήσαντο,
[2]αὐτοὶ δὲ ἀφῆτε· καὶ τὸν τῇ βουλῇ μὴ συνενεγκόντα
5 ῥήτορα, τοῦτον τῷ δήμῳ περιποιήσητε.

[1] Ἀθ., ἔφη, ὦ

[2] * αὐτὸν

mus. Brodæo placet μετὰ ταῦτα ἃ ᾔδει, quoniam Andocides quodam in loco dixit, καὶ περὶ μὲν τῶν Ἑρμῶν τῆς ἐπικοπῆς ἃ ᾔδει. Venetus Interpres: *ac cum nonnulla* jucunda *ea in re commemorasset.* TAYLOR.

Μάλα εἰδότως] Legisse videtur Wolfius εἰκότως, cum vertat *valde probabiliter.* Parum certe ad mentem Oratoris, qui furtum istud non pro re probabili, sed certa et comperta habet. Vertendum itaque, *ut qui rem optime compertam haberet.* JURIN. Μὴ μόνον ἐπισταμένως, ἀλλὰ καὶ εἰδότως, ἀς Αἰσχίνης· καὶ μάλα εἰδότως καὶ σαφῶς διδάξας δὴ ταῦτα. T. Magister. Ubi observabis quomodo ille hunc locum distinxerit, nescio annon melius. TAYLOR.

Ἐξεφυλλοφόρησεν αὐτὸν] Lege ἐξεφυλλοφόρησε μὲν αὐτόν. De Etymologia verbi vide Pollucem lib. 8. WOLF.

Ἐν δὲ τῇ ψήφῳ κατεδέξατο] Ergo ficta fuit illa ejectio, si nihilominus illi ferendi suffragii jus reliquit Senatus. IDEM. Locum subobscuriorem, et a Wolfio perperam intellectum ita interpretor. Judices plerique in hac Rep. ταῖς ψήφοις sententiam tulerunt: Populus interea, in sua quisque curia, si peregrinitatis causa ageretur, Senatus item D virorum, si de moribus et aptitudine Senatoris cujuspiam inquisitio facta esset, hanc rem non ψήφοις, ut ceteri, sed τοῖς φύλλοις, *frondibus*, transigebant, et eorum sententiis damnatus ἐκφυλλοφορεῖσθαι dicebatur. Harpocratio in v. Ἐκφυλλοφορῆσαι. Etym. M. item in eod. vocabulo, (abi pro εἴποτέ τις τῶν πολιτῶν ἀδικεῖν ἐδόκει, καὶ ἀνάξιος εἶναι τοῦ συνεδρίου τῶν πεντακοσίων, quo etiam errore tenetur Suidas, repone ex Lexicis emendatioribus, τῶν βουλευτῶν) Poll. L. VIII. C. V. Petit. LL. Attic. Lib. III. Tit. I. Sigonius II. de Rep. Athen. 2 et 3. Meurs. III. Attic. Lect. 19. Jam Timarchus Olymp. CIV. 4. in Senatorum ordinem cooptatus, eamque quam memoravi δοκιμασίαν coactus subire, ἐξεφυλλοφορήθη, ut cum isto populo dicam. Quod si secunda vice idem ei accidisset, (repetitum enim erat scrutinium, idque ut Scholiastes ad h. l. nos docet, non jam φύλλοις, sed ψήφοις peractum,) ibi ab isto cœtu amotus, curiæ etiam coercendus tradebatur. Hoc vero ubi non factum, ideoque prævaricari videretur ἡ Βουλὴ, evenit, ut anno isto completo, officio quo fungebantur exeuntes, dono isto populari, Corona sc. quæ D viris re bene gesta de more donaretur, de qua re plenus est Demosthenes in Androtiana, tum demum excideret. Populus enim, consilium Pamphili Acherdusii secutus, anno vertente, coronari noluit istum Senatum, ὅτι τοῦτον οὐκ ἐτιμωρήσαντο. Istud habe. TAYL.

Ὅτι] Dele, nam turbat sententiam. Wolfii Interpretatio huic rei fidem conciliabit. IDEM.

Αὐτοὶ] Pro αὐτοὶ lego αὐτὸν cum Reiskio. AUGER.

Περιποιήσητε] Substituit Bern. et Locker. μὴ περιποιήσητε, verum sine ulla ne-

κδ'. Ἀλλὰ περὶ μὲν τὰς κληρωτὰς ἀρχὰς ἐστὶ τοιοῦτος,
52 περὶ δὲ τὰς χειροτονητὰς βελτίων. καὶ τίς ὑμῶν οὐκ οἶδεν,
ὡς περιβοήτως ἐξηλέγχθη κλέπτης ὤν; πεμφθεὶς γὰρ ὑφ'
ὑμῶν ἐξεταστὴς τῶν ξένων ἐν Ἐρετρίᾳ, μόνος τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον· καὶ οὐ περὶ τοῦ πράγματος ἀπελογεῖτο, ἀλλ' εὐθὺς περὶ τοῦ τιμήματος ἱκέτευεν,
ὁμολογῶν ἀδικεῖν. ὑμεῖς δὲ τοῖς μὲν ἐξάρνοις ἐπετιμήσατε 10
ταλάντου ἑκάστῳ, τούτῳ δὲ τριάκοντα μνῶν· οἱ δὲ νόμοι
κελεύουσι τῶν κλεπτῶν τοὺς μὲν ὁμολογοῦντας θανάτῳ
ζημιοῦσθαι, τοὺς δ' ἀρνουμένους κρίνεσθαι. τοιγαροῦν οὕτως ὑμῶν κατεφρόνησεν, ὥστ' εὐθὺς ἐπὶ ταῖς δημοσίαις
διαψηφίσεσι δισχιλίας ἔλαβε δραχμάς. φήσας γὰρ Φιλωτάδην τὸν Κυδαθηναιέα, ἕνα τῶν πολιτῶν, ἀπελεύθερον
εἶναι ἑαυτοῦ, καὶ πείσας ἀποψηφίσασθαι τοὺς δημότας,
ἐπιστὰς τῇ κατηγορίᾳ ἐπὶ τοῦ δικαστηρίου, καὶ λαβὼν εἰς 15
τὴν ἑαυτοῦ χεῖρα τὰ ἱερὰ, καὶ ὀμόσας μὴ λαβεῖν δῶρα
μήτε λήψεσθαι, καὶ ἐπομόσας τοὺς ὁρκίους θεοὺς, καὶ τὴν
ἐξώλειαν ἐπαρασάμενος ἑαυτῷ, εἰληφὼς ἠλέγχθη παρὰ
Λευκωνίδου τοῦ Φιλωτάδου κηδεστοῦ, διὰ Φιλήμονος τοῦ
ὑποκριτοῦ, εἴκοσι μνᾶς, ἃς ἐν ὀλίγῳ χρόνῳ πρὸς Φιλοξένην
ἀνήλωσε τὴν ἑταίραν, καὶ προὔδωκε τὸν ἀγῶνα, καὶ τὸν 20
ὅρκον ἐπιώρκησεν. ὅτι δὲ ἀληθῆ λέγω, κάλει μοι Φιλήμονα
τὸν δόντα Τιμάρχῳ τὸ ἀργύριον, καὶ Λευκωνίδην τὸν Φιλωτάδου κηδεστὴν, καὶ τῶν συνθηκῶν ἀνάγνωθι τὰ ἀντίγραφα, [1] καθῶς τὴν πρᾶξιν ἐποιήσατο τοῦ ἀγῶνος.

[1] *καθ' ἃς τὴν πράσιν

cessitate. TAYLOR.

κδ'. Ταλάντου] Sub. ζημίαν. AUGER.

Τὰ ἱερὰ] Utrum victimas, an simulacra Deorum, quos ὁρκίους θεοὺς appellat? WOLF.

Τοὺς ὁρκίους θεοὺς] *Deos, per quos jusjurandum concipi solenne est.* Pollux lib. 8. τρεῖς θεοὺς ὀμνύναι κελεύει Σόλων, Ἱκέσιον, Καθάρσιον, Ἑξακεστήριον. At Demosth. c. Timocrat. Ἐπόμνυμι Δία, Ποσειδῶνα, Δήμητρα. BRODÆUS. Vid. σχ.

Ἠλέγχθη] Wolfius, *celare non potuit se.* Immo, *compertus est.* JURIN.

Φιλωτάδου κηδεστοῦ] Bene Wolf. Steph. et Cod. Bern. pro Aldina Φιλωτάδου τοῦ κηδεστοῦ. TAYLOR.

Εἴκοσι μνᾶς] Supra l. 12. δισχιλίας δραχμάς. Quod perinde est. Ita in verbis computi variare solent Attici. Vide ad Lysiam c. Diogit. pag. 510. Edit. Lond. Adde supra p. 46. l. 20. et p. 47. l. 2. Sic modo l. 7. ἐξάρνοις ἐπετιμήσατε ταλάντῳ, τούτῳ δὲ τριάκοντα μνῶν: Id est semitalentum. IDEM.

Τὴν πρᾶξιν] F. τὴν πρᾶσιν, τουτέστι, τὴν παροδοσίαν τοῦ ἀγῶνος. WOLF. τὸ πρᾶσιν, quod hariolando dedit Wolfius, exhibent Codd. Locker. Coisl. et e Regg. Parisiensibus duo. Verum quoties Πράττειν et Πράττεσθαι dicantur pro *rem dolose transigere, mala fide agere* et similibus, ostendent viri docti ad Thucydidem, aliique. Et Πρᾶξις pariter de iis rebus dicitur. Me igitur non tam offendit πρᾶξις,

κέ. Περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος
25 γεγένηται, καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνήλωκε,
καὶ τὴν ὕβριν τὴν εἰς τὸ ἑαυτοῦ σῶμα ὡς ὑπερεώρακε, σύν-
ιστε μὲν καὶ πρὶν ἐμὲ λέγειν, ἱκανῶς δ' ὑμᾶς ὑπομιμνή-
σκει καὶ ὁ παρ' ἐμοῦ λόγος. δύο δέ μοι τῆς κατηγορίας
εἴδη λέλειπται, ἐφ' οἷς ἐμαυτόν τ' εἰπεῖν εὔχομαι τοῖς
θεοῖς πᾶσι καὶ πάσαις ὑπὲρ τῆς πόλεως ὡς προήρημαι,
ὑμᾶς τε βουλοίμην ἂν [2] ἀκοῦσαι οἷς ἐγὼ μέλλω λέγειν, καὶ
30 προσέχειν τὸν νοῦν, καὶ παρακολουθεῖν εὐμαθῶς. ἔστι δ'
ὁ μὲν πρῶτός μοι λόγος, προδιήγησις τῆς ἀπολογίας, ἧς
ἀκούω μέλλειν γίνεσθαι· ἵνα μὴ τοῦτό μου παραλιπόντος,
ὁ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους
διδάσκειν, ἀπάτῃ τινὶ παραλογισάμενος ὑμᾶς ἀφέληται τὸ
τῆς πόλεως συμφέρον. ὁ δὲ δεύτερος ἔστι μοι λόγος, παρά-
κλησις τῶν πολιτῶν πρὸς ἀρετήν. ὁρῶ δὲ πολλοὺς μὲν τῶν
35 νεωτέρων προσεστηκότας πρὸς τῷ δικαστηρίῳ, πολλοὺς δὲ
τῶν πρεσβυτέρων· οὐκ ἐλαχίστους δὲ [3] τῶν ἐκ τῆς ἄλλης
Ἑλλάδος συνειλεγμένους ἐπὶ τὴν ἀκρόασιν· οὓς μὴ νομίζετ'
ἐμὲ θεωρήσοντας ἥκειν, ἀλλὰ πολὺ μᾶλλον ὑμᾶς εἰσομέ-
νους, εἰ μὴ μόνον εὖ νομοθετεῖν ἐπίστασθε, ἀλλὰ καὶ
κρίνειν τὰ καλὰ καὶ τὰ μὴ καλὰ δύνασθε· καὶ εἰ τιμᾶν
ἐπίστασθε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς, καὶ εἰ θέλετε κολά- 54
40 ζειν τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευά-
ζοντας. λέξω δὲ πρῶτον πρὸς ὑμᾶς περὶ τῆς ἀπολογίας. ὁ
γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης, ἢ τοὺς νόμους
φησὶν ὑμᾶς ἐξαλείφειν δεῖν, ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι
προσεκτέον. ἀποθαυμάζει γὰρ εἰ μὴ πάντες μέμνησθ' ὅτι
καθ' ἕκαστον ἐνιαυτὸν ἡ βουλὴ πωλεῖ τὸ πορνικὸν τέλος·
καὶ τοὺς πριαμένους τὸ τέλος τοῦτο οὐκ εἰκάζειν, ἀλλ'

[1] Μαρτυριαι. [2] * ἀκούεντας, [3] [τῶν]

quam πρᾶξιν ποιεῖσθαι. *Quemadmodum rem controversam transegerit*, Interpres Venetus. TAYLOR. Plane πρᾶσιν. Erratum forte. JURIN. Lego cum Reiskio καθ' ἃς τὴν πράσιν. AUGER.

κέ. Οἷς] Καὶ οἷς mavult Stephanus, ἐφ' οἷς scripti Bern. Locker. et Reg. 1. In Coisl. quod fortasse satius est, deest ἀκοῦσαι. Ea igitur voce deleta, videamus tenorem Orationis, ὑμᾶς τε βουλοίμην ἂν οἷς ἐγὼ μέλλω λέγειν καὶ προσέχειν τὸν νοῦν καὶ παρακολουθεῖν εὐμαθῶς. TAYLOR.

Τῶν ἐκ τῆς ἄ. Ἑ.] Pro τῶν M. τούς. AUGER.

ἀκριβῶς εἰδέναι τοὺς ταύτῃ χρωμένους τῇ ἐργασίᾳ. ὁπότε 17.1
οὖν δὴ τετόλμηκα ἀντιγράψασθαι, πεπορνευμένῳ Τιμάρχῳ μὴ ἐξεῖναι δημηγορεῖν, ἀπαιτεῖν φησὶ τὴν πρᾶξιν αὐτὴν οὐκ αἰτίαν κατηγόρου, ἀλλὰ μαρτυρίαν τελώνου τοῦ παρὰ Τιμάρχου τοῦτο ἐκλέξαντος τὸ τέλος. ἐγὼ δὲ πρὸς ταῦτ', ὦ Ἀθηναῖοι, σκέψασθ' ἂν ἁπλοῦν ὑμῖν καὶ ἐλευθέριον δόξω λόγον εἰπεῖν. αἰσχύνομαι γὰρ ὑπὲρ τῆς πόλεως, εἰ 5
Τίμαρχος, ὁ τοῦ δήμου σύμβουλος, καὶ τὰς εἰς τὴν Ἑλλάδα τολμῶν πρεσβείας πρεσβεύειν, μὴ τὸ πρᾶγμα ὅλον ἀποτρίψασθαι ἐπιχειρήσει, ἀλλὰ τοὺς τόπους ἐπερωτήσει ὅπου ἐκαθέζετο, καὶ τοὺς τελώνας, εἰ πώποτε παρ' αὐτοῦ πορνικὸν τέλος εἰλήφασιν. ταύτης μὲν οὖν τῆς ἀπολογίας ὑμῶν ἕνεκα παραχωρησάτω. ἕτερον δ' ἐγώ σοι λόγον ὑποβαλῶ, καλὸν καὶ δίκαιον, ᾧ [1]χρήσῃ, εἰ μηδὲν αἰσχρὸν 10
σαυτῷ σύνοισθα. τόλμησον γὰρ εἰς τοὺς δικαστὰς βλέψας εἰπεῖν ἃ προσήκει λέγειν ἀνδρὶ σώφρονι τὰ περὶ τὴν ἡλικίαν· Ἄνδρες Ἀθηναῖοι, τέθραμμαι μὲν ἐκ παιδὸς καὶ μειρακίου
55 παρ' ὑμῖν, οὐκ ἀφανεῖς δὲ διατριβὰς διατρίβω, ἀλλ' ἐν ταῖς ἐκκλησίαις μεθ' ὑμῶν ὁρῶμαι. οἶμαι δ' ἄν, εἰ πρὸς ἄλλους τινὰς ἦν ὁ λόγος μοι περὶ τῆς αἰτίας ἧς κρίνομαι, ταῖς ὑμετέραις μαρτυρίαις ῥᾳδίως ἂν ἀπολύσασθαι τοὺς 15
τοῦ κατηγόρου λόγους. μὴ γὰρ εἰ [2]ὅτι πέπρακταί μοι τι τούτων, ἀλλ' εἰ δοκῶ ὑμῖν παραπλησίως βεβιωκέναι ταῖς λεγομέναις ὑπὸ τούτου αἰτίαις, ἀβίωτον ἡγούμενος εἶναι ἐμαυτῷ τὸν λοιπὸν βίον, παραδίδωμι τὴν εἰς ἐμαυτὸν τιμωρίαν, ἐκαπολογήσασθαι τῇ πόλει πρὸς τοὺς Ἕλληνας· οὐδ' ἥκω παραιτησόμενος ὑμᾶς, ἀλλὰ καταχρήσασθέ μοι, εἰ δοκῶ τοιοῦτος εἶναι.— 20

[1] χρήσῃ [2] ὅτι, εἰ

Ἀντιγράψασθαι] Parum accurate Wolfius, *ad pratorem referre.* Ἀντιγράφεσθαι notat *peculiarem eam relationem*, qua quis accusantem vel accusaturum contraria actione repellit. Id monuit Scholiastes noster non ineruditus. TAYLOR.

Παραχωρησάτω. ἕτερον δ' ἐγώ σοι] Nota mutationem personarum, et apostrophen. Convertit enim se a judicibus ad Timarchum. WOLF. Hic transit abrupte orator a tertia persona ad secundam. AUGER.

Μὴ γὰρ εἰ ὅτι] Malim, μὴ γὰρ εἴ τι πέπρακταί μοι τούτων. WOLF. Βέλτιον, μὴ γὰρ ὅτι εἰ πέπρακταί μοι τι τούτων. STEPHANUS. Cum Stephano Codd. Bern. Coisl. et Reg. 1. Proxime Bern. τι τοιούτων. TAYLOR. Transpono cum Reiskio μὴ γὰρ ὅτι εἰ, ita ut μὴ ὅτι significet idem ac μὴ μόνον, *non solum, non modo.* AUGER.

Καταχρήσασθέ μοι] *Supplicio meo utamini, nolite mihi parcere.* Dicitur et χρῆσθαι. Andocides, χρῆσθε ἐμοὶ ὅ,τι ἂν ὑμῖν δοκῇ. Et χρήσασθέ μοι ὅ,τι βούλεσθε. BRODAEUS. F. διαχρήσασθέ με, *Interfi-*

κς'. Αὕτη μέν ἐστιν, ὦ Τίμαρχε, ἀπολογία ἀνδρὸς ἀγαθοῦ, καὶ σώφρονος, καὶ πεπιστευκότος τῷ βίῳ, καὶ καταφρονοῦντος εἰκότως ἁπάσης βλασφημίας· ἃ δὲ πείθει σε λέγειν Δημοσθένης, οὐκ ἀνδρός ἐστιν ἐλευθέρου, ἀλλὰ πόρνου, περὶ τῶν τόπων διαφερομένου. ἐπειδὴ δ' εἰς τὰς ἐπωνυμίας τῶν οἰκήσεων καταφεύγεις, κατ' οἴκημα τὸ πρᾶγμα
25 ἐξετάζεσθαι ἀξιῶν, ὅπου ἐκαθέζου· ἃ μέλλω λέγειν ἀκούσας, εἰσαῦθις οὐ χρήσῃ τοιούτῳ λόγῳ, ἐὰν σωφρονῇς. οὐ γὰρ τὰ οἰκήματα, οὐδ' αἱ οἰκήσεις τὰς ἐπωνυμίας τοῖς ἐνοικήσασι παρέχουσιν, ἀλλ' οἱ ἐνοικήσαντες τὰς τῶν ἰδίων ἐπιτηδευμάτων ἐπωνυμίας τοῖς τόποις παρασκευάζουσιν. ὅπου μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν, διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν· ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν. ἐὰν δ' εἰς
30 ἓν δή που τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς ἐργαστηρίων ἰατρὸς [1]οἰκήσεται, ἰατρεῖον καλεῖται· ἐὰν δ' ὁ μὲν [2]ἐξοικήσηται, 56
εἰς δὲ τὸ αὐτὸ τοῦτο ἐργαστήριον χαλκεὺς [3]εἰσοικήσηται, χαλκεῖον ἐκλήθη· ἐὰν δὲ γναφεύς, γναφεῖον· ἐὰν δὲ τέκτων, τεκτονεῖον. ἐὰν δὲ πορνοβοσκὸς καὶ πόρναι, ἀπὸ τῆς ἐργασίας εὐθὺς ἐκλήθη πορνεῖον. ὥστε σὺ πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας. μὴ οὖν ὅπου ποτὲ ἔπρατ-
35 τες, ἐρώτα, ἀλλ' ὡς τοῦτο οὐ πεποίηκας, ἀπολογοῦ.

κζ'. Ἧξει δ', ὡς ἔοικε, καὶ ἕτερος λόγος τὶς ὑπὸ τοῦ αὐτοῦ σοφιστοῦ συγκείμενος. λέγει γάρ, ὡς οὐδέν ἐστιν ἀδικώτερον φήμης, ἀγοραῖα τεκμήρια καὶ παντελῶς ἀκόλουθα τῷ αὐτοῦ βίῳ παρεχόμενος. πρῶτον μὲν γὰρ τὴν ἐν Κολωνῷ συνοικίαν, τὴν Δήμωνος καλουμένην, ψευδῆ φησὶ τὴν ἐπωνυμίαν ἔχειν· οὐ γὰρ εἶναι Δήμωνος. ἔπειτα τὸν Ἑρμῆν

[1] * εἰσοικίσηται [2] ἐξοικίσηται [3] εἰσοικίσηται

cite. Wolf. Imo καταχρήσασθέ μοι, ut vulgo legitur, *utimini me pro libitu vestro.* Auger.

κς'. Ὅπου μὲν γὰρ etc.] *Ubi enim plures una domo conducta, eam in partes discretam separatim obtinent, συνοικίαν dicimus: sed in qua unus degit, οἰκίαν appellamus.* Nimis licenter Wolfius horum loco ponit, *id quod pluribus exemplis ostendi supervacaneum est,* cum tamen ipse plura exempla postea subjungat. Jurin.

Ἐὰν δὲ] *Nam si,* Wolfius. Potius, *quod si.* Idem.

Οἰκήσεται] Πότερον, οἰκίσηται. Ὡσαύτως δὲ ἐξοικίσηται καὶ εἰσοικίσηται. Stephanus. Utinam manus abstinuisset! Nam hæc sunt pessimi commatis. l. 16. εἰσοικήσεται Locker. Taylor. Quod [sc. Steph. conject.] ego malim. Auger.

Ἰατρεῖον —— χαλκεῖον etc.] Quia Medicium, Ærarium, Fullonium, Fabrium dicere non licuit, et circuitio molestior etiam futura fuit, hic a verbis ob Latinæ linguæ inopiam recedendum fuit. Wolf.

κζ'. Ἑρμῆν τὸν Ἀνδοκίδου] Vid. Plutarch.

τὸν Ἀνδοκίδου καλούμενον, οὐκ Ἀνδοκίδου, ἀλλ' Αἰγηΐδος 40
φυλῆς εἶναι ἀνάθημα. παραφέρει δ' [1]αὐτὸν ἐν σκώμματος
μέρει, ὡς ἡδὺς ἀνὴρ, καὶ περὶ τὰς ἰδίας διατριβὰς γελοῖος·
εἰ μὴ καὶ ἐμὲ δεῖ, φησὶν, ὑπακούειν τοῖς ὄχλοις, μὴ Δημο-
σθένην καλούμενον, ἀλλὰ Βάταλον, ὅτι ταύτην ἐξ ὑποκορί-
σματος τινὸς τίτθης τὴν ἐπωνυμίαν ἔχω. εἰ δὲ Τίμαρχος
ὡραῖος ἐγένετο. καὶ σκώπτεται τῇ τοῦ πράγματος διαβο-
λῇ, καὶ μὴ τοῖς αὑτοῦ ἔργοις, οὐ δή που διὰ τοῦτ' αὐτόν 18.1
φησι δεῖν συμφορᾷ περιπεσεῖν. ἐγὼ δὲ, ὦ Δημόσθενες,
περὶ μὲν τῶν ἀναθημάτων, καὶ τῶν οἰκιῶν, καὶ περὶ
τῶν κτημάτων, καὶ πάντων ὅλως τῶν ἀφώνων, πολλοὺς
57 καὶ παντοδαπούς καὶ οὐδέποτε τοὺς αὐτοὺς ἀκούω λό-
γους λεγομένους. οὐ γάρ εἰσιν ἐν [2]αὐταῖς οὔτε καλαὶ οὔτε
αἰσχραὶ πράξεις, ἀλλ' ὁ προσαψάμενος αὐτῶν καὶ παρα- 5
τυχὼν, ὅς τις ἂν ᾖ, κατὰ τὸ μέγεθος τῆς αὑτοῦ δόξης λό-
γον παρέχει· περὶ δὲ τὸν τῶν ἀνθρώπων βίον καὶ λόγον
καὶ τὰς πράξεις, [3]ἀληθής τε καὶ ἀψευδής τις ἀπὸ ταυτο-
μάτου πλανᾶται φήμη κατὰ τὴν πόλιν, καὶ διαγγέλλει
τοῖς πολλοῖς τὰς ἰδίας πράξεις· πολλὰ δὲ καὶ μαντεύεται
περὶ τῶν μελλόντων ἔσεσθαι. καὶ οὕτως ἐναργές ἐστι καὶ
οὐ πεπλασμένον ὃ λέγω, ὥσθ' εὑρήσετε καὶ τὴν πόλιν 10
[4]ἡμῶν καὶ τοὺς προγόνους Φήμης, ὡς θεοῦ μεγίστης, βω-

[1] αὐτὸν [2] αὐτοῖς [3] Desunt ἀληθής τε. [4] ἡμῶν

in Alcibiade, Andocidem de Mysteriis, Scholiastem nostrum, Harpocrationem Ἀνδοκ. Ἑρμ. Maussac. pag. 49. et ad Harpocr. v. Ἑρμαῖ. Meurs. Athen. Attic. III. 3. virosque doctos ad Corn. Nepot. in Alcibiade. TAYLOR.

Παραφέρει δ' αὐτὸν] Lego ἑαυτὸν, sc. Δημοσθένης. WOLF. αὐτὸν, ἵνα ᾖ ἀντὶ τοῦ ἑαυτόν. STEPHANUS. Legendum αὐτὸν, vel ἑαυτόν. JURIN. αὐτὸν Locker. TAYLOR. αὐτὸν cum aspero. MARKLAND. αὐτὸν cum spiritu aspero. AUGER.

Ὑπακούειν] Videtur poni pro *respondere*, si *vocetur Batalus*. Sed Æschines hæc σκωπτικῶς affinxit Demostheni, qui convicia in se dicta non repetere, sed dissimulare solet. WOLF.

Αὐταῖς] Lege αὐτοῖς omnino. TAYLOR.

Κατὰ τὸ μέγεθος τῆς αὐτοῦ δόξης λόγον παρέχει] Wolfius, *pro magnitudine suæ opinionis famam de iis spargit*. Immo, *pro magnitudine suæ famæ, sermonibus causam præbet*. Vult enim Orator hominum insignium famam non raro in causa esse, ut nomen eorum donariis aut possessionibus affingatur, quæ suæ non fuerint. JURIN.

Περὶ] Παρὰ Bern. Quod melius. TAYLOR.

Τὰς πράξεις καὶ ἀψευδὴς] F. τὰς πράξεις, ἀληθής τε καὶ ἀψευδής τις. WOLF. Ita Wolfius ex sua conjectura, cum hæc verba a Codd. absunt. H. Stephano videntur plura etiam abesse. In Locker. et Reg. 2. deficit καὶ ante ἀψευδής. Quod nescio annon melius locum extricet. TAYLOR.

Καὶ διαγγέλλει —— πράξεις] Wolfius, *et vulgo actiones nuncial*, subjunge, *privatas*, vel *privatorum*. JURIN.

Φήμης —— βωμὸν] Pausanias in Atticis, καὶ γὰρ Αἰδοῦς σφίσι βωμός ἐστι, καὶ Φήμης, καὶ Ἑρμῆς. BRODÆUS. Pausaniæ istud adduxit, aliaque quædam huc pertinentia Meurs. Athen. Attic. III. 2. TAYLOR.

μὸν ἱδρυμένους· καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα, πρὸ τοῦ τὶ τῶν μελλόντων γενέσθαι,

Φήμη δ' εἰς στρατὸν ἦλθε·

καὶ πάλιν τὸν Εὐριπίδην ἀποφαινόμενον, τὴν θεὸν ταύτην οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην, ὁποῖόί τινες ἂν τυγχάνωσιν ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ·

15 Φήμη τὸν ἐσθλὸν κἀν μυχῷ δείκνυσι γῆς.

ὁ δὲ Ἡσίοδος καὶ διαῤῥήδην θεὸν αὐτὴν ἀποδείκνυσι, πάνυ σαφῶς φράζων τοῖς βουλομένοις συνιέναι. λέγει γάρ,

Φήμη δ' οὔτις πάμπαν ἀτόλλυται, ἥντινα λαοὶ
Πολλοὶ φημίζουσι· θεός νυ τὶς ἐστὶ καὶ αὐτή.

20 καὶ τούτων τῶν ποιημάτων τοὺς μὲν εὐσχημόνως βεβιω- 58
κότας εὑρήσετε ἐπαινέτας ὄντας, πάντες γὰρ οἱ δημοσίᾳ φιλότιμοι, παρὰ τῆς ἀγαθῆς φήμης ἡγοῦνται τὴν δόξαν κομιεῖσθαι· οἷς δ' αἰσχρός ἐστιν ὁ βίος, οὐ τιμῶσι τὴν θεὸν ταύτην, κατήγορον γὰρ αὐτὴν ἀθάνατον ἔχειν ἡγοῦνται. ἀναμνήσθητε οὖν, ὦ ἄνδρες, τίνι κέχρησθε φήμῃ περὶ Τιμάρχου. οὐχ ἅμα τοὔνομα λέγεται, καὶ τὸ ἐρώτημα
25 εὐθὺς [1]ἐρωτᾶτε, ποῖος Τίμαρχος; ὁ πόρνος; ἔπειτα εἰ μὲν μάρτυρας παρειχόμην περί τινος, ἐπιστεύετ' ἄν μοι· εἰ δὲ τὴν θεὸν μάρτυρα παρέχομαι, οὐ πιστεύσετε; ἢ οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν [2]ἐπισκῆψαι. ἐπεὶ καὶ [3]περὶ τῆς Δημοσθένους ἐπωνυμίας, οὐ κακῶς ὑπὸ τῆς φήμης, ἀλλ' οὐχ ὑπὸ τῆς τίτθης, Βάταλος προσαγορεύεται, ἐξ ἀνανδρίας τινὸς καὶ κιναιδείας ἐνεγκάμενος τοὔνομα. εἰ γάρ τις σου

[1] * ἐρωτᾶται [2] * ἐπισκήψασθαι [3] [περὶ τ. Δ. ἐπανυμίας,]

Φήμη δ' εἰς στρατὸν ἦλθε] Hoc apud Homerum non reperitur. Brodæus. Et multa apud Veteres occurrunt, quæ in vulgata Homeri Editione non reperiuntur. Dixi alibi. Hoc tamen mirum est, quod dicat Æschines has voces, *sæpenumero*, πολλάκις, in Iliade legi. Taylor.

Ἡσίοδος] In lib. cui titulus Ἔργα καὶ Ἡμέραι. Brodæus.

Συνιέναι] Wolfius, *scire*. Potius, *intelligere*. Jurin.

Φημίζουσι] Γρ. φημίζωσι. [et] δὲ καὶ φημίζουσι. Stephanus.

Ἢ] Ita Wolfius edi voluit, consentiente quidem Scaligero, et Cod. Locker. In vulgatis erat ἢν οὐδὲ ψ. Θέμις ἐστὶν ἐπισκῆψαι. Lysias pag. 83. οὐκ ἐτόλμησα αὐτῷ ἐπισκήψασθαι. Et pag. 402. ἐπισκηψάμενος τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν. Atque ita semper Oratores. Taylor.

τὰ κομψὰ ταῦτα χλανίσκια [1]περικλώμενος, καὶ τοὺς 30
μαλακοὺς χιτωνίσκους, ἐν οἷς τοὺς κατὰ τῶν φίλων λόγους
γράφεις, περιενέγκας δοίη εἰς τὰς χεῖρας τῶν δικαστῶν,
[2]οἶμαι ἂν αὐτοὺς, εἴ τις μὴ προειπὼν τοῦτο ποιή-
σειεν, ἀπορῆσαι, εἴ τε ἀνδρὸς εἴ τε γυναικὸς εἰλήφασιν
ἐσθῆτα.

κή. Ἀναβήσεται δ' ἐν τῇ ἀπολογίᾳ καὶ τῶν στρα-
τηγῶν τις, ὡς ἀκούω, ὑπτιάζων καὶ κατασκοπούμενος
ἑαυτὸν, ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς· ὃς 35
ἐπιχειρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τοῦ ἀγῶνος, οὐ
59 κρίσιν ἐξευρηκέναι με φάσκων, ἀλλὰ δεινῆς ἀπαιδευσίας
ἀρχὴν [3]παραφέρειν· πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς ὑμε-
τέρους, Ἁρμόδιον καὶ Ἀριστογείτονα, καὶ τὴν πρὸς ἀλ-
λήλους πίστιν, καὶ τὸ πρᾶγμα ὡς συνήνεγκε τῇ πόλει, διεξ-
ιών· οὐκ ἀφέξεται δ', ὥς φασιν, οὐδὲ τῶν Ὁμήρου ποιη- 40
μάτων, οὐδὲ τῶν ὀνομάτων τῶν ἡρωϊκῶν, ἀλλὰ καὶ τὴν
λεγομένην γενέσθαι φιλίαν δι' ἔρωτα Πατρόκλου καὶ
Ἀχιλλέως ὑμνήσει, καὶ τὸ κάλλος, ὥσπερ οὐ πάλαι μα-
καριζόμενον, ἂν τύχῃ σωφροσύνης, νῦν ἐγκωμιάσεται. εἰ
γὰρ τὴν τοῦ σώματος εὐπρέπειαν ταύτην τινὲς διαβάλ-
λοντες, συμφορὰν τοῖς ἔχουσι καταστήσουσιν, οὐ ταὐτὰ
κοινῇ ψηφιεῖσθαι φήσουσιν ὑμᾶς, ἃ καὶ ἰδίᾳ [4]εὔχεσθε.
ἄτοπον γὰρ εἶναι, ὡς δοκεῖν ἑαυτῷ, εἰ τοὺς μὲν υἱεῖς τοὺς 19.1
μηδέπω γεγονότας ἅπαντες εὔχεσθε, οἱ μέλλοντες παι-
δοποιεῖσθαι, καλοὺς κἀγαθοὺς τὰς ἰδέας φῦναι, καὶ τῆς
πόλεως ἀξίους· τοὺς δὲ ἤδη γεγονότας, ἐφ' οἷς προσήκει

[1] περιελόμενος [2] οἴομαι [3] παραφέρων πρῶτον [4] εὔχεσθαι

Περικλώμενος] Ita Wolfius pro περικλόμενος, quod est vulgatorum. Brodæus autem, Stephanus, Cl. Marklandus, ut Codd. Locker. et Parisienses, περιελόμενος. Id quod certissimum est. καὶ Αἰσχίνης· εἰ γάρ τίς σου τὰ κομψὰ ταῦτα χλαΐσκια περιελόμενος. T. Magister in v. Χλαΐδιον. Idem. Malim cum Reiskio περιελόμενος. Auger.

Περιενέγκας] Aliter hæc punguntur in Edit. Steph. scil. λόγους γράφεις περιενέγκας, δοίη εἰς τὰς χεῖρας. Hic pro περιενέγκας Cl. Marklandus monet παρενέγκας, quod non paulo melius. Hunc locum tangit Gellius I. 5. *Demosthenem tradunt vestitu sincero et cultu corporis nitido venustoque et nimis accurato fuisse: hinc etiam* κομψὴ *illa* χλανὶς καὶ μαλακοὶ χιτωνίσκοι *ab æmulis adversariisque probro data.* Taylor.

κή. Παραφέρειν] Sub. ἐμὲ τὸν κατήγορον. Sic Wolf. In editis erat παραφέρων. Atque ita legit σχστης. παραφέρων] παράγων. Taylor.

φήσουσιν] Nempe Timarchi defensores. Pro quo malim φήσει vel φησὶν, nempe iste de quo hic agitur. Auger.

Εὔχεσθε] Omnino ita, ex sententia Wolfii, atque auctoritate Cod. Bern. Vulgo εὔχεσθαι. Taylor.

σεμνύνεσθαι τὴν πόλιν, ἐὰν κάλλει καὶ ὥρᾳ διενεγκόντες ἐκπλήξωσί τινας, καὶ περιμάχητοι ἐξ ἔρωτος γένωνται, τούτους, ὡς ἔοικεν, Αἰσχίνῃ πεισθέντες, ἀτιμώσετε. κἀνταῦθα δή τινα καταδρομὴν, ὡς ἀκούω, μέλλει περὶ ἐμοῦ ποιεῖσθαι, ἐπερωτῶν, εἰ οὐκ αἰσχύνομαι, αὐτὸς μὲν ἐν τοῖς γυμνασίοις ὀχληρὸς ὤν, καὶ πλείστων ἐραστὴς γεγονὼς, τὸ δὲ πρᾶγμα εἰς ὄνειδος καὶ κινδύνους καθιστὰς, καὶ, τὸ τελευταῖον, ὡς ἀπαγγέλλουσι τινές μοι, εἰς γέλωτα καὶ λῆρον τινὰ προτρεπόμενος ὑμᾶς, [1]ἐπιδείξασθαί μου φησὶν 60
ὅσα πεποίηκα ἐρωτικὰ εἴς τινας ποιήματα, καὶ λοιδοριῶν τινῶν καὶ πληγῶν ἐκ τοῦ πράγματος αἱ περὶ ἐμὲ γεγένηνται, μαρτυρίας φησὶ παρέξεσθαι. ἐγὼ δὲ οὔτε ἔρωτα δίκαιον ψέγω, οὔτε τοὺς κάλλει διαφέροντας φημὶ πεπορνεῦσθαι, οὔτ' αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ γεγονέναι ἐρωτικὸς, καὶ ἔτι καὶ νῦν εἶναι, τάς τε ἐκ τοῦ πράγματος γινομένας πρὸς [2]ἑτέρους φιλονεικίας καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ συμβεβηκέναι μοι. περὶ δὲ τῶν ποιημάτων ὧν φασὶν οὗτοί με πεποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον, ὃν οὗτοι [3]διαφθείροντες παρέχονται. ὁρίζομαι δ' εἶναι, τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων, φιλανθρώπου [4]πάθους καὶ εὐγνώμονος ψυχῆς· τὸ δὲ ἀσελγαίνειν ἀργυρίου τινὰ μισθούμενον, ὑβριστοῦ καὶ ἀπαιδεύτου ἀνδρὸς ἔργον εἶναι ἡγοῦμαι. καὶ τὸ μὲν ἀδιαφθόρως ἐρᾶσθαι, φημὶ καλὸν εἶναι· τὸ δὲ ἐπαρθένα μισθῷ πεπορνεῦσθαι, αἰσχρόν. ὅσον δὲ ἑκάτερον τούτων ἀπ' ἀλλήλων διέστηκε, καὶ ὡς πολὺ διαφέρει, ἐν τοῖς ἐφεξῆς ὑμᾶς πειράσομαι λόγοις διδάσκειν. οἱ γὰρ πατέρες ὑμῶν ὅθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ φύσεως ἀναγκαίων κακῶν καὶ ἀγαθῶν ἐνομοθέτουν ἃ τοῖς ἐλευθέ-

[1] ἐπιδείξεσθαι [2] ἑταίρους [3] * διαφθείραντες; [4] πάθος

Ἐπιδείξασθαί μου φησὶν] F. ἐπιδείξεσθαι μου φήσει. Et paulo post, φήσει παρέξεσθαι. Wolf. Imo ἐπιδείξεσθαι. Auger.

Φησὶ παρέξεσθαι] Hoc posterius φησὶ deleri posset ut supervacaneum. Idem.

Οὔτ' αὐτὸς ἐξαρνοῦμαι κ. τ. λ.] *Nec ipse inficias eo me propensum ad amores et fuisse, et etiam nunc esse.* Wolfius postrema ista verba alieno loco posuit. Jurin.

Πρὸς ἑτέρους] Πρὸς ἑταίρους legit optimus Cod. Locker. Et recte. Taylor. F. ἑταίρους. Auger.

Πάθους] Omnino cum doctissimo Marklando πάθος. ἐρᾶν τῶν καλῶν εἶναι πάθος φιλανθρώπου καὶ εὐγνώμονος ψυχῆς. Taylor. Lego πάθος cum Reiskio. Auger.

Τὸ δὲ ἀσελγαίνειν κ. τ. λ.] Wolfius, *sed pecunia redimendi aliquem petulantiam.* Minus apte. Vertendum potius, *sed alicui dedecus afferre mercede conducta.* Jurin.

ροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν· δοῦλον, φησὶν ὁ νόμος, μὴ γυμνάζεσθαι μηδὲ ξηραλοιφεῖν ἐν ταῖς παλαίστραις. 25 καὶ οὐκ ἔτι προσέγραψε, τὸν δ' ἐλεύθερον ἀλείφεσθαι καὶ
61 γυμνάζεσθαι. ὁπότε γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατιδόντες, ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν, τῷ αὐτῷ νόμῳ ἡγοῦντο, ᾧ ἐκείνους ἐκώλυον, τοὺς ἐλευθέρους προτρέπειν ἐπὶ τὰ γυμνάσια. πάλιν ὁ αὐτὸς οὗτος εἶπε νομοθέτης, δοῦλον ἐλευθέρου παιδὸς μὴ ἐρᾶν μήτ' ἐπακολουθεῖν, ἢ τύπτεσθαι τῇ δη- 30 μοσίᾳ μάστιγι πεντήκοντα πληγάς. ἀλλ' οὐ τὸν ἐλεύθερον ἐκώλυσεν ἐρᾶν, καὶ ὁμιλεῖν, καὶ ἀκολουθεῖν· οὐδὲ βλάβην τῷ παιδὶ, ἀλλὰ μαρτυρίαν σωφροσύνης ἡγήσατο συμβαίνειν. ἀκύρου δ', οἶμαι, καὶ ἀδυνάτου ἔτι ὄντος κρῖναι τὸν ὄντως εὔνουν καὶ μὴ, τὸν ἐρῶντα σωφρονίζει, καὶ τοὺς τῆς φιλίας λόγους εἰς τὴν φρονοῦσαν καὶ πρεσβυτέραν ἡλικίαν ἀναβάλλεται· τὸ δ' ἐπακολουθεῖν καὶ ἐφορᾶν, φρουρὰν καὶ φυλακὴν σωφροσύνης ἡγήσατο εἶναι 35 μεγίστην. τοιγάρτοι τοὺς τῆς πόλεως μὲν εὐεργέτας, ταῖς δ' ἀρεταῖς ὑπερενηνοχότας, Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὁ σώφρων καὶ ἔννομος, εἴτε ἔρωτα εἴτε τρόπον αὐτὸν χρὴ προσειπεῖν, τοιούτους ἐπαίδευσεν, ὥστε τοὺς ἐπαινοῦντας τὰ ἐκείνων ἔργα, καταδεεστέρους δοκεῖν εἶναι ἐν τοῖς ἐγκωμίοις τῶν ἐκείνοις πεπραγμένων.

κθ'. Ἐπειδὴ δὲ Ἀχιλλέως καὶ Πατρόκλου μέμνησθε, 40 καὶ Ὁμήρου, καὶ ἑτέρων ποιητῶν, ὡς τῶν μὲν δικαστῶν ἀνηκόων παιδείας ὄντων, ὑμεῖς δὲ εὐσχήμονές τινες προσποιεῖσθε εἶναι, καὶ ὑπερφρονοῦντες ἱστορίᾳ τὸν δῆμον· ἵν' εἰδῆτε, ὅτι καὶ ἡμεῖς τι ἤδη ἠκούσαμεν καὶ ἐμάθομεν, λέ-
62 ξομέν τι καὶ ἡμεῖς περὶ τούτων. ἐπειδὴ γὰρ ἐπιχειροῦσι φιλοσόφων ἀνδρῶν μεμνῆσθαι, καὶ καταφεύγειν ἐπὶ τοὺς εἰρημένους ἐν τῷ μέτρῳ λόγους, θεωρήσατε ἀποβλέψαντες, 20.1

Ξηραλοιφεῖν] Vid. Vales. ad Harpocr. in hac voce, et Cl. Wesseling. ad Petit. Attic. Legg. pag. 587. Ridiculum istud Wolfii, *pulvere aspergatur*. [And yet I find in Sandy's Travels, that the Turks, for want of water sometimes bathe with dust, or some such expression.] TAYLOR.

Ὄντος] Sub. τοῦ παιδός. AUGER.

Αὐτὸν] Εἴτε τρόπον αὐτῶν. WOLF. Quid sibi velit hic παραδιορθωτὴς, sane nescio. Bene constat lectio, nec sollicitari debuit: *Modestus et ingenuus, sive* ille ἔρως, *sive* ille τρόπος *sit nominandus*. TAYLOR. F. αὐτῶν. AUGER.

ὦ Ἀθηναῖοι, εἰς τοὺς [1]ὁμολογουμένους ἀγαθοὺς καὶ χρηστοὺς ποιητάς, ὅσον [2]κεχωρῖσθαι ἐνόμισαν τοὺς σώφρονας, καὶ τῶν ὁμοίων ἐρῶντας, καὶ τοὺς ἀκρατεῖς ὧν οὐ χρὴ, καὶ τοὺς ὑβριστάς. λέξω δὲ πρῶτον μὲν περὶ Ὁμήρου, ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν εἶναι τάττομεν. ἐκεῖνος γὰρ πολλαχοῦ μεμνημένος περὶ Πατρόκλου καὶ Ἀχιλλέως, τὸν μὲν ἔρωτα καὶ τὴν ἐπωνυμίαν αὐτῶν τῆς φιλίας ὑποκρύπτεται· ἡγούμενος τὰς τῆς εὐνοίας ὑπερβολὰς καταφανεῖς εἶναι τοῖς πεπαιδευμένοις τῶν ἀκροατῶν. λέγει γάρ που Ἀχιλλεὺς ὀδυρόμενος τὸν τοῦ Πατρόκλου θάνατον, ὡς ἕν τι τοῦτο τῶν λυπηροτάτων ἀναμιμνησκόμενος, ὅτι τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν πατέρα τὸν Πατρόκλου τὸν Μενοίτιον ἄκων ἐψεύσατο. ἐπαγγείλασθαι γὰρ αὐτὸν εἰς Ὀποῦντα σῶον ἀπάξειν τὸν Πάτροκλον — ἦν γὰρ Ὀπούντιος —, εἰ συμπέμψειεν αὐτὸν εἰς τὴν Τροίαν, καὶ παρακατάθοιτο αὐτῷ. ᾧ καταφανής ἐστιν ὡς δι' ἔρωτα τὴν ἐπιμέλειαν αὐτοῦ παρέλαβεν. ἔστι δὲ τὰ ἔπη, ἃ ἐγὼ νυνὶ μέλλω λέγειν,

Ὦ πόποι, ἦ ῥ' ἄλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
Θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι.
Φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν, 63
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε λῆίδος αἶσαν.
Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.
Ἀμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεύθειν.

οὐ τοίνυν ἐνταῦθα μόνον σχετλιάζων φαίνεται, ἀλλ' οὕτως αὐτὸν ἰσχυρῶς ἐπένθησεν, ὥστε παρὰ Θέτιδος τῆς αὐτοῦ μητρὸς προακούσας, ὅτι μὴ μετελθὼν μὲν τοὺς ἐχθροὺς, ἀλλ' ἐάσας ἀτιμώρητον τὸν τοῦ Πατρόκλου θάνατον, ἐπαν-

[1] ὁμολογουμένως

[2] κεχωρίσθαι

κθ'. Ὁμολογουμένους] Vel fortasse adverbialiter, ὁμολογουμένως. Atque ita scribit Locker. a manu 2da. TAYLOR.

Καὶ τοὺς ἀκρατεῖς ὧν οὐ χρὴ] Sub. εἶναι ἀκρατεῖς. Nisi malis subintelligere, ἐρῶντας ὧν οὐ χρή. WOLF. Subaudi ἐρῶντας. AUGER.

Εἶναι] Rectius abesset. ἐν τοῖς πρεσβυτάτοις τῶν ποιητῶν τάττομεν. TAYLOR.

Ὡς ——— ἀναμιμνησκόμενος] Inducerem hæc verba, quia et turbant sententiam alioquin perspicuam, et videntur esse glossematica τοῦ ὀδυρόμενος. IDEM.

Παρέλαβεν. ἔτι δὲ] F. παρέλαβεν. Ἔθηκε τὰ ἔπη, vel potius ἔ σ τ ι δὲ τὰ ἔπη. WOLF. Quemadmodum et Stephanus quoque excudit, et Codd. habent. TAYLOR.

Ὦ πόποι] Locus est Iliad. Σ. 324. IDEM.

Ἐρεύθειν] Γρ. ἐρεῦσαι. STEPHANUS.

ελθὼν οἴκαδε, γηραιὸς ἐν τῇ αὐτοῦ πατρίδι ἀποθανεῖται· τιμωρησάμενος δέ, διὰ ταχέων μέλλει τὸν βίον τελευτᾶν, εἵλετο τὴν τοῦ τεθνεῶτος πίστιν μᾶλλον ἢ τὴν σωτηρίαν. οὕτως δὲ μεγαλοψύχως ἠπείγετο τὸν φονέα τὸν ἐκείνου τι- 25
μωρήσασθαι, ὥστε πάντων αὐτὸν παραμυθουμένων, καὶ κελευόντων λύσασθαι, καὶ σῖτον προσενέγκασθαι, ἀπόμνυσι μηδὲν ἂν τούτων πράξειν, πρὶν ἂν τὴν τοῦ Ἕκτορος κεφαλὴν ἐπὶ τὸν τοῦ Πατρόκλου τάφον ἐνέγκῃ. καθεύδοντος δὲ αὐτοῦ ἐπὶ τῇ πυρᾷ, ὡς φησιν ὁ ποιητής, εἴδωλον ἐφίσταται [1] Πατρόκλου, καὶ τοιούτων ἐπεμνήσθη, καὶ τοιαῦτα ἐπέσκηψε τῷ Ἀχιλλεῖ, ἐφ' οἷς καὶ δακρύσαι, καὶ ζηλῶσαι 30
τὴν ἀρετὴν καὶ τὴν φιλίαν ἄξιον αὐτῶν ἐστίν. ἐπισκήπτει μὲν γὰρ αὐτῷ, προειπὼν ὅτι οὐδὲ ἐκεῖνος ἀπέχει μακρὰν τῆς τοῦ βίου τελευτῆς, εἴ πως εἴη δυνατὸν, προδιοικήσασθαι
64 ὅπως τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἐτράφησαν καὶ ἐβίωσαν ἐν τῷ αὐτῷ, οὕτω καὶ τελευτησάντων αὐτῶν τὰ ὀστᾶ ἐν τῇ αὐτῇ σορῷ κείσεται. ὀδυρόμενος δὲ καὶ τὰς διατριβὰς διεξιὼν, ἃς μετ' ἀλλήλων ζῶντες διέτριβον, λέγει ὅτι οὐκ 35
ἔτι περὶ τῶν μεγίστων, ὥσπερ τὸ πρότερον, καθεζόμενοι μετ' ἀλλήλων μόνοι ἄποθεν τῶν ἄλλων φίλων βουλευσόμεθα· τὴν πίστιν, οἶμαι, καὶ τὴν εὔνοιαν ποθεινοτάτην ἡγούμενος εἶναι. ἵνα δὲ καὶ διὰ τοῦ μέτρου τὰς γνώμας ἀκούσητε τοῦ ποιητοῦ, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὰ ἔπη τὰ περὶ τούτων, ἃ Ὅμηρος πεποίηκε. λέγε πρῶτον τὰ περὶ τῆς Ἕκτορος τιμωρίας.

Ἀλλ' ἐπεὶ οὖν, φίλ' ἑταῖρε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν, 40
Οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνείκω
Τεύχεα καὶ κεφαλὴν μεγαθύμου σεῖο φονῆος.

[1] τὸ Πατρόκλου

Τοῦ τεθνεῶτος πίστιν] Τὸ τηρῆσαι τὴν πίστιν τῷ τεθνεῶτι. Wolf. Juxta, τὴν αὐτοῦ σωτηρίαν cum præstantissimo Marklando. Taylor. Lege cum Marklando. Auger.

Ἐπεμνήσθη] F. ὑπέμνησε. Tametsi et illud nihil habet incommodi. Wolf.

Ἀλλ' ἐπεὶ] Retinui in his versibus interpretationem Eobani Hessi, alicubi tamen correctione aliqua adhibita, ubi ille nimium sibi permisisse videtur. Idem. Locus Homeri est Il. Σ. 333. ubi tamen scribitur,

Νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος etc.

Modo in Homero ἐνθάδ' ἐνεῖκαι habent Editi. Quo pacto etiam hic legit Cod. Steph. et Coislin. item. De auctoritate Homeri et Euripidis ab Æschine hic adducta, et de usu Poetarum in prosa oratione, seu potius *de modo allegandi*, nonnulla Hermogenes in capite περὶ χρήσεως ἐπῶν ἐν πεζῷ λόγῳ. pag. 434. Edit. Crispin. Taylor.

ἀναγίνωσκε δὴ ἃ περὶ τοῦ ὁμοτάφους αὐτοὺς γενέσθαι
21.1 λέγει ἐν τῷ ὕπνῳ ὁ Πάτροκλος, καὶ περὶ τῶν διατριβῶν ἃς
συνδιέτριβον ἀλλήλοις·

Οὐ γὰρ ἔτι ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
Βουλὰς ἑζόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν κὴρ
Ἀμφέχανε στυγερή, ἥτερ λάχε γεινόμενόν περ.
5 Καὶ δέ σοι αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τεῖχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι,
Μαρνάμενον δηΐοις Ἑλένης ἕνεκ' ἠϋκόμοιο. 65
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
10 Ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ
Χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ.
Ὡς ὁμοῦ ἐτράφεμέν περ ἐν ὑμετέροισι δόμοισιν,
Εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
Ἤγαγεν ὑμέτερόνδ', ἀνδροκτασίης ὑπὸ λυγρῆς,
15 Ἥματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος
[1] Νήπιον, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
Ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
Ἔτρεφέ τ' ἐνδυκέως, καὶ σὸν θεράποντ' ὀνόμηνεν·
Ὡς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι.

20 ὡς τοίνυν [2] ἐξῆν αὐτῷ σωθῆναι μὴ τιμωρησαμένῳ τὸν τοῦ
Πατρόκλου θάνατον, ἀνάγνωθι ἃ λέγει ἡ Θέτις·

Ὠκύμορος δή μοι τέκος ἔσσεαι, οἷ' ἀγορεύεις·
Αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα ποτμὸς ἕτοιμος.
Τὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς.
25 Αὐτίκα τεθναίην· ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
Κτεινομένῳ ἐπαμῦναι, ὅ μοι πολὺ φίλτατος ἔσκεν.

λ'. Ὁ τοίνυν οὐθενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπί- 66
δης, ἕν τι τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως
ἐρᾶν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος, λέγει που,

[1] Νήπιος [2] ἐξῆν ἂν αὐτῷ

Οὐ γὰρ ἔτι κ. τ. λ.] Homer. Iliad. Ψ. 77. Varietatem, non profecto levem, qua ab Editis hic discedit Æschines, satis cum diligentia, non tamen summa, annotarunt Homeri Editores. Similiter de loco proximo, qui occurrit Iliad. Σ. 95. TAYLOR. Cf. si tanti est, et Marg. Steph.

Νήπιον] Lege Νήπιος. AUGER.

Ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
Ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ. 30

πάλιν τοίνυν ὁ αὐτὸς ποιητὴς ἐν τῷ Φοίνικι ἀποφαίνεται, ὑπὲρ τῆς γεγενημένης αὐτῷ πρὸς τὸν πατέρα διαβολῆς ἀπολογούμενος, καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας, μηδὲ ἐκ διαβολῆς, ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι·

Ἤδη δὲ πολλῶν ἠρέθην λόγων κριτὴς,
Καὶ πόλλ' ἀμιλληθέντα μαρτύρων ὕπο 35
Τἀναντί' ἔγνων συμφορᾶς μιᾶς [1]πέρι.
Κἀγὼ μὲν οὕτω, χ' [2]ὅστις ἔστ' ἀνὴρ σοφὸς,
Λογίζομαι [3]τἀληθὲς, εἰς ἀνδρὸς φύσιν
Σκοπῶν, δίαιταν ἥντιν' ἐμπορεύεται.
Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ, 40
Οὐ πώποτ' ἠρώτησα· γινώσκων ὅτι
[4]Τοιοῦτός ἐστιν οἷς περ ἥδεται ξυνών.

σκέψασθε δὲ, ὦ Ἀθηναῖοι, τὰς γνώμας ἃς ἀποφαίνεται ὁ ποιητής. ἤδη δὲ πολλῶν πραγμάτων φησὶ γεγενῆσθαι κρι-
67 τὴς, ὥσπερ νῦν ὑμεῖς δικασταί· καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν 22.1
μαρτυριῶν, ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν φησὶ ποιεῖσθαι, ἐκεῖσε ἀποβλέπων, πῶς τὸν καθ' ἡμέραν

[1] πάρα [2] ὥστις [3] τἀληθὲς εἰς ἀ. φύσιν, Σκοπῶν δίαιταν
[4] Τοιοῦτος ἔσθ' οἵοισπερ

Ἠρέθην] Brodæus et Wolfius pro eo quod erat in Aldinis, ἠρέθη. TAYLOR.

Πέρι] Barnesius edidit πάρα. IDEM. Κἀγὼ μὲν οὕτω, ὅστις etc.] Barnesius οὕτως. Wolfius vero cum Scaligero οὕτω, χ' ὅστις ἔστ' ἀνὴρ σοφός. καὶ ὅστις Locker. IDEM.

Σκοπῶν, δίαιταν] Ita Wolfius, ita in fragmentis Euripidis hunc locum distinxit Barnesius, qui et ita reddidit,

Ego namque certis scire dum quæro notis,
Probus an sit aliquis, speculor ingenium viri,
Et quod sequatur usque vivendi genus.

Illud profecto cautum et solers, dignum illud Barnesii sagacitate, quod, dum in mores cujuspiam inquirat, *hominis specularetur ingenium et vivendi genus.* Non potuit profecto planiori aut simpliciori via pervenire eo quo voluit. Verum an in isto oraculo spectetur Euripidis sapientia? Ille quidem dicit, *si hominis speculari ingenium atque indolem velimus, inquirendum est in vitæ genus, amicitias et consuetudines.* Quo sensu, et sane bellus est, locum habebit Stephani punctura,

Λογίζομαι τἀληθὲς εἰς ἀνδρὸς φύσιν,
Σκοπῶν δίαιταν ἥντιν' ἐμπορεύεται. TAYL.

Τοιοῦτός] Malim,

Τοιοῦτός ἐσθ' οἵοισπερ ἥδεται ξυνών.
WOLF.

Atque ita, si Stephano fides, in MStis exemplaribus reperitur. TAYLOR.

Ὁμιλῶν] Placet ὁμιλιῶν. BRODÆUS. Ita Stephanus quoque et Wolfius ediderunt. Modo, pro ποιεῖσθαι, πεποιῆσθαι ille. TAYLOR. M. πεποιῆσθαι. AUGER.

βίον ζῇ ὁ κρινόμενος, καὶ ὅντινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν, ὡς παραπλησίως αὐτὸν καὶ τὰ τῆς πόλεως διοικήσοντα· καὶ τίσι χαίρει πλησιάζων, καὶ τελευτῶν οὐκ ὤκνησεν ἀποφήνασθαι, τοιοῦτον αὐτὸν εἶναι, [1]οἷσπερ ἥδεται ξυνών. οὐκοῦν δίκαιον καὶ περὶ Τιμάρχου τοῖς αὐτοῖς ὑμᾶς Εὐριπίδῃ χρήσασθαι λογισμοῖς. πῶς διώκηκε τὴν ἑαυτοῦ οὐσίαν; κατεδήδοκε τὰ πατρῷα, καὶ τὰ τῶν φίλων, μεμισθαρνηκὼς τῷ σώματι, καὶ δωροδοκῶν δημοσίᾳ πάντ' ἠφάνικεν, ὥστε μηδὲν ἄλλ' ἢ τὰς αἰσχύνας αὐτῷ περιεῖναι; χαίρει [2]δὲ τῷ ξυνών; Ἡγησάνδρῳ. ὁ δ' Ἡγήσανδρος ἐκ τίνων ἐστὶν ἐπιτηδευμάτων; ἐκ [3]τούτων, ἐξ ὧν αὐτὸν πράξαντα οἱ νόμοι ἀπαγορεύουσι δημηγορεῖν. ἐγὼ δὲ τί λέγω κατὰ Τιμάρχου; καὶ τίνα ποτ' ἐστὶν ἃ ἀντιγέγραμμαι; μὴ δημηγορεῖν Τίμαρχον πεπορνευμένον, καὶ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότα· ὑμεῖς δὲ τί ὀμωμόκατε; ὑπὲρ αὐτῶν ψηφιεῖσθαι ὧν ἂν ἡ δίωξις ᾖ.

λά. Ἵνα δὲ μὴ μακρολογῶ περὶ τῶν ποιητῶν διεξιὼν, ἀνδρῶν ἐρῶ πρεσβυτέρων καὶ γνωρίμων ὑμῖν ὀνόματα, καὶ μειρακίων καὶ παίδων· ὧν τοῖς μὲν, διὰ τὴν εὐπρέπειαν πολλοὶ γεγόνασιν ἐρασταὶ, ἐνίοις δὲ τῶν ἐν ἡλικίᾳ ἔτι καὶ νῦν εἰσίν· ὧν οὐδεὶς πώποτ' εἰς τὰς αὐτὰς αἰτίας ἀφῖκται Τιμάρχῳ. καὶ πάλιν ὑμῖν ἀντιδιέξειμι ἀνθρώπων πεπορνευ- 68
μένων αἰσχρῶς καὶ φανερῶς ὀνόματα· ἵνα ὑμεῖς ἀναμνησθέντες κατανείμητε εἰς τὴν προσήκουσαν τάξιν Τίμαρχον. πρῶτον δὲ λέξω τὰ τῶν ἐλευθέρων καὶ καλῶς βεβιωκότων ὀνόματα. γινώσκετε, ὦ Ἀθηναῖοι, Κρίτωνα τὸν Ἀστυόχου, καὶ Περικλείδην τὸν Περιθοίδου, καὶ Πολεμαγένη, καὶ Παντολέοντα τὸν Κλεαγόρου, καὶ Τιμησίθεον τὸν δρομέα, καλλίστους οὐ μόνον τῶν πολιτῶν, ἀλλὰ καὶ τῶν Ἑλλή-

[1] οἵεισπερ [2] δὲ τῷ [3] τούτων, ἃ τὸν πράξαντα εἰ ν. ἀ. μὴ δημηγορεῖν

Ὡς —— διοικήσαντα] Ἀττικισμὸς, ἀντὶ τοῦ, ὡς διοικήσαντος. WOLF.

Οἷσπερ] Et hic quoque restituerem οἵοισπερ. Proclive erat errasse in describendo. TAYLOR.

Ἐξ ὧν αὐτὸν πράξαντα] Διότι πέπραχε τοιαῦτα, καὶ ἐπιτήδευσε. WOLF. Lego cum Reiskio ἃ τὸν πράξαντα. AUGER.

Ὑμεῖς ὅτι ὀμωμόκατε] Ὑμεῖς δὲ τί ὀμωμόκατε; ὑπὲρ αὐτῶν ψηφιεῖσθαι κ. τ. λ. WOLF. Ita fere Bern. et Scal. ὑμεῖς δ' ὀμωμ. Cod. Reg. 1. ὑμεῖς δὲ ὅτι, Locker. Vulgo, ὑμεῖς ὅτι ὀμωμόκατε ὑπὲρ αὐτῶν ψηφιεῖσθε κ. τ. λ. TAYLOR.

λά. Περιθοίδου] Nomen hominis *populare* censet esse Meursius de Popul. Attic. et abesse gentile, hoc modo, Περικλείδην τὸν * * * Περιθοίδου, vel rescribendum esse Περικλείδην τὸν Περιθοίδην. Hoc posterius habet Locker. et satius est. IDEM.

νων γεγενημένους, καὶ πλείστων, καὶ σωφρονεστάτων τυχόντας ἐραστῶν· ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἔψεξε. πάλιν ἐκ τῶν μειρακίων, καὶ τῶν ἐν παισὶν ἔτι καὶ νῦν ὄντων, πρῶτον μὲν τὸν ἀδελφιδοῦν τοῦ Ἰφικράτους, υἱὸν δὲ Τισίου τοῦ Ῥαμνουσίου, ὁμώνυμον δὲ τοῦ νυνὶ κρινομένου 25 Τιμάρχου, ὃς εὐπρεπὴς ὢν ἰδεῖν, τοσοῦτον ἀπέχει τῶν αἰσχρῶν, ὥστε πρώην ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολυττῷ, καὶ Παρμένοντος, τοῦ κωμικοῦ ὑποκριτοῦ, εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον, ἐν ᾧ ἦν, εἶναί τινας πόρνους μεγάλους Τιμαρχώδεις· οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ' εἰς σὲ πάντες. οὕτω κληρονόμος εἶ τοῦ ἐπιτηδεύματος. πάλιν Ἀντικλέα τὸν σταδιοδρόμον, καὶ Φειδίαν τὸν ἀδελφὸν τοῦ Μιλησίου. 30 ἔτι δὲ εἰπεῖν ἔχων πολλούς, παύσομαι· ἵνα μὴ δοκῶ τὸν ἔπαινον θεραπείᾳ τινὶ κατ' αὐτῶν ποιεῖσθαι. περὶ δὲ τῶν
69 ὁμοτρόπων Τιμάρχου [1]μὴ φεύγων τὰς ἀπεχθείας, ὧν ἥκιστά μοι μέλει, μνησθήσομαι. τίς γὰρ ὑμῶν τὸν ὀρφανὸν καλούμενον Διόφαντον οὐκ οἶδεν; ὃς τὸν ξένον πρὸς τὸν ἄρχοντα ἀπήγαγεν, ᾧ παρήδρευεν Ἀριστοφῶν ὁ Ἀζηνιεύς, ἐπαιτιασάμενος τέτταρας δραχμὰς αὐτὸν ὑπὲρ τῆς πρά- 35 ξεως ταύτης ἀπεστερηκέναι· καὶ τοὺς νόμους λέγων, οἳ κελεύουσι τὸν ἄρχοντα τῶν ὀρφανῶν ἐπιμελεῖσθαι, τοὺς ὑπὲρ τῆς σωφροσύνης κειμένους ὑπερβεβηκώς· [2]τοῦτον δὴ τίς οὐκ ἐμίσει; ἢ τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον, τὸν τοῦ Μόλωνος καλούμενον, καλλίστην ὥραν ὄψεως ἀκλεέστατα διεφθαρκότα; ἢ Μνησίθεον τὸν τοῦ Μαγείρου καλούμενον, ἢ πολλοὺς ἑτέρους, ὧν ἑκὼν ἐπιλαν-

[1] Deest μή.

[2] [τοῦτον δὴ τίς οὐκ]

Καὶ σωφρονεστάτων] Melius omisisset hæc duo vocabula propter sententiam, quæ sequitur. MARKLAND.

Παραμένοντος] F. Παρμένοντος. Proprium certe nomen aliquod requiritur. WOLF.

Τιμάρχου] F. Τιμάρχῳ. IDEM.

Φεύγων] Μὴ φεύγων. Sed si negatio recte abest, τὸ, ὧν ἥκιστά μοι μέλει, μνησθήσομαι, subintelligito ἀνθρώπων, et non, ἀπεχθειῶν. Ut dicat se quidem reformidare inimicitias, sed eos nominaturum, quorum odia facillime contemnat. IDEM. Vertendum, *corum vero, qui moribus Timarcho similes sunt, nullo inimicitiarum metu, quæ mihi minime curæ sunt, mentionem faciam.* Wolfius, cum τὸ ὧν ad ὁμοτρόπων, non ad ἀπεχθείας retulerit, sensum pervertit. JURIN. Οὐ φεύγων Cod. Bern. TAYLOR.

Ὑπερβεβηκὼς, ἐμίσει] Fortasse addendum, ὑπερβεβηκώς. Τοῦτον δὴ τίς οὐκ ἐμίσει; WOLF. In Reg. 2. et Locker. deest etiam ἐμίσει. Et recte quidem videtur enim esse marginalis glossa τοῦ, ἐδυσχέραινε, quod statim sequitur. TAYLOR.

40 θάνομαι; οὐ γὰρ ἐπεξελθεῖν αὐτῶν ἕκαστον κατ' ὄνομα πικρῶς βούλομαι· ἀλλὰ μᾶλλον τῶν τοιούτων ἔργων ἀπορεῖν ἂν εὐξαίμην ἐν τῷ λόγῳ, διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν. ἐπειδὴ δὲ ἑκατέρων προελόμενοι τινὰς διεξεληλύθαμεν, χωρὶς μὲν τοὺς διὰ σωφροσύνην ἐρωμένους, χωρὶς δὲ τοὺς εἰς ἑαυτοὺς ἐξαμαρτάνοντας· ὑμεῖς ἤδη τοῦτ' ἐρωτηθέντες ἀποκρίνασθε πρὸς ἐμέ, εἰς ὁποτέραν τάξιν τὸν Τί-
23.1 μαρχον κατανέμετε· πότερον εἰς τοὺς ἐρωμένους, ἢ εἰς τοὺς πεπορνευμένους; οὐκοῦν μὴ καταλιπὼν ἣν εἵλου συμμορίαν, [1] αὐτομολήσεις εἰς τὰς τῶν ἐλευθέρων διατριβάς.

λβ'. Ἐὰν δ' ἐπιχειρῶσι λέγειν, ὡς οὐχ ἡταίρηκεν, ὅστις μὴ κατὰ συγγραφὰς ἐμισθώθη, καὶ γραμματεῖον, καὶ 70
μάρτυρας ἀξιῶσί με τούτων παρασχέσθαι· πρῶτον μὲν
5 τοὺς περὶ τῆς ἑταιρήσεως νόμους μέμνησθε, ἐν οἷς οὐδαμοῦ μνείαν ὁ νομοθέτης περὶ συνθηκῶν πεποίηται. οὐ γὰρ εἰ κατὰ γραμματεῖόν τις ἑαυτὸν κατήσχυνε, τοῦτ' ἐζήτασεν, ἀλλὰ παντελῶς ὅπως ἂν ἡ πρᾶξις γένηται, τὸν πράξαντα κελεύει μὴ μετέχειν τῶν τῆς πόλεως κοινῶν. εἰκότως. ὅς τις γὰρ νέος ὢν ἀπέστη δι' αἰσχρὰς ἡδονὰς τῆς εἰς τὰ καλὰ φιλοτιμίας, τοῦτον οὐκ ᾠήθη δεῖν πρεσβύτερον γενόμενον,
10 ὁ τοὺς νόμους εἰσφέρων, ἐπίτιμον εἶναι. ἔπειτα καὶ τὴν εὐήθειαν τοῦ λόγου τούτου ῥᾴδιόν ἐστιν ἐξετάσαι. πάντες γὰρ ἂν τοῦθ' ὁμολογήσαιμεν, ὅτι τὰς συνθήκας τὰς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα· ἵνα ὁ μὴ παραβὰς τὰ γεγραμμένα, δίκην λάβῃ τῇ ψήφῳ παρὰ τοῦ παραβάντος. οὐκοῦν εἴπερ τὸ πρᾶγμα δίκης προσδεῖται, τοῖς κατὰ γραμματεῖον ἡταιρηκόσιν, ἂν ἀδικῶνται, ἡ τῶν [2] νόμων, ὧν
15 οὗτοί φασιν, ἐπικουρία καταλείπεται. καὶ τίς ἂν ὁ λόγος ἑκατέρου φανείη; μὴ γὰρ ὑπ' ἐμοῦ λεγόμενον, ἀλλὰ γινόμενον τὸ πρᾶγμα νομίσηθ' ὁρᾶν. ἔστω γὰρ ὁ μὲν μισθωσάμενος δίκαιος εἰς τὸ πρᾶγμα· ὁ δὲ μισθωθεὶς ἄδικος καὶ μὴ βέβαιος. ἢ πάλιν τοὐναντίον, ὁ μὲν μισθωθεὶς, μέτριος καὶ ποιῶν τὰ ὡμολογημένα, ὁ δὲ τὴν ἡλικίαν προλα-

[1] αὐτομολήσῃς

[2] νόμων, * ἐξ ὧν

Αὐτομολήσεις] F. cum optimo Marklando, σχ. et Cod. Bern. αὐτομολήσῃς. IDEM. M. αὐτομολήσῃς. AUGER.

λβ'. Γραμματεῖον] Γρ. γραμμάτιον δὲ ἐν τοῖς ἑξῆς, καὶ πάλιν γραμματεῖον, ὥσπερ ἐνταῦθα. STEPHANUS.

Δίκης προσδεῖται, τῆς κ. τ. λ.] Lege τοῖς. refertur enim ad ἡταιρηκόσιν. WOLF.

βων, καὶ μισθωσάμενος, ἐψεύσθω. καὶ δικαστὰς ὑμᾶς αὐτοὺς νομίσατε καθῆσθαι. οὐκοῦν ὁ πρεσβύτερος, ἀποδοθέντος τοῦ ὕδατος αὐτῷ καὶ λόγου, κατηγορίαν μετὰ 20
71 σπουδῆς, βλέπων δηλονότι πρὸς ὑμᾶς, ἐρεῖ· ἐμισθωσάμην, ὦ Ἀθηναῖοι, Τίμαρχον ἑταιρεῖν ἐμαυτῷ κατὰ τὸ γραμματεῖον, τὸ παρὰ Δημοσθένει κείμενον, — οὐδὲν γὰρ κωλύει οὕτως εἰρῆσθαι —, οὐ δὴ ποιεῖ μοι τὰ ὡμολογημένα· καὶ ταῦτ' ἤδη διέξεισι δηλονότι, πρὸς τοὺς δικαστὰς λέγων, ἃ χρὴ τὸν τοιοῦτον ποιεῖν. ἔπειτα οὐ καταλευσθήσεται ὁ μισθούμενος τὸν Ἀθηναῖον παρὰ τοὺς νόμους, καὶ 25
προσόφλων ἄπεισιν ἐκ τοῦ δικαστηρίου, οὐ τὴν ἐπωβελίαν μόνον, ἀλλὰ καὶ ἄλλην ὕβριν; ἀλλ' οὐχ οὗτος, ἀλλ' ὁ μισθωθεὶς δικάζεται. λεγέτω δὴ παρελθὼν ὁ σοφὸς Βάταλος ὑπὲρ αὐτοῦ, ἵν' εἰδῶμεν τί ποτ' ἐρεῖ. ἄνδρες δικασταί, ἐμισθώσατό με ἑταιρεῖν αὐτῷ ἀργυρίου ὁστισδηποτοῦν, — οὐδὲν γὰρ διαφέρει οὕτως εἰρῆσθαι —, κἀγὼ μὲν ἅπαντα καὶ πεποίηκα, καὶ ἔτι καὶ νῦν ποιῶ κατὰ τὸ γραμματεῖον, ἃ χρὴ ποιεῖν τὸν ἑταιροῦντα· οὗτος δὲ ὑπερβαίνει 30
τὰς συνθήκας. ἔπειτ' οὐ πολλὴ κραυγὴ παρὰ τῶν δικαστῶν [1]αὐτῶν ἀπαντήσεται; τίς γὰρ οὐκ ἐρεῖ, ἔπειτα [2]εἰσβάλλεις εἰς τὴν ἀγορὰν, ἢ στεφανοῖ, ἢ πράττεις τι τῶν αὐτῶν ἡμῖν; οὐκοῦν οὐδὲν ὄφελος τῆς συγγραφῆς. πόθεν οὖν ἴσχυκε, καὶ σύνηθες γεγένηται λέγειν, ὡς κατὰ γραμματεῖον ἤδη τινὲς ἡταίρησαν, ἤδη ἐρῶ. ἀνὴρ εἷς τῶν πολιτῶν — τὸ δ' ὄνομα οὐ λέξω, τὰς γὰρ ἀπεχθείας φεύγω — οὐδὲν προειδόμενος ὧν ὀλίγῳ πρότερον ἐγὼ διεξ- 35
ῆλθον ὡς ὑμᾶς, λέγεται [3]παρὰ τὰς συνθήκας ἡταιρη-

[1] αὐτῷ [2] ἐκβάλλῃ [3] κατὰ

Δὲ] Melius δέ. Ἐμισθωσάμην Τίμαρχον ἑταιρεῖν —— οὐ δὲ ποιεῖ τὰ ὡμολογημένα. Taylor.

Δικάζεται] Vel δικάζέτω potius: *Finge jam conductum litem intendere.* Atque eo consilio locum vertisse Wolfium video. Idem.

Ἐκβάλλῃ] Legendum videtur secunda persona, εἰσβάλλεις (sic et in oratione Lycurgi contra Leocratem) εἰς τὴν ἀγορὰν, ἢ πράττεις (Vulg. πράττει) τι τῶν αὐτῶν ἡμῖν; Wolf. Π. ἐμβάλλει, ἢ εἰσβάλλει. Stephanus. Coisl. et Regg. 1. 2. ἐμβάλλει. Locker. et Bern. ἐμβάλλῃ. Neglexit Wolfius τὸ, στεφανοῖ, quod non debuit, cum sit ceteris impurius. Στεφανοῦται Bern. concilians cum πράττει. Taylor.

Τὰς γὰρ ἀπεχθείας φεύγω] Videtur Ironia. Nam et satis declarat, quis ille fuerit, et supra, se contemnere inimicitias est professus. Etsi aliud est scorti, aliud viri in Rep. versati suscipere odium. Wolf.

Παρὰ τὰς συνθήκας] Omnino legendum κατὰ τὰς συνθήκας, ut in pag. sequente l. 4. κατὰ γραμματεῖον. Jubin. κατὰ similiter Bern. et Locker. Taylor.

κέναι τὰς παρ᾽ Ἀντικλεῖ κειμένας, οὐκ ὢν ἰδιώτης, ἀλλὰ
πρὸς τὰ κοινὰ προσιών· καὶ λοιδορίαις περιπίπτων, εἰς 72
συνήθειαν ἐποίησε τοῦ λόγου τούτου τὴν πόλιν καταστῆ-
ναι· καὶ διὰ τοῦτο ἐρωτῶσί τινες, εἰ κατὰ γραμματεῖον ἡ
πρᾶξις γεγένηται; ὁ δὲ νομοθέτης οὐχ ὅπως τὸ πρᾶγμα
40 γεγένηται ἐφρόντισεν, ἀλλ᾽ ἐὰν ὁπωσοῦν μίσθωσις γεγένη-
ται, κατέγνωκε τοῦ πράξαντος αἰσχύνην.

λγ΄. Ἀλλ᾽ ὅμως οὕτω σαφῶς τούτων διωρισμένων, πολ-
λαὶ παρεμβολαὶ λόγων ὑπὸ Δημοσθένους εὑρεθήσονται.
καὶ ταῖς μὲν ὑπὲρ τοῦ πράγματος κακοηθείαις λεγομέναις
ἧττον ἄν τις ἀγανακτήσειεν· ἃ δὲ ἔξωθεν ἐπεισάξεται,
λυμαινόμενος τὰ τῆς πόλεως δίκαια, ἐπὶ τούτοις ἄξιόν
ἐστιν ὀργισθῆναι. πολὺς μὲν γὰρ ὁ Φίλιππος ἔσται· ἀνα-
24. 1 μιχθήσεται δὲ καὶ τὸ τοῦ παιδὸς ὄνομα Ἀλεξάνδρου. καὶ
γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς ἄμουσός τις οὗτος καὶ ἀπαί-
δευτος ἄνθρωπός ἐστι. τὸ μὲν γὰρ εἰς τὸν Φίλιππον τῷ
λόγῳ πλημμελεῖν, ἀμαθὲς μὲν καὶ ἄκαιρον· ἔλαττον δ᾽
οὗ μέλλω λέγειν ἁμάρτημα. ὁμολογουμένως γὰρ εἰς ἄνδρα,
5 καί περ οὐκ ὢν αὐτὸς ἀνήρ, τὰς βλασφημίας ποιήσεται.
ὅταν δὲ ταῖς εἰς τὸν παῖδα πεπραγματευμέναις μεταφο-
ραῖς ὀνομάτων αἰσχρὰς ὑποψίας παρεμβάλλῃ, καταγέ-
λαστον τὴν πόλιν ποιεῖ. ὡς γὰρ τὰς ἐμὰς εὐθύνας βλάπ-
των, ἃς ὑπὲρ τῆς πρεσβείας μέλλω διδόναι, φήσει με, ὅτ᾽
αὐτὸς πρώην πρὸς τὴν βουλὴν ὑπὲρ τοῦ παιδὸς Ἀλεξάν-
δρου [1] διεξίῃ, ὡς ἐν τῷ ποτῷ ἡμῶν κιθαρίζοι, καὶ λέγοι
ῥήσεις τινάς, καὶ ἀντικρούσεις πρὸς ἕτερον παῖδα· καὶ περὶ
10 τούτων ἃ δή ποτε αὐτὸς ἐτύγχανε γινώσκων, πρὸς τὴν 73
βουλὴν ἀπεφήνατο, οὐχ ὡς συμπρεσβευτὴν, ἀλλ᾽ ὡς
συγγενῆ, τοῖς εἰς τὸν παῖδα σκώμμασιν ἀγανακτῆσαι.
ἐγὼ δ᾽ Ἀλεξάνδρῳ μὲν εἰκότως διὰ τὴν ἡλικίαν οὐ διείλε-
γμαι, Φιλίππου δὲ νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν
ἐπαινῶ· ἐὰν δ᾽ αὐτὸς ἐν τοῖς πρὸς ὑμᾶς ἔργοις γένηται οἷος

[1] διεξῴη

λγ΄. Ὑπὸς] Ita excudebat Wolfius. Editi ὑπό. IDEM.

Φησί] Φήσει μέ. WOLF. Hoc cum verbo ἀγανακτῆσαι componendum. BRODÆUS.

Διεξίῃ] Π. διεξῴη. STEPHANUS. διεξίει Bern. Codd. autem Locker. Regg. 1. 2. διεξῴη. Quod est rescribendum. §. κγ΄. med. μετὰ ταῦτα ἤδη διεξῴη περὶ τοῦ πράγματος. TAYLOR. Imo διεξῴη. AUGER.

Ἐν τοῖς π. ὑ. ἐ. γεγένηται] Sententia

ιῦν ἐστὶν ἐν τοῖς ἐπαγγέλμασιν, ἀσφαλῆ καὶ ῥάδιον τὸν καθ' αὑτοῦ ποιήσεται ἔπαινον. ἐπετίμησα δ' ἐν τῷ βουλευ- 15 τηρίῳ Δημοσθένει, οὐ τὸν παῖδα ἐκθεραπεύων, ἀλλ', ἐὰν τὰ τοιαῦτα ἀποδέχησθε, ὁμοίαν νομίζων τὴν πόλιν φανήσεσθαι τῇ τοῦ λέγοντος ἀκοσμίᾳ.

λδ'. Ὅλως δέ, ὦ Ἀθηναῖοι, τὰς ἔξωθεν τοῦ πράγματος ἀπολογίας μὴ προσδέχησθε· πρῶτον μέν, τῶν ὅρκων ἕνεκεν οὓς ὠμόσατε, δεύτερον δέ, ὑπὲρ τοῦ μὴ παρακρουσθῆναι ὑπὸ ἀνθρώπου τεχνίτου λόγων. μικρὸν δὲ ἄνωθεν ἄρξομαι διδάσκων ὑμᾶς. Δημοσθένης γάρ, ἐπειδὴ τὴν πα- 20 τρῴαν οὐσίαν ἀνάλωσε, περιῄει περὶ τὴν πόλιν θηρεύων νέους πλουσίους ὀρφανούς· ὧν οἱ μὲν πατέρες τετελευτήκεισαν, αἱ δὲ μητέρες διώκουν τὰς οὐσίας. πολλοὺς δ' ὑπερβὰς, ἑνὸς τῶν δεινὰ πεπονθότων ὑπὸ τούτου μνησθήσομαι. κατιδὼν γὰρ οἰκίαν πλουσίαν, καὶ οὐκ εὐνομουμένην, ἧς ἡγεμὼν μὲν ἦν γυνὴ μέγα φρονοῦσα, καὶ νοῦν οὐκ ἔχουσα, νεανίσκος δὲ 25 ὀρφανὸς ἡμιμανὴς διεχείριζε τὴν οὐσίαν, Ἀρίσταρχος ὁ τοῦ Μόσχου· τούτου προσποιησάμενος ἐραστὴς εἶναι, καὶ τὸ
74 μειράκιον εἰς τὴν φιλίαν ταύτην προσκαλεσάμενος, ἐλπίδων κενῶν ἐμπλήσας, ὡς αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσοντα [1] κατὰ λόγον ἀποφαίνων, τοιούτων εἰσηγητὴς αὐτῷ καὶ διδάσκαλος ἔργων ἐγένετο, ἐξ ὧν ἐκεῖνος μὲν φεύγει τὴν πατρίδα, οὗτος δ' αὐτοῦ τὰ τῆς φυγῆς ἐφόδια προλαβὼν τρία τάλαντα ἀπεστέρηκε· Νικόδημος δ' ὁ 30 Ἀφιδναῖος ὑπ' Ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δείλαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς, καὶ τὴν γλῶτταν ἀποτμηθεὶς, ᾗ ἐπαῤῥησιάζετο, πιστεύων τοῖς

[1] , κατάλογον ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων ἀποφαίνων

postulat vel γένηται, vel γεγένηται, ὑποτακτικῶς. Wolf. H. Stephanus etiam in sua nitidissima editione reposuit γένηται. Taylor.

λδ'. Μικρὸν] Quis non videt hic in lacuna multa esse intercepta? Idem. Hic pauca deesse constat; pauca supplevi in interpretatione mea. Auger.

Εἰσημαυρένην] De domo, tanquam de civitate, loquitur. Wolf. Vid. Th. Magister, Εἰσημεῖσθαι. Taylor.

Φιλίαν] Φιλανθρωπίαν legit et exponit T. Magister. Idem.

Πρωτεύσοντα κατὰ λόγον] Ἀντὶ τοῦ, ἐν τοῖς λόγοις, ἢ κατὰ τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις. Wolf.

Ἀποφαίνων] Si verbum hoc non redundat, sic distinguo et ordino verba, —— ἐμπλήσας· ἀποφαίνων ὡς αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσοντα κατὰ λόγον· τοιούτων etc. Idem. Vulgata lectio ita se habet, ὡς αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσαντα κατάλογον ἀποφαίνων. Quam juxta cum Wolfio et alii quoque emendant. Notabile maxime est quod repræsentat Reg. 1. ὡς αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσοντα, κατάλογον ἀποφαίνων ῥητόρων ὑπ' αὐτοῦ γεγεννημένων. Taylor. Lego cum Tayloro. Auger.

Ἀποτμηθεὶς] Ἐκτμηθεὶς Suidas, qui

νόμοις καὶ ὑμῖν. ἔπειθ' ὑμεῖς, ὦ Ἀθηναῖοι, Σωκράτην μὲν τὸν σοφιστὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαιδευκώς, ἕνα τῶν τριάκοντα, τῶν τὸν δῆμον καταλυσάντων· Δημο-
35 σθένης δ' ὑμῖν ἑταίρους ἐξαιτήσεται, ὁ τηλικαύτας τιμωρίας λαμβάνων παρὰ τῶν ἰδιωτῶν καὶ δημοτικῶν ἀνθρώπων ὑπὲρ τῆς ἰσηγορίας; ὦ παρακεκλημένοι τινὲς τῶν μαθητῶν ἥκουσιν ἐπὶ τὴν ἀκρόασιν. κατεπαγγέλλεται γὰρ πρὸς αὐτοὺς, ἐργολαβῶν ἐφ' ὑμᾶς, ὡς ἐγὼ πυνθάνομαι, λήσειν μεταλλάξας τὸν ἀγῶνα, καὶ τὴν ὑμετέραν ἀκρόασιν, καὶ παραστήσειν τῷ μὲν φυγόντι θαρρεῖν, ὅταν αὐτὸς
40 δεῦρο παρέλθῃ, ἐκπεπλῆχθαι δὲ τῷ κατηγόρῳ καὶ πεφοβῆσθαι περὶ αὐτοῦ· τοσούτους δὲ καὶ τηλικούτους ἐκκαλέσασθαι παρὰ τῶν δικαστῶν θορύβους, παρεμβάλλων τὰς ἐμὰς δημηγορίας, καὶ ψέγων τὴν εἰρήνην τὴν δι' ἐμοῦ καὶ Φιλοκράτους γεγενημένην, ὥστ' οὐδὲ ἀπαντήσεσθαί με ἐπὶ τὸ δικαστήριον ἀπολογησόμενον, ὅταν τὰς τῆς πρε- 75
σβείας εὐθύνας διδῶ, ἀλλ' ἀγαπήσειν, ἐὰν μετρίῳ τιμή-
25.1 ματι περιπέσω, καὶ μὴ θανάτῳ ζημιῶμαι. μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν γέλωτα τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε· ἀλλ' ὑπολάβετ' ὁρᾶν εἰσεληλυθότα ἀπὸ τοῦ δικαστηρίου οἴκαδε, καὶ σεμνυνόμενον ἐπὶ τῇ τῶν μειρακίων διατριβῇ, καὶ διεξιόντα ὡς εὖ τὸ πρᾶγμα ὑφεί-

totum hoc comma laudat v. Παῤῥησία. TAYLOR.

Σοφιστὴν] Recte. Vide Perizon. Præf. ad Ælian. Var. Hist. Sic Pythagoras apud Herodot. IV. 95. vocatur σοφιστής, et Solon I. 29. MARKLAND. Ὅτι μὲν δὴ πάλαι σεμνόν τε ἦν, καὶ ἐπ' ἀξιώσει, καὶ ὅτι Σόλωνα σοφιστὴν ὠνόμαζον οἱ τότε ἄνθρωποι, καὶ Πυθαγόραν, ἀπειροκάλου ἂν εἴη κωμῳδοποιῶν ὑμᾶς ὑπομιμνήσκειν καὶ ξυγγραφέων. Themistius in Sophista. Vid. Etym. M. Menag. ad Laert. L. I. §. 12. Meursium in Solone C. IV. TAYLOR.

Ἑταίρους] Ἑτέρους. WOLF. Atque ita vertit. TAYLOR.

Ὑπὲρ τῆς ἰσηγορίας] Wolfius, *propter æqualitatem juris.* Immo, hoc in loco, *propter libertatem loquendi.* Nam I. ult. p. 70. inquit, ἐπαῤῥησιάζετο (Nicodemus sc.) πιστεύων τοῖς νόμοις καὶ ὑμῖν. JURIN. Hic ἰσηγορία, *libertas loquendi quæ civitati liberæ convenit.* AUGER.

Ἐπὶ τὴν ἀκρόασιν] Sub. τῆς ὑπὲρ Τιμάρχου ἀπολογίας. WOLF.

Ἐργολαβῶν ἐφ' ὑμᾶς] *Quæstu in fraudem vestram instituto,* Wolfius. Potius, *fraude in vos instituta.* JURIN.

Παραστήσειν] Locum laudat, emendatius non dico, Suidas in v. Δεῦρο. TAYLOR.

Παρεμβάλλων] Τῷ παρεμβάλλειν. Nota hic ἀποσπλανήσεων ῥητορικῶν δεινότητα. Cujusmodi et illa est L. Crassi II. de Orat. laudantis M. Antonium, qui Sulpitio Norbanum eripuerit, tractando loco de seditionibus. WOLF.

Διατριβὴν] Διατριβὴν hic intelligo ψυχαγωγίαν καὶ τέρψιν, μᾶλλον ἢ ἀναβολήν. IDEM.

Τῇ τῶν μ. διατριβῇ] Τέρψει. Sed malim ἐπὶ τῆς διατριβῆς, τουτέστι τῆς διδασκαλίας, ὅταν διδάσκῃ τὰ μειράκια. IDEM. Poll. L. IX. C. V. εἰ μέντοι τὸ διδασκαλεῖον καὶ διατριβὴν κατὰ τὴν τῶν πολλῶν χρῆσιν ἐθέλεις καλεῖν, ὅρα μή σε βιάζηται καὶ τὸ παρ' Αἰσχίνῃ, Καὶ σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ. ἐν τῇ διατριβῇ legit etiam Coisl. et Reg. 2. TAYLOR.

Ὡς εὖ τὸ πρ. ὑφείλετο] Sic et in Cluen-

λετο τῶν δικαστῶν. ἀπαγαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν, ἐπέστησα φέρων ἐπὶ τὸν κατήγορον καὶ Φιλίππου καὶ Φωκέας· καὶ φόβους ἐπήρτησα τοῖς ἀκροωμένοις, ὥστ' ὁ μὲν φεύγων κατηγόρει, ὁ δὲ κατηγορῶν ἐκρίνετο· οἱ δὲ δικασταί, ὧν μὲν ἦσαν δικασταὶ ἐπελάθοντο, ὧν δ' οὐκ ἦσαν κριταί, περὶ τούτων ἤκουον. ὑμέτερον δ' ἐστὶν ἔργον πρὸς ταῦτα ἀντιτετάχθαι, [1] πανταχῇ παρακολουθοῦντας μηδαμῇ [2] παρακλίνειν αὐτὸν ἐᾶν, μηδὲ τοῖς ἔξω τοῦ ἀγῶνος λόγοις διισχυρίζεσθαι· ἀλλ', ὥσπερ ἐν ταῖς ἱπποδρομίαις, εἰς τὸν τοῦ πράγματος [3] αὐτὸν δρόμον εἰσελαύνετε. κἂν ταῦτα ποιῆτε, οὐ καταφρονηθήσεσθε, ἀλλὰ τὴν αὐτὴν ἕξετε γνώμην νομοθετοῦντες καὶ δικάζοντες· εἰ δὲ μή, δόξετε, μελλόντων μὲν γίνεσθαι τῶν ἀδικημάτων, προαισθάνεσθαι καὶ ὀργίζεσθαι, γεγονότων δὲ, οὐκ ἔτι φροντίζειν. ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐὰν μὲν κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καὶ καλοὶ καὶ κύριοι· ἐὰν δ' ἀφῆτε, καλοὶ μὲν, κύριοι δ' οὐκ ἔτι.

λέ. Ὧν δὲ ἕνεκα ταῦτα λέγω, οὐκ ὀκνήσω πρὸς ὑμᾶς
76 παῤῥησιάσασθαι· ἔσται δ' ὁ λόγος ἐπὶ παραδείγματος. διὰ τί οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους μὲν καλῶς κεῖσθαι, τὰ δὲ ψηφίσματα τῆς πόλεως εἶναι καταδεέστερα, καὶ τὰς κρίσεις ἐνίοτε τὰς ἐν τοῖς δικαστηρίοις ἔχειν ἐπιπλήξεις; ἐγὼ τὰς τούτων αἰτίας ἐπιδείξω. ὅτι τοὺς μὲν νόμους τίθεσθε ἐπὶ πᾶσι τοῖς δικαίοις, οὔτε κέρδους ἕνεκ' [4] ἀδίκου, οὔτ' ἔχθρας, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ δίκαιον καὶ τὸ συμφέρον ἀποβλέποντες· ἐπιδέξιοι δ', οἶμαι, φύντες ἑτέρων μᾶλλον, εἰκότως καλλίστους νόμους τιθεσθε· ἐν δὲ ταῖς ἐκκλησίαις καὶ τοῖς δικαστηρίοις

[1] καὶ πανταχῇ [2] παρεκκλίνειν [3] * αὐτοῦ [4] ἀδίκου, οὔτε χάριτος, οὔτ'

tiana se fucum fecisse judicibus Ciceronem gloriatum scribit Plutarchus. Wolf.

Πανταχῇ] Καὶ πανταχῇ conjecit Stephanus et Cl. Marklandus. Ita MSS. Coisl. et Reg. 1. 2. Taylor.

Παρακλίνειν] Παρεκκλίνειν. Wolf. Ita in iisdem libris scribitur. Et utraque emendatio proba est. Taylor.

Διισχυρίζεσθαι] Potius ἰσχυρίζεσθαι, niti, *fretum esse*. Wolf.

Αὐτὸν] M. αὐτοῦ. Auger.

Μελλόντων μὲν κρίνεσθαι] Quia sequitur γεγονότων δὲ, malim γίνεσθαι. Wolf. Satis quidem bene, cum Coisl. et Reg. 1. γίνεσθαι, atque alter Regius γίγνεσθαι habeat. Taylor.

λέ. Ἀδίκου] Plenius et melius Reg. 2. οὔτε κέρδους ἕνεκ' ἀδίκου, οὔτε χάριτος, οὔτ' ἔχθρας. Idem.

πολλάκις ἀφέμενοι τῶν εἰς αὐτὸ τὸ πρᾶγμα λόγων, ὑπὸ τῆς ἀπάτης καὶ τῶν ἀλαζονευμάτων ὑπάγεσθε· καὶ πάντων ἀδικώτατον ἔθος εἰς τοὺς ἀγῶνας παραδέχεσθε. ἐᾶτε γὰρ τοὺς ἀπολογουμένους ἀντικατηγορεῖν τῶν κατηγορούντων. ἐπειδὰν δ' ἀποσπασθῆτ' ἀπὸ τῆς ἀπολογίας, καὶ τὰς ψυχὰς ἐφ' ἑτέρων γένησθε, εἰς λήθην ἐκπεσόντες τῆς κατηγορίας, ἐξέρχεσθ' ἐκ τῶν δικαστηρίων, οὐδὲ παρ' ἑτέρου δίκην εἰληφότες· οὔτε παρὰ τοῦ κατηγόρου, — ψῆφος γὰρ κατ' αὐτοῦ οὐ δίδοται —, οὔτε παρὰ τοῦ ἀπολογουμένου. ταῖς γὰρ ἀλλοτρίαις αἰτίαις ἀποτριψάμενος τὰ ὑπάρχοντα αὐτῷ ἐγκλήματα, ἐκπέφευγεν ἐκ τοῦ δικαστηρίου· οἱ δὲ νόμοι καταλύονται, καὶ ἡ δημοκρατία διαφθείρεται, καὶ τὸ ἔθος ἐπὶ πολὺ προβαίνει. εὐχερῶς γὰρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προσδέχεσθε. ἀλλ' οὐ Λακεδαιμόνιοι· καλὸν δ' ἐστὶ καὶ τὰς ξενικὰς ἀρετὰς μιμεῖσθαι. δημηγοροῦντος γάρ τινος ἐν τῇ τῶν 77
Λακεδαιμονίων ἐκκλησίᾳ, ἀνδρὸς βεβιωκότος μὲν αἰσχρῶς, λέγειν δ' εἰς ὑπερβολὴν δυνατοῦ, καὶ τῶν Λακεδαιμονίων, ὥς φασι, κατὰ τὴν ἐκείνου γνώμην ψηφίζεσθαι μελλόντων, παρελθών τις τῶν γερόντων, οὓς ἐκεῖνοι καὶ αἰσχύνονται καὶ δεδίασι, καὶ τὴν τῆς ἡλικίας αὐτῶν ἐπωνυμίαν ἀρχὴν μεγίστην εἶναι νομίζουσι, καθιστᾶσι δ' αὐτοὺς ἐκ τῶν ἐκ παιδὸς εἰς γῆρας σωφρόνων· τούτων εἷς, ὡς λέγεται, παρελθὼν ἰσχυρῶς ἐπέπληξε τοῖς Λακεδαιμονίοις, καί τι τοιοῦτο κατ' αὐτῶν ἐβλασφήμησεν, ὡς οὐ πολὺν χρόνον τὴν Σπάρτην ἀπόρθητον οἰκήσουσι, τοιούτοις ἐν ταῖς ἐκκλησίαις συμβούλοις χρώμενοι. ἅμα δὲ [1] παρακελεύσας ἄλλον

[1] παρακαλέσας

Ἀπὸ τῆς ἀπολογίας] Ἦν δεῖ ποιήσασθαι τὸν φεύγοντα. Wolf.

Τὰς ψυχὰς ἐ. ἑτέραν γ.] Ferri hoc potest. Sed et legi queat, ταῖς ψυχαῖς ἐφ' ἑτέροις γένησθε. Idem.

Τινος] Plutarchus, qui hanc historiolam narrat, Πολιτ. Παραγγελμ. pag. 388. Edit. Basil. 1574. Lacedæmonium hunc, Demosthenem vocat. Ἐν δὲ Λακεδαίμονι τινὸς Δημοσθένους, ἀνδρὸς ἀκολάστου, γνώμην εἰπόντος ἀρμόζουσαν, ἀπέρριψεν ὁ δῆμος· οἱ δὲ Ἔφοροι κληράσαντες ἕνα τῶν γερόντων, ἐκέλευσαν εἰπεῖν τὸν αὐτὸν λόγον ἐκεῖνον, ὥσπερ εἰς καθαρὸν ἀγγεῖον ἐκ ῥυπαροῦ μετακεράσαντες, ὅπως εὐπρόσδεκτος γένηται τοῖς πολλοῖς. Et hanc historiam habes apud Gellium XVIII. 3. Taylor.

Καὶ τὴν —] *Et statuunt summum magistratum esse cognomen ipsorum ætatis*, i. e. ita nominari ex appellatione ipsorum ætatis, nempe γερουσίαν. Auger.

Ἐπωνυμίαν ἀρχὴν] Γερουσίαν appellant Gellius XVIII. 3. Aristotel. Polit. II. Xenoph. in Lacedæm. Rep. et Plutarch. in Lycurgo. Brodæus.

Τούτων εἷς] Repetitio ob longiorem, εἴτε παρεμβολὴν, εἴτε παρένθεσιν. Wolf.

Παρακελεύσας] Πότερον, παρακαλέσας,

τινὰ τῶν Λακεδαιμονίων ἄνδρα, λέγειν μὲν οὐκ εὐφυᾶ, τὰ δὲ κατὰ πόλεμον λαμπρὸν, καὶ πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέροντα, ἐπέταξεν αὐτῷ τὰς αὐτὰς εἰπεῖν γνώμας οὕτως ὅπως ἂν δύνηται, ἃς εἶπεν ὁ πρότερος ῥήτωρ· ἵν', ἔφη, εἰ Λακεδαιμόνιοι ἀνδρὸς ἀγαθοῦ φθεγξαμένου ψηφίσωνται, τὰς δὲ τῶν [1]ἀποδεδειλιακότων καὶ 26.1
ποιηρῶν ἀνθρώπων φωνὰς μηδὲ τοῖς ὠσὶ προσδέχωνται. ταῦθ' ὁ γέρων, ὁ ἐκ παιδὸς σεσωφρονηκὼς, παρήνεσε τοῖς ἑαυτοῦ πολίταις. ταχὺ γὰρ ἂν Τίμαρχον ἢ τὸν κίναιδον Δημοσθένην εἴασε πολιτεύεσθαι.

λς'. Ἵνα δὲ μὴ δοκῶ Λακεδαιμονίους θεραπεύειν, καὶ τῶν ἡμετέρων προγόνων μνησθήσομαι. οὕτω γὰρ ἦσαν πρὸς 5
78 τὰς αἰσχύνας χαλεποὶ, καὶ περὶ πλείστου τῶν τέκνων τὴν σωφροσύνην ἐποιοῦντο, ὥστ' ἀνὴρ εἷς τῶν πολιτῶν, εὑρὼν τὴν ἑαυτοῦ θυγατέρα διεφθαρμένην, καὶ τὴν ἡλικίαν οὐ καλῶς διαφυλάξασαν μέχρι γάμου, ἐγκατῳκοδόμησεν αὐτὴν μεθ' ἵππου εἰς ἔρημον οἰκίαν, ὑφ' οὗ προδήλως ἔμελλεν ἀπολεῖσθαι διὰ λιμὸν συγκαθειργμένη· καὶ ἔτι καὶ νῦν τῆς οἰκίας ταύτης ἔστηκε τὰ οἰκόπεδα ἐν τῷ ὑμετέρῳ ἄστει, 10
καὶ ὁ τόπος οὗτος καλεῖται Παρ' ἵππον καὶ κόρην. ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν ἐνδοξότατος, γέγραφεν ἀρ-

[1] ὑποδεδειλιακότων.

ὡς ἐν τοῖς ἔμπροσθεν εἶπε, [sc. §. ς'. med.] παρακαλεῖ ἐπὶ τὸ βῆμα, καὶ προτρέπει δημηγορεῖν. Stephanus.

Ὑποδεδειλιακότων] Lego ἀποδεδειλιακότων sc. ἐν ταῖς μάχαις, καὶ οὐχ ὑπομεινάντων τοὺς πολεμίους. Wolf.

Ταχὺ γὰρ ἂν Τίμαρχον] Istud ἂν restituit cum Wolfio H. Stephanus. a Codd. vero abest. Taylor. Scribendum videtur τάχα, forsitan et ἐάσαι. Εἰρωνεύει hoc in loco Orator. *Hæc*, inquit, *severus ille senex suis civibus. Forte enim passus esset Timarchum vel cinædum Demosthenem rempublicam capessere.* Jurin.

λς'. Οὕτω —— καὶ π. πλείστου] Τὸ οὕτω etiam ad περὶ πλείστου pertinet. οὕτω περὶ πλείστου ἐποιοῦντο, ut Cicero *in tam optima causa* dixit. Wolf.

Ἀφ' οὗ] M. ὑφ' οὗ s. ἵππου. Idem. Correxit ὑφ' οὗ Wolfius. Recteque. Ita etiam MSS. Coisl. et Reg. 1. Taylor.

Ἕστηκε τὰ οἰκόπεδα] Nemo scil. aream illam ædificare voluit, ut ominosam. Wolf.

Παρ' Ἵππον καὶ Κόρην] Iis quæ habet σχοῖνος ad hunc locum adjunge illa Suidæ, Πάρ' ἵππον καὶ Κόρη, (emendatius Photius MS. Παρ' ἵππον καὶ κόρην) τόπος Ἀθήνησι, οὕτω καλούμενος· ἐπειδή τις τῶν γένους τῶν Κοδριδῶν, Ἱππομανὴς τοὔνομα, ὃς καὶ τελευταῖος ἐβασίλευσε, τὴν θυγατέρα καθείρξεν ἐν χωρίῳ τινὶ μεθ' ἵππου μαινομένου, διότι λαθοῦσα μίγη τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο. καὶ ὁ ἵππος τῇ κόρῃ βίαν ἐποιήσατο, ἀφ' οὗ Πάριππος καὶ Κόρη ὁ τόπος, ἐν ᾧ τὸ πάθος ὑπέστη, καλεῖται. Hæc ille : saniora tamen multo verba, (quæ idem produxit in Ἱππομένης) Nicolai Damasceni in Excerpt. Constantin. Porphyr. Ἱππομένης Ἀθηναίων ἄρχων, ὃς ἐξέπεσε τῆς ἀρχῆς δι' αἰτίαν τοιάνδε. Ἦν αὐτῷ θυγάτηρ, ἥν τινα τῶν ἀστῶν τινὸς αἰσχύναντος λάθρα, ὑπ' ὀργῆς καθεῖξεν εἰς οἴκημα δόσας σὺν ἵππῳ, ᾗ τροφὴν εὐδετέρῳ εἰσέπεμπεν. πτισθεὶς οὖν λιμῷ ὁ ἵππος, ἐφορμήσας τῇ παιδὶ ἀνήλωσέ τε αὐτὴν, καὶ αὐτὸς ὕστερον ἀπέθανε. μετὰ ταῦτα ἐπισκαφείσης αὐτοῦ τῆς οἰκήσεως, ἀπ' ἐκείνου ὁ χῶρος ἐκαλεῖτο Ἵππου καὶ Κόρης. Taylor.

Ὁ δὲ Σόλων κ. τ. λ.] Hunc locum ita

χαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν εὐκοσμίας. τὴν γὰρ γυναῖκα, ἐφ' ᾗ ἂν ἁλῷ μοιχὸς, οὐκ ἐᾷ κοσμεῖσθαι, οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι, ἵνα μὴ τοῖς ἀναμαρτήτους τῶν γυναικῶν ἀναμιγνυμένη διαφθείρῃ· ἐὰν δ' εἰσίῃ ἢ
15 κοσμῆται, τὸν ἐντυχόντα κελεύει καταῤῥηγνῦναι τὰ ἱμάτια, καὶ τὸν κόσμον ἀφαιρεῖσθαι, καὶ τύπτειν, εἰργόμενον θανάτου, καὶ τοῦ ἀνάπηρον ποιῆσαι· ἀτιμῶν τὴν τοιαύτην γυναῖκα, καὶ τὸν βίον ἀβίωτον αὐτῇ παρασκευάζων. καὶ τοὺς προαγωγοὺς γράφεσθαι κελεύει, κἂν ἁλῶσι, θανάτῳ ζημιοῦν, ὅτι τῶν ἑξαμαρτάνειν ἐπιθυμούντων, ὀκνούντων καὶ αἰσχυνομένων ἀλλήλοις ἐντυγχάνειν, αὐτοὶ τὴν αὐτῶν ἀναί-
20 δειαν παρασχόντες ἐπὶ μισθῷ, τὸ πρᾶγμα εἰς διάπειραν καὶ λόγον κατέστησαν.

λζ'. Ἐπειθ' οἱ μὲν πατέρες [1]ἡμῶν οὕτω περὶ τῶν αἰσχρῶν καὶ καλῶν διεγίνωσκον· ὑμεῖς δὲ Τίμαρχον ὄντα τοῖς αἰσχίστοις ἐπιτηδεύμασιν ἔνοχον ἀφήσετε; τὸν ἄνδρα μὲν καὶ ἄῤῥενα τὸ σῶμα, γυναικεῖα δὲ ἁμαρτήματα ἡμαρ- 79
τηκότα. τίς οὖν ὑμῶν γυναῖκα λαβὼν ἀδικοῦσαν τιμωρήσεται; ἢ τίς οὐκ ἀπαίδευτος εἶναι δόξει, τῇ μὲν κατὰ
25 φύσιν ἁμαρτανούσῃ χαλεπαίνων, τῷ δὲ παρὰ φύσιν ἑαυτὸν ὑβρίσαντι συμβούλῳ χρώμενος; τίνα δ' ἔχων ἕκαστος ὑμῶν γνώμην ἐπάνεισιν οἴκαδε ἐκ τοῦ δικαστηρίου; οὔτε γὰρ ὁ κρινόμενος ἀφανὴς, ἀλλὰ γνώριμος· οὔθ' ὁ νόμος ὁ περὶ τῆς τῶν ῥητόρων δοκιμασίας φαῦλος, ἀλλὰ κάλλιστος· τό, τ' ἔρεσθαι τοῖς παισὶ καὶ τοῖς μειρακίοις τοὺς ἑαυτῶν οἰκείους ὅπως τὸ πρᾶγμα κέκριται, πρόχειρον. τί οὖν δὴ λέξετε οἱ
30 τῆς ψήφου νυνὶ γεγονότες κύριοι, ὅταν οἱ ὑμέτεροι παῖδες ὑμᾶς ἔρωνται, εἰ κατεδικάσατε ἢ ἀπεψηφίσασθε; οὐχ ἅμα Τίμαρχον ἀπολῦσαι ὁμολογήσετε, καὶ τὴν κοινὴν παιδείαν [2]ἀνατρέψετε; τί δ' ὄφελος παιδαγωγοὺς τρέφειν, ἢ παιδοτρίβας καὶ διδασκάλους τοῖς παισὶν ἐφιστάναι,

[1] ὑμῶν

[2] * ἀνατρέψαι

laudat Suidas v. Ἀρχαῖον. Ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν μάλιστα εὐδοκιμῶν, γέγραφεν ἀρχαίως. IDEM.

Εἰργόμενον θανάτου] *Qui eam a capitali supplicio vindicare auderet.* BRODÆUS. Rectius Wolfius, ἄνευ φόνου καὶ πηρώσεως. Et eodem animo satis belle interpretatur. TAYLOR.

Τὸ πρᾶγμα] Nempe *congressionem.* AUGER.

Ἀνατρέψετε] Lego ἀνατρέψαι cum Reiskio. IDEM.

ὅταν οἱ τὴν τῶν νόμων παρακαταθήκην ἔχοντες, πρὸς τὰς αἰσχύνας κατακάμπτωνται; θαυμάζω δ' ὑμῶν, ὦ Ἀθηναῖοι, κἀκεῖνο, εἰ τοὺς μὲν πορνοβοσκοὺς μισεῖτε, τοὺς δ' ἑκόντας πεπορνευμένους ἀφήσετε. καὶ, ὡς ἔοικεν, ὁ αὐτὸς 35
οὗτος ἀνὴρ ἱερωσύνην μὲν οὐθενὸς θεῶν κληρώσεται, ὡς οὐκ ὢν ἐκ τῶν νόμων καθαρὸς τὸ σῶμα· [1]γράφει δ' ἐν τοῖς ψηφίσμασιν εὐχὰς ὑπὲρ τῆς πόλεως ταῖς Σεμναῖς Θεαῖς. εἶτα τί θαυμάζομεν τὴν κοινὴν ἀπραξίαν, τοιούτων ῥητόρων ἐπὶ τὰς τοῦ δήμου γνώμας ἐπιγραφομένων, καὶ τὸν
30 αἰσχρῶς οἴκοι βεβιωκότα ἔξω τῆς πόλεως πρεσβευτὴν πέμψομεν, καὶ τούτῳ περὶ τῶν μεγίστων διαπι- 40
στεύσομεν; τί δ' οὐκ ἂν ἀπόδοιτο, ὁ τὴν τοῦ σώματος ὕβριν πεπρακώς; τίνα δ' ἂν οὗτος ἐλεήσειεν, ὁ αὑτὸν οὐκ ἐλεήσας; τίνι δ' ὑμῶν οὐκ εὔγνωστός ἐστιν ἡ Τιμάρχου βδελυρία; ὥσπερ γὰρ τοὺς γυμναζομένους, κἂν μὴ παρῶμεν ἐν τοῖς γυμνασίοις, εἰς τὰς εὐεξίας αὐτῶν ἀποβλέποντες, γινώσκομεν· οὕτω τοὺς πεπορνευμένους, κἂν
μὴ παρῶμεν τοῖς αὐτῶν ἔργοις, ἐκ τῆς ἀναιδείας καὶ τοῦ 27.1
θράσους, καὶ τῶν ἐπιτηδευμάτων γινώσκομεν. ὁ γὰρ ἐπὶ τῶν μεγίστων τοὺς νόμους καὶ τὴν σωφροσύνην ὑπεριδὼν, ἔχει τινὰ ἕξιν τῆς ψυχῆς, ἣ διάδηλος ἐκ τῆς ἀκοσμίας τοῦ τρόπου γίνεται. πλείστους δ' ἂν εὕροιτ' ἐκ τῶν τοιούτων ἀνθρώπων πόλεις [2]ἀνατετραφότας, καὶ ταῖς μεγίσταις συμφοραῖς αὐτοὺς περιπεπτωκότας. μὴ γὰρ 5
οἴεσθε, ὦ Ἀθηναῖοι, τὰς τῶν [3]ἀδικημάτων ἀρχὰς ἀπὸ

[1] γράφει [2] ἀνατετροφότας [3] ἀτυχημάτων

Πρὸς τὰς αἰσχύνας κατακάμπτωνται] Wolfius, *probris ad misericordiam flectentur*: Minus commode. Rectius, *in probri crimine misericordes fuerint*. Jurin.

Γράφει] Satius multo cum Bern. γράψει. Taylor.

Τὴν κοινὴν ἀπραξίαν] Τὸ μηδὲν ὑπὸ τῆς πόλεως πράττεσθαι τῶν δεόντων. εὐφήμως ἀπραξίαν εἶπε τὴν κακοπραγίαν καὶ δυστυχίαν. Wolf.

Ὥσπερ γὰρ τοὺς γυμναζομένους] Hanc similitudinem Cicero ad artem dicendi transtulit. Idem.

Ἡ διάδηλος] Placet ἣ *quæ*. Brodæus. Coisl. cum Brodæo facit. Nos edidimus, uti Stephano Wolfioque magis placet. Quanquam hic cum Coisl. et Brodæo locum interpretetur. Taylor.

Τὰς τῶν ἀδικημάτων] Sententia est, causas scelerum non esse diis imputandas. Etsi Euripides non dubitavit docere, τοὺς θεοὺς φύειν τὰς αἰτίας τῆς ἀπωλείας τοῖς βροτοῖς, si quos funditus eversos velint. Cur autem vellent, nisi illi suis flagitiis et sceleribus pœnam commeruissent? Non opus est mutare in τῶν ἀτυχημάτων, quanquam τὰ ἀδικήματα gignunt τὰ ἀτυχήματα. Wolf. Ita hunc locum laudat Theo Progymnasm. cap. 7. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς τῶν ἀτυχημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλ' ἀπ' ἀνθρώπων ἀσελγείας γίνεσθαι. *Nolite existimare, Athenienses, miseriarum initia a Diis, sed ab hominum potius improbitate provenire.* Atque hanc lectionem

θεῶν, ἀλλ' οὐχ ὑπ' ἀνθρώπων ἀσελγείας γίνεσθαι· μηδὲ τοὺς ἠσεβηκότας, καθάπερ ἐν ταῖς τραγῳδίαις, Ποινὰς ἐλαύνειν καὶ κολάζειν δασὶν ἡμμέναις· ἀλλ' αἱ προσωτεῖς τοῦ σώματος ἡδοναὶ, καὶ τὸ μηδὲν ἱκανὸν ἡγεῖσθαι, ταῦτα πληροῖ τὰ ληστήρια, ταῦτ' εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει, ταῦτά ἐστιν ἑκάστῳ Ποινὴ, ταῦτα παρακε-
10 λεύεται τοῖς νέοις σφάττειν τοὺς πολίτας, ὑπηρετεῖν τοῖς τυράννοις, συγκαταλύειν τὸν δῆμον. οὐ γὰρ τὴν αἰσχύνην οὐδ' ἃ πείσονται [1]ληφθέντες λογίζονται, ἀλλ' 81
ἐφ' οἷς κατορθώσαντες εὐφρανθήσονται, τούτοις κεκήληνται.

λή. Ἐξαιρεῖτ' οὖν, ὦ Ἀθηναῖοι, τὰς τοιαύτας φύσεις, καὶ τὰ τῶν νέων ζηλώματα ἐπ' ἀρετὴν προτρέψασθε. ἐν δὲ εὖ ἐπίστασθε,— καί μοι σφόδρα τὸ μέλλον ῥηθήσεσθαι διαμνημονεύετε —, εἰ μὲν δώσει τῶν ἐπιτηδευμάτων
15 Τίμαρχος δίκην, ἀρχὴν εὐκοσμίας ἐν τῇ πόλει [2]κατασκευάσετε· εἰ δ' ἀποφεύξεται, κρείττων ἦν ὁ ἀγὼν μὴ γεγενημένος. πρὶν μὲν γὰρ εἰς κρίσιν Τίμαρχον κατα-

[1] [ληφθέντες]

[2] κατασκευάζετε

potius amplector. TAYLOR. L. ἀτυχημάτων. AUGER.

Ποινὰς] Τὰς Ἐριννύας sic dicit. Vide Eumenidas Æschyli, et Euripidis Orestem. Hunc locum transtulit Cicero in 1mo. libro [§. 14.] de Legg. his verbis: *Itaque pœnas luunt non tam judiciis (quæ quondam nusquam erant, hodie multifariam nulla sunt, ubi sunt tamen, persæpe falsa sunt) quam conscientia: ut eos agitent, insectenturque Furiæ, non ardentibus tædis, sicut in fabulis, sed angore conscientiæ, fraudisque cruciatu.* Item in oratione in L. Pisonem [§. 20.] *Nolite putare, P. C. ut in scena videtis, homines conceleratos impulsu deorum terreri Furiarum tædis ardentibus. Sua quemque fraus, suum facinus, suum scelus, sua audacia de sanitate ac mente deturbat. Hæ sunt impiorum Furiæ, hæ flammæ, hæ faces.* WOLF.

Ἐπακτροκέλητα] Πλοῖον ληστικὸν interpretatur Suidas. Conjungit Orator facinora et supplicia, tanquam sive antecedentia et consequentia, sive causas et effectus. IDEM. Ammonius: Κέλης καὶ Ἐπακτροκέλης διαφέρει. Κέλης μὲν γάρ ἐστι πλοιάριόν τι μικρόν· Ἐπακτροκέλης δὲ κακοῦργον καὶ ληστικὸν σκάφος, μεταξὺ ἐπακτρίδος καὶ κέλητος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, Ἀλλ' αἱ προσωτεῖς τοῦ σώματος ἡδοναὶ καὶ τὸ μηδὲν ἱκανὸν εἶναι Valcken.] ταῦτα πληροῖ τὰ ληστήρια, ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει. Quod ait Ammonius medium esse inter ἐπακτρίδα, navem sc. onerariam, et κέλητα, sive navigium pernicissimum, id non de magnitudine intelligas, verum quod *utrique* usui, tam velocitati quam prædæ ferendæ consulat. Ita fere Etym. M. Ἐπακτροκέλης. συνετίθη ἔκ τε κέλητος καὶ ἐπακτρίδος. πλοῖα δὲ ἦν βραχέα ληστικὰ, ἡ μὲν ἐπακτρὶς, ἐκ τοῦ κατάγειν τὰ συλώμενα· ὁ δὲ κέλης εἰς τὸ διώκειν καὶ φεύγειν· κουφότατος γὰρ ἦν. πρῶτος δὲ δοκεῖ εὑρηκέναι τὴν ἐπακτρίδα Μίνως. Confer et Harpocrationem. TAYLOR.

Τούτοις κέκληνται] Lego κεκήληνται, non a καλέω, sed a κηλέω, τὸ δελεάζω καὶ εὐφραίνω. WOLF. Ita Stephanus quoque. At MSS. Coisl. et Reg. 2. vitiosam Aldi lectionem tuentur. TAYLOR.

λή. Κατασκευάζετε] Κατασκευάσετε. WOLF. Recte. Ita etiam Scaliger ad oram exemplaris correxerat. Ita quoque MSS. Coisl. et Regg. 1. 2. TAYLOR.

Κρείττων ἦν] Annon potius, κρείττων ἂν ἦν; IDEM.

στῆναι, φόβον τισὶ παρεῖχεν ὁ νόμος, καὶ τὸ τῶν δικα-
στηρίων ὄνομα· εἰ δ' ὁ πρωτεύων βδελυρία καὶ γνωρι-
μώτατος, εἰσελθὼν περιγενήσεται, πολλοὺς ἁμαρτάνειν
ἐπαρεῖ, καὶ τελευτῶν οὐχ ὁ λόγος, ἀλλ' ὁ καιρὸς ὑμᾶς
ἐξοργιεῖ. μὴ οὖν εἰς ἀθρόους, ἀλλ' εἰς ἕνα ἀποσκήψατε, 20
καὶ τὴν παρασκευὴν καὶ τοὺς συνηγόρους αὐτῶν παρα-
τηρεῖτε· ὧν οὐδενὸς ἐγὼ ὀνομαστὶ μνησθήσομαι, ἵνα μὴ
ταύτην ἀρχὴν τοῦ λόγου ποιήσωνται, ὡς οὐκ ἂν παρῆλθον,
εἰ μή τις αὐτῶν ὀνομαστὶ ἐμνήσθη. ἀλλ' ἐκεῖνο ποιήσω,
ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν,
καὶ τὰ σώματα γνώριμα καταστήσω. ἔσται δ' αὐτὸς
ἑαυτῷ ἕκαστος αἴτιος, ἐὰν δεῦρο ἀναβῇ καὶ ἀναισχυντῇ.
τούτῳ γὰρ πάρεισιν ἐκ τριῶν εἰδῶν συνήγοροι· οἱ μέν, ταῖς 25
καθ' ἡμέραν ὁδοιπόραις ἀνηλωκότες τὰς πατρῴας οὐσίας·
οἱ δέ, ταῖς ἡλικίαις καὶ τοῖς ἑαυτῶν σώμασιν οὐ καλῶς
82 κεχρημένοι, καὶ δεδιότες οὐ περὶ Τιμάρχου, ἀλλὰ περὶ
ἑαυτῶν, καὶ τῶν ἐπιτηδευμάτων, μή ποτε εἰς κρίσιν κα-
ταστῶσιν· ἕτεροι δ', ἐκ τῶν ἀκολάστων, καὶ [1] τῶν τοιού-
τοις κεχρημένων ἀφθόνως, ἵνα ταῖς βοηθείαις αὐτῶν πι-
στεύοντες ῥᾴον τινες ἐξαμαρτάνωσιν. ὧν πρὶν τῆς συνη- 30
γορίας ἀκοῦσαι, τοὺς βίους ἀναμιμνήσκεσθε. καὶ τοὺς
μὲν εἰς τὰ σώματα ἡμαρτηκότας μὴ ὑμῖν ἐνοχλεῖν, ἀλλὰ
παύσασθαι δημηγοροῦντας, κελεύετε,— οὐδὲ γὰρ ὁ νόμος
τοὺς ἰδιωτεύοντας, ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει —·
τοὺς δὲ τὰ πατρῷα κατεδηδοκότας ἐργάζεσθαι καὶ ἑτέ-
ρωθεν κτᾶσθαι τὸν βίον κελεύετε· τοὺς δὲ τῶν νέων, ὅσοι
ῥᾳδίως ἁλίσκονται, θηρευτὰς ὄντας, εἰς τοὺς ξένους καὶ
τοὺς μετοίκους τρέπεσθαι κελεύετε, ἵνα μήτ' ἐκεῖνοι τῆς 35
προαιρέσεως ἀποστερῶνται, μήθ' ὑμεῖς βλάπτησθε.

λθ'. Τὰ μὲν οὖν παρ' ἐμοῦ δίκαια πάντα ἀπειλήφατε· ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου.

[1] τῶν τοῖς τοιούτοις

Τοὺς συνηγόρους αὐτῶν] Τῶν ἑταιρικότων. Sed malim αὐτοῦ, sc. τοῦ Τιμάρχου. Wolf. Quocum facit Augerus.

Καὶ τὰ σώματα] Αὐτοὺς τοὺς ἀνθρώπους. Wolf.

Οὐδὲ γὰρ ὁ νόμος τοὺς ἰδιωτεύοντας, ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει] *Nec enim lex in homines vitam privatam agentes, sed in eos qui publicis negotiis se immiscent, inquirit.* Wolfius, *privatos* et *magistratus*, minus ad mentem Oratoris. Jurin.

νῦν μὲν οὖν ὑμεῖς ἐστὲ τῶν ἐμῶν λόγων κριταὶ, αὐτίκα δ' ὑμέτερος ἐγὼ θεατής· ἐν γὰρ ταῖς ὑμετέραις γνώμαις ἡ πρᾶξις καταλείπεται. [1] εἰ οὖν βουλήσεσθε, τὰ δίκαια
10 καὶ τὰ συμφέροντα ὑμῶν ποιησάντων, φιλοτιμότερον ἡμεῖς ἕξομεν τοὺς παρανομοῦντας ἐξετάζειν.

[1] [εἰ --- ἐξετάζειν.]

λθ'. Ὑμῶν ποιησάντων] Ἀντὶ τοῦ, ποιήσαντες, ἢ ὅταν ποιήσητε. WOLF.

Φιλοτιμότερον — ἕξομεν] Προθυμηθησόμεθα ἐξετάζειν. IDEM. Sed monet Scholiastes hoc ultimum comma, εἰ οὖν βουλήσεσθε —— ἐξετάζειν, in antiquo exemplari non exstare, et recto abesse posse judico. TAYLOR.

ΑΙΣΧΙΝΟΥ

Ο

ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

ΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ ΛΟΓΟΥ ΤΟΥ ΑΙΣΧΙΝΟΥ.

Pag. ed. H. Steph. — Pag. ed. Tayl.

28 Ἀθηναῖοι Φιλίππῳ πολεμήσαντες, ὕστερον ἐπείσθησαν ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος, εἰρήνην πρὸς αὐτὸν ποιήσασθαι. καὶ ἔπεμψαν δύο πρεσβείας· τὴν μὲν πρεσβεύουσαν περὶ τῆς εἰρήνης, τὴν δευτέραν δὲ, ἀποληφομένην τοὺς ὅρκους. ἐν αἷς ἀμφοτέραις ἦσαν πρεσβευταὶ Δημοσθένης καὶ Αἰσχίνης. ὡς οὖν ἐπανῆκον ἐκ τῆς ὑστέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, ἐγράψαντο παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε καὶ Τίμαρχος. τὸν μὲν οὖν Τίμαρχον πρὸ τοῦ τῆς παραπρεσβείας ἀγῶνος, γραψάμενος Αἰσχίνης ἑταιρήσεως, ἠτίμωσε· πρὸς δὲ Δημοσθένην ἀπολογεῖται. ἔνιοι μὲν οὖν φασὶ γεγραφέναι μὲν τοὺς λόγους ἀμφοτέρους, οὐ μέν τοι γε εἰρῆσθαι· οἱ δὲ καὶ εἰρῆσθαί φασι, καὶ κεκινδυνευκέναι τὸν Αἰσχίνην τριάκοντα ψήφοις ἁλῶναι, ὅμως μέν τοι ἀποφυγεῖν, Εὐβούλου αὐτῷ τοῦ δημαγωγοῦ συναγωνισαμένου, οὐ μέν τοι παρὰ πᾶσιν ἀπογνωσθῆναι αὐτοῦ τὸ Φιλιππίζειν, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ παραδηλοῖ, καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ Στεφάνου. Ἐν μὲν οὖν τῷ πρώτῳ προοιμίῳ κατ' ἀρχὴν εἰς εὔνοιαν παρακαλεῖ τοὺς δικαστὰς, τὸν ἀντίδικον καὶ τὴν κατηγορίαν διαβάλλων, καὶ τοῦ κινδύνου τὸ μέγεθος, καὶ ὡς ψεῦδος συκοφαντοῦντα. ἐν δὲ τῷ δευτέρῳ νοήματι, πράγμα εἰρημένον ἐν τῇ κατηγορίᾳ διαβάλλει, καὶ πιστοῦται ἀξιοπίστως, ὡς καὶ αὐτῶν εἰδότων ὅτι ψεῦδός ἐστι. καὶ τοῦτο δὲ εἰς διαβολὴν τοῦ ἀντιδίκου. καὶ τὰ ἑξῆς ὁμοίως εἰς εὔνοιαν ἑαυτοῦ, καὶ διαβολὴν τοῦ ἀντιδίκου.

237

238

Ἀθηναῖοι] Copiosius hæc exponuntur in Orationis Demosthenicæ de falsa legatione argumento. Wolf.

Δύο πρεσβείας] Apud Demosthenem fit mentio *trium*: sed tertia nihil facit, aut certe parum, ad hanc causam. Idem.

Ἑταιρήσεως] *Prostitutæ pudicitiæ.* Ἑταίρα *Scortum.* Ἑταιρεῖν dicitur vir, *qui muliebria patitur.* Nec enim ita religiosi fuerunt Athenienses (id quod aliquando falso putavi) ut quenquam propter simplex stuprum, aut etiam adulterium, ignominia notarent. Idem.

Γεγραφέναι ——— εἰρῆσθαι] Observa passivum cum activo conjunctum, ad quorum utrumque τοὺς λόγους pertinet, ad γεγραφέναι a tergo, ad εἰρῆσθαι a fronte: hoc modo, ἀμφοτέρους, δηλονότι τόν τε Δημοσθένην, καὶ τὸν Αἰσχίνην, γεγραφέναι τοὺς λόγους: deinde τοὺς λόγους εἰρῆσθαι, δηλονότι ὑπ' ἀμφοτέρων. Sed siquis mavult, generis enallagen esse dicat, εἰρῆσθαι pro εἰρηκέναι. Idem. Magna dedita opera nihil agit Noster. Legendum, γεγραφῆναι μὲν τοὺς λόγους ἀμφοτέρους, οὐ μέντοι γε εἰρῆσθαι. Taylor.

Καὶ κεκινδυνευκέναι] *In periculo fuisse ne triginta calculis aut sententiis damnaretur.* Vel, *triginta suffragiis periclitatum ne damnaretur.* Quæ sic intelligenda sunt: Cum quingenti judicarent, CCXX. condemnarunt, CCLXXX. absolverunt. Si igitur XXX. adhuc ad XX. [f. CCXX.] accessissent, adæquasset urna condemnationis, ac vicisset Demosthenes. Quanquam puto adæquationem suffragiorum fuisse reo potius quam accusatori, ut est apud Isocratem περὶ ἀντιδόσεως. Fortassis igitur damnarunt CCXXI. absolverunt CCLXXIX. In Demosthenicæ Orationis argumento [*quod tamen ibi reperire nequeo*] modus loquendi clarior est, τὸν Αἰσχίνην παρὰ τριάκοντα μόνον ψήφους ἀποφυγεῖν. Asconius Pedianus Ciceronem et Cœlium obtinuisse scribit, ut M. Saufeius una sententia absolveretur: διαπράξασθαι τὸν Σαυφεῖον παρὰ μίαν ψῆφον ἀποφυγεῖν. Wolf.

Τοῦ δημαγωγοῦ] V. *tribunum* vertit. Idem.

Τοῦ κινδύνου τὸ μέγεθος] S. διαβάλλων. Nisi aut omissum sit, aut extrinsecus assumendum aliud participium. Idem. Hoc rectum: Et sane δεικνύων feliciter subministrat Cod. Bern. Taylor.

Καὶ ὡς ψεῦδος συκοφαντοῦντα] Malim ψευδῶς συκοφαντεῖται, conquerens se falso in crimen vocari. συκοφαντοῦντα remotum est a κατήγορον, ac proinde durum: συκοφαντεῖν ψεῦδος, *calumniari mendacium*, aut etiam subintellecto κατὰ, non multo mollius. Wolf.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ

ΠΕΡΙ ΤΗΣ

ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

ΛΟΓΟΣ.

---

239 ά. ΔΕΟΜΑΙ ὑμῶν, ὦ Ἀθηναῖοι, ἐθελῆσαι μετ' εὐνοίας 28.1
ἀκοῦσαί μου λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος
τοῦ κινδύνου, καὶ τὸ πλῆθος τῶν αἰτιῶν, πρὸς ἃς ἀπολο-
γήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς
τοῦ κατηγόρου, καὶ τὴν ὠμότητα· ὃς ἐτόλμησε παρα-
κελεύσασθαι πρὸς ἄνδρας, ὀμωμοκότας τῶν ἀντιδίκων 5
ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι, τὴν τοῦ κινδυνεύοντος φωνὴν
μὴ ὑπομένειν. καὶ ταῦτ' εἶπεν, οὐ δι' ὀργήν, — οὐδεὶς γὰρ
τῶν ψευδομένων τοῖς ἀδίκως διαβαλλομένοις ὀργίζεται,
οὐδ' οἱ τἀληθῆ λέγοντες, κωλύουσι λόγου τυχεῖν τὸν φεύ-
γοντα, οὐ γὰρ πρότερον κατηγορία ἰσχύει παρὰ τοῖς
ἀκούουσι, πρὶν ἂν ὁ φεύγων ἀπολογίας τυχὼν, [1] ἀδυνα-
τήσει τὰς προειρημένας αἰτίας ἀπολύσασθαι· ἀλλ', οἶμαι, 10
240 Δημοσθένης οὐ χαίρει δικαίοις λόγοις, οὐδ' οὕτω παρεσκεύ-

[1] ἀδυνατήσῃ

ά. Καὶ τὰς τέχνας —] Vide Dem. Orat. §. κς'. et κζ'. Ex edit. Brook.

Ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι] V. pari animi æquitate auscultare. Wolf.

Τὴν τ. κ. φ. μὴ ὑπομένειν] Hoc non est in Oratione Demosthenis. Idem.

Οὐ δι' ὀργήν·] Multa interjecta sunt, antequam perveniat ad alterum membrum, quod est, [l. pen.] ἀλλ', οἶμαι, Δ. οὐ χαίρει δικαίοις λόγοις. Idem. Immo plura fortean interjecta sunt, quam ille homo auguratur. Connecte, καὶ ταῦτ' εἶπεν οὐ δι' ὀργὴν —— ἀλλὰ τὴν ἡμετέραν ὀργὴν etc. pag. 85. l. 1. Parenthesis ergo ista, satis longa, incipit a voce οὐδεὶς γὰρ, p. 84. l. 8. et desinit in παρεσκεύασται p. 85. l. 1. Taylor.

Ἀδυνατήσει] Πότερον, ἀδυνατήσῃ, ἢ ἀδυνατήσει ἄνευ τοῦ ἄν? Stephanus. Quod divinavit Vir summus, sc. ἀδυνατήσῃ, reperitur in MSS. Mead. et Reg. 2. 3. Quorum etiam postremus ἀπολύειν pro ἀπολύσασθαι. Verum non insolens est ἂν cum Futuro conjunctum, uti Cl. Marklandus ad h. l. annotat. Sic modo, §. δ'. δικαίως ἂν ὑπολαμβάνω μάλιστα σωθήσεσθαι. Ubi tamen Mor. legit σώζεσθαι. Iterum §. ς'. οὕτω γὰρ ἂν μάλιστα καὶ μεμνήσομαι καὶ δυνήσομαι εἰπεῖν. Taylor.

ασται —, ἀλλὰ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι βεβούληται, καὶ κατηγόρηκε δωροδοκίας, ἀπίθανος ὢν πρὸς τὴν ὑποψίαν ταύτην. τὸν γὰρ ἐπὶ ταῖς δωροδοκίαις τοὺς δικαστὰς προτρεπόμενον ὀργίζεσθαι, αὐτὸν χρὴ τῶν τοιούτων ἔργων πολὺ ἀφεστᾶναι.

β΄. Ἐμοὶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, συμβέβηκε τῆς Δη-
15 μοσθένους ἀκούοντι κατηγορίας, μήτε δεῖσαι πώποθ' οὕτως, ὡς ἐν τῇδε τῇ ἡμέρᾳ, μήτ' ἀγανακτῆσαι μᾶλλον ἢ νῦν, μήτ' εἰς ὑπερβολὴν ὁμοίως ἡσθῆναι. ἐφοβήθην μὲν γάρ, καὶ ἔτι καὶ νῦν τεθορύβημαι, μή τινες ὑμῶν ἀγνοήσωσί με, ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις. ἐξέστην δ' ἐμαυτοῦ, καὶ [1] τὴν αἰτίαν βαρέως ἤνεγκα, ὅθ' ὕβριν καὶ παροινίαν εἰς γυναῖκα
20 ἐλευθέραν καὶ τὸ γένος Ὀλυνθίαν κατηγόρει μου. ἥσθην δὲ, ὅτ' αὐτὸν ἐπὶ τῆς αἰτίας ὄντα ταύτης ἐξεβάλετε, καὶ τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω.

[1] [τὴν αἰτίαν]

Βεβούληται] Τινὲς διορθοῦσι βεβούλευται. STEPHANUS.

β΄. Ψυχαγωγηθέντες] Ἀπατηθέντες supra scribitur in Cod. Mead. Forte, pro scholiolo. Nam in eo Cod. ut in multis accidere solet, quæ intra lineas insinuantur, scholiorum rationem habent. Ita p. 86. l. 17. ad vocem ἀπογνῶναι, inseritur, ἤγουν μὴ καταψηφίσασθαι. TAYLOR.

Τοῖς ἐπιβεβουλευμένοις etc.] Fortasse referenda hæc sunt ad eum locum, ubi Demosthenes Legati officia et Æschinis acta contraria confert. Ἐπιβεβουλευμένοις autem, τοῖς ἐπιβούλως ῥηθεῖσιν· *insidiosa et ex malevolentia profecta contra posita.* WOLF.

Ἀντιθέτοις] V. Dem. §. μγ΄. et §. μδ΄. *Ex edit.* BROOK.

Ἐξέστην] *Extra me raptus sum: non apud me fui: mente alienata fui.* Apud Demosthenem ἐξεστηκέναι τοῦ φρονεῖν aliquanto vehementius videtur, et mentis errorem significare: hoc autem stuporem duntaxat ex indignitate rei ortum. WOLF.

Ἐξεβάλετε] Nam, ut ex Ulpiano ad istam causam discimus, surrexerunt Judices, et Rhetorem inter orandum destituerunt, clamitante Eubulo, Æschinis advocato, τοιούτων αἰσχρῶν ἀνέχεσθε λέγοντος Δημοσθένους; Et noster pariter, infra §. μδ΄. τὸ περὶ τὴν Ὀλυνθίαν γυναῖκα ψεῦδος, ἐφ' ᾧ μεταξὺ μὲν λέγων ὑφ' ὑμῶν ἐξεῤῥίφη. TAYLOR.

Τῶν σεσωφρονημένων ἐν τῷ βίῳ] Hoc est, παντὸς τοῦ σώφρονος βίου, *vitæ modeste actæ: eorum quæ per omnem ætatem moderate feci.* Cicero ad Brutum, *Quo ego die amplissimum tuli fructum laborum et vigiliarum mearum.* Quod præcedit, ἥσθην δὲ ὅτ' αὐτὸν, notandum propter historiam. Et hæc verba mihi argumento sunt, habitas esse istas *falsæ legationis* Orationes. Non enim, si neuter in Oratione περὶ στεφάνου hujus controversiæ meminit, ideo nullum judicium intercessit. Nam eodem argumento etiam accusatio et condemnatio Timarchi tolleretur. Ac neutri tum commodum fuit, vetus illud vulnus refricare: Æschini, ob suspicionem, Demostheni, ob non victam accusationem. Illud quidem probabilius esset, eos mutuo metu quievisse. Neque eo inficias, confingi hæc ab Æschine potuisse, quemadmodum a Demosthene nonnulla conficta esse ostendit Ulpianus. Ac molestum sane est, cum in Oratoribus, tum Historicis, ne jam de aliis disputationibus dicam, nesciri sæpenumero, quæ per mendacium sive ornandi, sive accusandi causa dicantur. Ita fit, ut cum sermo sit a Natura tributus humano generi, ad animi sententiam declarandam, eo mortalium pravitas ad involvendam

γ'. Ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅτι τῷ βίῳ μᾶλλον τῷ τῶν κρινομένων πιστεύετε, ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς δ' οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ' ἀπολογίας. εἰ γάρ τις ἢ τῶν ἔξωθεν περιεστηκότων πέπεισται, — σχεδὸν δ' οἱ πλεῖστοι τῶν πολι- 25
τῶν πάρεισιν —, ἢ τῶν δικαζόντων ὑμῶν, ὡς ἐγὼ τοιοῦτό τι διαπέπραγμαι, μὴ μόνον εἰς ἐλεύθερον σῶμα, ἀλλὰ καὶ εἰς τὸ τυχὸν, ἀβίωτον εἶναί μοι τὸν λοιπὸν βίον νο-
241 μίζω. κἂν μὴ, προϊούσης τῆς ἀπολογίας, ἐλέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ, καὶ τὸν τολμήσαντ' εἰπεῖν, ἀνόσιον καὶ συκοφάντην, κἂν τἄλλα πάντα μηδὲν ἀδικῶν φαίνω- 29.1
μαι, θανάτου τιμῶμαι.

δ'. Παράδοξος δέ μοι κἀκεῖνος ὁ λόγος ἐφάνη, καὶ δεινῶς ἄδικος, ὅθ' ὑμᾶς ἐπηρώτα, εἰ οἷόν τ' ἐστὶν ἐν τῇ αὐτῇ πόλει Φιλοκράτους μὲν θάνατον καταψηφίσασθαι, ὅτι καταγνοὺς ἀδικεῖν ἑαυτοῦ τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ' ἀπογνῶναι. ἐγὼ δ' ἐπ' αὐτῷ τούτῳ δικαίως ἂν ὑπολαμ- 5
βάνω μάλιστα σωθήσεσθαι. εἰ γὰρ ὁ καταγνοὺς ἑαυτοῦ, καὶ μὴ παρὼν, ἀδικεῖ, ὁ δὴ ἀπογνούς, καὶ τὸ σῶμα τοῖς νόμοις καὶ τοῖς πολίταις παραδοὺς, οὐκ ἀδικεῖ.

ε'. Περὶ δὲ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν, ὦ ἄνδρες, ἐάν τι παραλίπω, καὶ μὴ μνησθῶ, ἐπερωτᾶν με, καὶ δηλοῦν, ὅ,τι ἐὰν ποθῆτέ μου ἀκοῦσαι, μηδὲν [1]προκατεγνωκότες ὡς ἀδικῶ, ἀλλ' ἴσῃ τῇ εὐνοίᾳ [2]ἀκούοντες. 10
ἀπορῶ δ' ὁπόθεν χρὴ πρῶτον ἄρξασθαι, διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας. σκέψασθε δὲ, ἂν ὑμῖν εἰκός τι

[1] προκατεγνωκότας [2] ἀκούοντας

veritatem abutatur. Hinc Lactantius, *Oratoria*, inquit, *Professio, in qua diu versati, non ad virtutem, sed plane ad argutam malitium juvenes erudiebamus.* Wolf.

γ'. Ἐλεύθερον σῶμα] Tutius et melius redditur, quam reddidit Wolfius, *in liberam personam.* Taylor.

Θανάτου τιμῶμαι] S. *ἐμαυτῷ, Capitis ipse me condemno.* V. *me morte mulcto.* Wolf.

ε'. Ἄλλης] Non ita loqui solent Oratores in exordio, in aditu orationis, quasi *plura* jam essent elaborata, *pauca* quædam *alia* restarent. Legendum ὅλης. Ita planissime, dum exordium contexit Accusationis c. Ctesiphontem, §. ε'. περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας. Taylor. Quocum facit Augerus.

Ὅτι ἐὰν] Ἀντὶ τοῦ, τί ἄν. Wolf. Π. ὅ,τι ἄν. Stephanus. Quem miror: cum perinde scribitur ὅ,τι ἂν, et ὅ,τι ἐὰν. Ut notum est iis, qui Græce sciunt. Cod. Reg. 3. ὃ ἂν πεθῆτε, et deinde προκατεγνωκότας et ἀκούοντας. Taylor. L. ὅ,τι ἐάν. Auger.

Ἀνωμαλίαν] Ὁμαλὴ κατηγορία est, cum nihil a causa alienum admiscetur, et certa serie fit progressio: Ἀνώμαλος, ubi fit contrarium. Sic enim Æschines ipse τὴν ἀνωμαλίαν hoc loco interpretatur. Wolf.

Σκέψασθε δὲ ἂν] Malim εἰ, quanquam

πρᾶγμα πάσχειν δόξω. εἰμὶ μὲν γὰρ ὁ κινδυνεύων ἐγὼ νυνὶ περὶ τοῦ σώματος· τῆς δὲ κατηγορίας τὴν πλείστην πεποίηται Φιλοκράτους, καὶ Φρύνωνος, καὶ τῶν ἄλλων συμπρέσβεων, καὶ Φιλίππου, καὶ τῆς εἰρήνης, καὶ τῶν
15 Εὐβούλου πολιτευμάτων. ἐν ἅπασι δὲ τούτοις ἐγὼ τέταγμαι. μόνος δ' ἐν τῷ λόγῳ φαίνεται κηδεμὼν τῆς πόλεως Δημοσθένης, οἱ δ' ἄλλοι προδόται. διατετέλεκε γὰρ εἰς 242
ἡμᾶς ὑβρίζων, καὶ λοιδορίας ψευδεῖς οὐκ ἐμοὶ μόνον λοιδορούμενος, ἀλλὰ καὶ τοῖς ἄλλοις. ὃν δ' οὕτως ἀτιμάζει, πάλιν ἐκ μεταβολῆς, ὅπου τύχῃ, ὥσπερ Ἀλκιβιάδην ἢ Θεμιστοκλῆ κρίνων, οἳ πλεῖστον τῶν Ἑλλήνων δόξῃ διήνεγκαν, ἀνῃρηκέναι μὲν αἰτιᾶταί με τὰς ἐν Φωκεῦσι πόλεις,
20 ἀπηλλοτριωκέναι δ' ἀφ' ὑμῶν τὸν ἐπὶ Θράκης τόπον, ἐκβεβληκέναι δὲ [1] καὶ τῆς ἀρχῆς Κερσοβλέπτην, ἄνδρα φίλον καὶ σύμμαχον τῆς πόλεως, ἐνεχείρησε δ' ἀπεικάζειν με Διονυσίῳ, τῷ γενομένῳ τῆς Σικελίας τυράννῳ, καὶ μετὰ σπουδῆς καὶ κραυγῆς πολλῆς παρεκελεύσαθ' ὑμῖν τὸ θηρίον φυλάξασθαι, καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν Σικελίᾳ διηγήσατο. οὕτω δ' ἄνω τὸ πρᾶγμα ἐξάρας, ἐφθό-

[1] [καὶ]

et hoc parum placet. Idem. ἐὰν Reg. 3. Taylor.

Ἡμᾶς ὑβρίζων] M. ἡμᾶς, sc. τοὺς συμπρέσβεις. Wolf. Ita Brodæus quoque habet, et Editio Stephanica. Taylor.

Πάλιν ἐκ μεταβολῆς] *Rursus mutatione facta, repente cum libitum est, fit alius.* Wolf.

Ὅπου τύχῃ] *Ubicunque contingit.* Brodæus.

Οἳ πλεῖστον] Non satis expresse Wolfius, interpres hujus loci: *quorum summa fuit inter Græcos auctoritas.* Verte potius: *qui Græcis longe fama præcelluere.* Erat ubi divinaveram πλείστων esse rescribendum: *qui Græcorum plurimis præcelluere.* Habeat sibi Lector, et, si arriserit, fruatur. Taylor.

Ἐνεχείρησε κ. τ. λ.] Hoc in accusatione Demosthenis non legitur, neque etiam sacrificulæ Syracusanæ somnium, cujus et Valerius Maximus [I. 7.] et Plutarchus in Apophthegmat. meminit. Est igitur verisimile, multa esse scripta commodius, quam dicta fuerint, ipso eventu judiciorum edoctis oratoribus, quæ probanda, quæ improbanda essent. Ac Xenophronis quidem convivium, quanquam explosum, non delevit Demosthenes, vel quia id commentum ingeniosum videbatur, vel odio Æschinis inimici. Comparationem autem Æschinis cum Dionysio tyranno (etsi et is æque atque Æschines γραμματεὺς fuisse in Leptinea dicitur) ut absurdam et justo elatiorem expunxit. Locus hic scriptoribus exemplo sit, ne quasvis suas cogitationes nimis exosculentur: sed aliorum etiam judicia consulant. Wolf.

Τὸ θηρίον] *Bellua vos est hortata.* Quod parum credo esse fideliter versum. παρεκελεύσαθ' ὑμῖν [Demosthenes] φυλάξασθαι τὸ θηρίον, Æschinem videlicet. Notum est illud Æschinis in exsilio, ad Rhodios, Quid si ἠκούσατε ὑμεῖς τοῦ θηρίου ἐκείνου; et hoc fortasse errorem Wolfii peperit, proinde uti Demostheni, tanquam cognomentum, adhæserat. Sed hujusmodi ὑποκορίσματα ab iis hominibus hinc inde familiariter frequentabantur. Vid. §. ι. Taylor.

Ἱερείας] Corrige ἱμεραίας juxta consilium Scholiastæ, et rectum sane, siqua Timæo ibi adducto fides, et Valerio Maximo modo citato. Idem.

Ἐφθόνησέ μου ταῖς διαβολαῖς] Arguit in-

νησέ μου ταῖς διαβολαῖς, τὰς αἰτίας ἀνατιθεὶς τῶν πε- 25
πραγμένων οὐ τοῖς ἐμοῖς λόγοις, ἀλλὰ τοῖς ὅπλοις τοῖς
Φιλίππου.

ς'. Πρὸς δὲ τοσαύτην τόλμαν καὶ τερατείαν ἀνθρώπου,
χαλεπὸν καὶ διαμνημονεῦσαι τὰ λεχθέντα καθ' ἕκαστα,
καὶ λέγειν μετὰ κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς. ἢ
δ' [1] οἶμαι σαφεστάτους μοι τοὺς λόγους ἔσεσθαι, καὶ γνω-
ρίμους ὑμῖν καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι, ἀπὸ τῶν περὶ
τῆς εἰρήνης λόγων, καὶ τῆς αἱρέσεως τῆς πρεσβείας. οὕτω 30
γὰρ ἂν μάλιστα καὶ μεμνήσομαι, καὶ δυνήσομαι εἰπεῖν,
καὶ ὑμεῖς μαθήσεσθε.

ζ'. Ἅπαντας γὰρ ἂν ὑμᾶς οἴομαι τοῦτό γε αὐτὸ μνη-
242 μονεύειν, ὅθ' οἱ πρέσβεις οἱ τῶν Εὐβοέων, ἐπειδὴ περὶ τῆς
πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ [2] διειλέχθησαν, εἶπον, ὅτι
καὶ Φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι, ὅτι
βούλεται διαλύσασθαι πρὸς ὑμᾶς, καὶ τὴν εἰρήνην ἄγειν.
οὐ πολλῷ δ' ὕστερον χρόνῳ, Φρύνων ὁ Ῥαμνούσιος ἑάλω 35
ὑπὸ λῃστῶν, ἐν ταῖς σπονδαῖς ταῖς [3] Ὀλυμπικαῖς, ὡς αὐ-

[1] οἶμαι. [2] ❊ διελέχθησαν [3] Ὀλυμπιακαῖς

constantiam accusatoris, qua levatur auctoritas: qui ejusdem facinoris et Æschinem et Philippum criminetur. Si igitur arma Philippi Phocenses deleverunt, Æschines non delevit. Hoc argumentum quam futile sit, apparet. Potuerunt enim Æschinis Orationes et arma Philippi mutuas operas tradere. Nam alioqui etiam proditores excusati erunt. Nec enim ipsi suis manibus evertunt urbes, sed eversoribus aditum parant, atque adjumento sunt. Negat itaque Demosthenes, Philippi arma sine Philocratis et Æschinis proditione valitura. WOLF.

Τοῖς Φ.] Τοῖς τοῦ Φιλίππου cum Cod. Bern. Modo melius, περὶς δὴ τοσαύτην. TAYLOR.

ς'. Ἀνθρώπου] F. τ' ἀνθρώπου. MARKLAND. Vide ad pag. 93. l. ult.

Μετὰ κινδύνου] Lege μὴ μετὰ κινδύνου. SALMAS.

Ἢ δ' οἶμαι] Ὅθεν δ' ἡγοῦμαι Reg. 3. Quod arbitror non esse pro varietate lectionis, sed a scholio alicunde profectum. TAYLOR.

Σαφεστάτους ——— καὶ γνωρίμους;] Observanda superlativi et positivorum Græcis frequentior quam Latinis conjunctio. Etsi fieri potest, ut librarius γνωρίμους, imposita nota, pro γνωριμωτάτους scripserit. Sic et δικαίους pro δικαιοτάτους. WOLF.

Τῆς αἱρέσεως τῆς πρ.] Ὅτε οἱ δέκα πρέσβεις ἡροῦντο, ut postea dicit. IDEM.

Μαθήσεσθε] Vel μαθήσεσθαι, quod mihi potius allubet. ἐγὼ sc. δυνήσομαι εἰπεῖν, et vos [*poteritis* nempe] μαθήσεσθαι. TAYLOR.

ζ'. Οἴομαι] Οἶμαι SCALIGER. Si quæras, qua mente, aut quo discrimine, consulas T. Magistrum, et quæ nos commentamur c. Aristocrat. p. 662. l. 6. ed. R. TAYLOR.

Διαλυσασθαι πρὸς ὑμᾶς] Sc. τὸν πόλεμον τὸν ὑπὲρ Ἀμφισσέων. WOLF.

Καὶ τὴν εἰρήνην] Τὴν ex supervacuo additur. Nec enim pax facta erat, sed facienda. Sic etiam dicunt, τὴν ἡσυχίαν ἄγειν, cum non de certo quodam otio, sed in genere loquuntur. Apparet igitur, audaces esse eos, qui propter articulum vel additum vel omissum, sive ab ipso Auctore, sive incuria librarii, nescio quas leges promulgant. IDEM. Infra, §. 9. cum vulgati habeant simpliciter περὶ εἰρήνης, Cod. Bern. περὶ τῆς εἰρήνης. TAYLOR.

Σπονδαῖς] In quibus ad Olympiorum ludorum spectaculum Græcis omnibus

τὸς ἠτιᾶτο. ἐπειδὴ δ' ἐπανῆλθε δεῦρο λυτρωθεὶς, ἐδεῖτο ὑμῶν πρεσβευτὴν [1] αὐτῷ πρὸς Φίλιππον ἑλέσθαι· ἵν', εἴ πως δύναιτο, ἀπολάβοι τὰ λύτρα. πεισθέντες δ' ὑμεῖς προσείλεσθ' αὐτῷ Κτησιφῶντα πρεσβευτήν. ἐπειδὴ δὲ ἐπανῆκε δεῦρ' ἀπὸ τῆς πρεσβείας ὁ Κτησιφῶν, ἀπήγγειλε πρὸς ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη, καὶ πρὸς τούτοις, ὅτι φαίη
40 Φίλιππος, ἄκων μὲν πολεμῆσαι πρὸς ὑμᾶς, βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου. εἰπόντος δὲ ταῦτα τοῦ Κτησιφῶντος, καὶ πολλήν τινα ἐξαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν, καὶ τοῦ δήμου σφόδρα ἀποδεξαμένου, καὶ τὸν Κτησιφῶντα ἐπαινέσαντος, ἀντιστάντος δ' οὐδενὸς, ἐνταῦθα ἤδη δίδωσι ψήφισμα Φιλοκράτης ὁ Ἀγνούσιος, καὶ ὁ δῆμος ἅπας ὁμογνωμονῶν ἐχειροτόνησεν, ἐξεῖναι δεῦρο
30.1 Φιλίππῳ κήρυκας καὶ πρέσβεις πέμπειν ὑπὲρ εἰρήνης. πρότερον μὲν γὰρ καὶ αὐτὸ τοῦτ' ἐκωλύετο ὑπό τινων, οἷς ἦν τοῦτ' ἐπιμελὲς, ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειζεν. γράφονται δ' οὗτοι παρανόμων τὸ ψήφισμα, Λυκῖνον ἐπὶ τὴν γραφὴν [2] ἐγγραψάμενοι, καὶ τίμημα [3] ἐπέθηκαν ἑκατὸν τάλαντα. 244
5 καὶ μετὰ ταῦτ' εἰσῄει ἡ γραφὴ εἰς τὸ δικαστήριον. ἀῤῥώστως δ' ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν αὐτῷ συνήγορον τὸν

[1] αὐτὸν [2] ἐπιγραψάμενοι [3] [ἐπέθηκαν]

proficisci tutum erat. BRODÆUS.

Πρεσβευτὴν αὐτῷ] Malim αὐτὸν vel αὐτόν. Nisi forte rectius sit, πρεσβευτὴν αὐτῷ πρὸς Φίλιππον προσελέσθαι, *ut sibi legatum ad Philippum ituro* adjungeretis. Et paulo post [l. 4.] προείλεσθ' αὐτῷ, lego, προσείλεσθ' αὐτῷ, una cum eo *legatum creastis Ctesiphontem*, ut ex argumento Demosthenicæ Orationis apparet. V. *Ei Ctesiphontem legatum delegistis.* WOLF. διοεθοῦσι τινὲς, πρεσβευτὴν αὐτὸν πρὸς Φίλιππον ἑλέσθαι. ἢ, πρεσβευτὴν αὐτῷ πρὸς Φίλιππον προσελέσθαι. STEPHANUS. Αὐτῷ, et προσελέσθαι. Ut mox l. 4. προσείλεσθ' αὐτῷ Κτησιφῶντα πρεσβευτήν. Nisi pro αὐτῷ scribendum sit αὐτὸν, ut in argumento Orationis Demosthenicæ περὶ παραπρεσβείας. Sed video Stephanum hæc fere occupasse. MARKLAND. Simplicior multo est ea medicina, quæ commendat πρεσβευτὴν αὐτὸν —— ἑλέσθαι. Et in eo est MS. Reg. 2. Deinde l. 4. omnino προσείλεσθ', cum Wolfio et Cod. Bern. Nihil agit Scaliger, cum præfert προείλεσθ' αὐτῶν Κτησιφῶντα. TAYLOR. Wolfius, *ut se legatum ad Philippum decerneretis.* Immo, *ut legatum, qui ejus causam ageret, ad Philippum decerneretis.* JURIN.

Προσείλεσθ' κ. τ. λ.] Wolfius, *legatum ei adjunxistis Ctesiphontem*, quasi uterque missus sit legatus, Phryno et Ctesipho. Sed ex sequentibus liquet solum fuisse missum Ctesiphontem. Solus quippe renunciat legationem, solus commemorat humanitatem Philippi, et solus laudatur a populo. Vertendum itaque *legatum ei decrevistis Ctesiphontem.* IDEM.

Καὶ τοῦ δήμου σφόδρα ἀποδεξαμένου] Καὶ τοῦ Δημοσθένους ἀποδεξαμένου Reg. 3. Quod pensitare, si velis, possis. Ego pro nihilo habeo. Vid. infra, §. λή. TAYLOR.

Λυκῖνον κ. τ. λ.] *Nomine Lycini accusationem inscripserunt.* Lycinus nomen suum duntaxat illis commodavit, cum ipsi causam agerent. WOLF.

Ἐπέθηκαν] Del. vid. AUGER.

Ἀῤῥώστως δ' ἔχων] Ambiguum, ad corporis valetudinem, aut ad imbecillitatem fortunæ referatur. WOLF.

Δημοσθένην, ἀλλ' οὐκ ἐμέ. παρελθὼν δ' ὁ μισοφίλιππος Δημοσθένης κατέτριψε τὴν ἡμέραν ὅλην ἀπολογούμενος, καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ Φιλοκράτης. ὁ δὲ γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει, καὶ ταῦθ' ὑμεῖς ἅπαντες ἴστε.

ἡ. Ὑπὸ δὲ τοὺς αὐτοὺς καιρούς, Ὄλυνθος ἡλω, καὶ πολλοὶ τῶν ἡμετέρων ἐγκατελήφθησαν πολιτῶν. ὧν ἦν 10 Στρατοκλῆς ὁ Ἐργοχάρους ἀδελφός, καὶ [1] Εὔκρατος ὁ Στρομμίχου υἱός. ὑπὲρ δὲ τούτων [2] ἱκετηρίαν θέντες οἱ οἰκεῖοι, ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι. παρελθόντες δ' αὐτοῖς συνηγόρουν Φιλοκράτης καὶ Δημοσθένης, ἀλλ' οὐκ Αἰσχίνης. καὶ πέμπουσι πρεσβευτὴν Ἀριστόδημον, τὸν ὑποκριτήν, πρὸς Φίλιππον, διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης. ὡς δ' ἐπανήκων ἀπὸ τῆς πρεσβείας ὁ Ἀριστόδημος, διά τινας ἀσχολίας οὐ προσῄει πρὸς τὴν 15 βουλήν, ἀλλ' ἔφθασεν αὐτὸν Στρατοκλῆς, ἐλθὼν ἐκ Μακεδονίας, ἀφεθεὶς ὑπὸ Φιλίππου ἄνευ λύτρων, γενόμενος αἰχμάλωτος, ἐνταῦθ' ἠγανάκτουν πολλοί, ὅτι τὴν πρεσβείαν οὐκ ἀπήγγειλεν ὁ Ἀριστόδημος, τοὺς αὐτοὺς λόγους ἀκούοντες τοῦ Στρατοκλέους παρὰ τοῦ Φιλίππου.
245 τελευταῖον δ' εἰς τὴν βουλὴν εἰσελθὼν Δημοκράτης ὁ Ἀφιδναῖος, ἔπεισε τὴν βουλὴν ἀνακαλέσασθαι τὸν Ἀρι- 20 στόδημον. εἷς δὲ τῶν βουλευτῶν ἦν Δημοσθένης, ὁ ἐμὸς κατήγορος. παρελθὼν δ' Ἀριστόδημος, πολλήν τινα εὔνοιαν

[1] Εὐήρατος ὁ Στρομβίχου

[2] ἱκετηρίας θέντες ἐν τῷ δήμῳ οἱ

Καὶ τὸ τελευταῖον] Pro quo alias dicunt, τελευτῶν. IDEM.

ἡ. Ἐγκατελήφθησαν] Ἐν τῇ Ὀλύνθῳ ἐλήφθησαν ὑπὸ Φιλίππου. IDEM.

Εὔκρατος] Εὐήρατος, Mead. Sed rescribendum fortasse Εὐκράτης. mox Στρομβίχου cum Cod. eod. TAYLOR.

Ἱκετηρίαν θέντες —— ἐδέοντο] *Supplices orarunt.* Supplicationis ceremonia requirenda est, sive ramum olivæ prætenderint, aut etiam humi defixerint, sive alia ratione fuerint usi. WOLF.

Παρελθόντες δ' αὐτοὶ] Malim παρελθόντες δ' αὐτοῖς συνηγόρουν. IDEM. Ita etiam Cod. Regg. Et recte quidem, uti et ego edidi. Origo mendi satis patet. TAYLOR.

Φιλαίχμιαν] Passivo capi videtur, διότι φιλοῦσι τὴν τέχνην οἱ ἄνθρωποι, διότι κεχαρισμένη ἐστίν. WOLF. Φιλίαν Mor. et Mead. sed infeliciter. TAYLOR.

Διά τινας, ἀσχολίας] S. ἑαυτοῦ, ἢ ἰδίας. Pro Ἰατροκλῆς et Ἰατροκλέους lego Στρατόκλης et Στρατοκλέους. Et χειροτονουμένων δέ. WOLF.

Στρατοκλῆς] Πρ. γρ. Ἰατροκλῆς. καὶ, ὀλίγῳ ὕστερον, Ἰατροκλέους. Στρατοκλῆς δέ ἐστι μικρῷ πρότερον. STEPHANUS. Cum Aldinis exemplaribus legunt Codd. Reg. 2. Coisl. et Mead. TAYLOR.

Παρὰ τοῦ Φιλίππου] S. ἀπηγγελμένους. Quæ orationes, ut ex Philippo auditæ, renunciabantur. WOLF.

Ἀνακαλέσασθαι] *Revocandi* Wolfius. Minime, sed *compellandi* simpliciter, *accersendi.* TAYLOR.

ἀπήγγειλε τοῦ Φιλίππου πρὸς τὴν πόλιν, καὶ προσέθηκεν, ὅτι καὶ σύμμαχος βούλοιτο τῇ πόλει γενέσθαι. καὶ ταῦτ' οὐκ ἐν τῇ βουλῇ μόνον εἶπεν, ἀλλὰ καὶ ἐν τῷ δήμῳ. κἀνταῦθ' οὐδὲν ἀντεῖπε Δημοσθένης, ἀλλὰ καὶ στεφανῶσαι τὸν Ἀριστόδημον ἔγραψε.

25 θ'. Ῥηθέντων δὲ τούτων ἐν τῷ δήμῳ, ψήφισμα ἔγραψεν ὁ Φιλοκράτης, ἑλέσθαι πρέσβεις ὑμᾶς πρὸς Φίλιππον ἄνδρας δέκα, οἵτινες διαλέξονται Φιλίππῳ περὶ εἰρήνης, καὶ τῶν κοινῇ ξυμφερόντων Ἀθηναίοις καὶ Φιλίππῳ. χειροτονουμένων δὲ τῶν δέκα πρέσβεων, ἐγὼ μὲν προεβλήθην ὑπὸ Ναυσικλέους, Δημοσθένης δ' ὑπὸ [1] τοῦ Φιλοκράτους, ὁ νυνὶ Φιλοκράτους κατηγορῶν. οὕτω δ' ἦν πρόθυμος εἰς τὰ πρά-
30 γματα, ὥς τε ἐν τῇ βουλῇ γράφει, ἵνα ἀζήμιος ὢν ἡμῖν συμπρεσβεύῃ ὁ Ἀριστόδημος, ἑλέσθαι πρέσβεις ἐπὶ τὰς πόλεις ἐν αἷς ἔδει τὸν Ἀριστόδημον ἀγωνίζεσθαι, οἵ τινες ὑπὲρ αὐτοῦ παραιτήσονται τὰς ζημίας. καὶ ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, λάβε μοι τὰ ψηφίσματα, καὶ τὴν ἐκμαρτυρίαν ἀνάγνωθι τὴν Ἀριστοδήμου, καὶ κάλει πρὸς οὓς ἐξεμαρτύρησεν, ἵν' εἰδῶσιν οἱ δικασταί, τίς [2] ἦν Φιλοκράτους ἑταῖρος, καὶ τίς ὁ τὰς δωρεὰς Ἀριστοδήμῳ φάσκων πείσειν δοῦναι τὸν δῆμον.

[1] αὐτοῦ

[2] ἦν ὁ τοῦ Φιλοκράτους

θ'. Φίλιππον——Φιλίππῳ——Φιλίππῳ] F. οἵτινες διαλέξονται αὐτῷ περὶ εἰρήνης, καὶ τῶν κοινῇ ξυμφερόντων. Cetera credo esse e margine. Quis enim unum vocabulum adeo ingeminaret, uti impressi dederunt? Idem.

Χειροτονουμένων] [Ut Aldus] Emenda χειροτονουμένων. Brodæus.

Προεβλήθην] *Designatus, nominatus sum.* Wolf.

Ὑπὸ τοῦ Φ.] Ὑπ' αὐτοῦ Φιλοκράτους Cod. Bern. cum duobus Regiis. Taylor.

Γράφει] Puto Γράφειν. Jurin.

Ἵνα ἀζήμιος ὢν] Mulcta illa quæ fuit? Nunquid, ut mercatores pro tabernis solvunt, ita ille pro facultate exercendæ artis suæ? ut sit ἡ ζημία, τὸ ἐκτινόμενον καὶ καταβαλλόμενον ἀργύριον τῇ πόλει? An deliquerat aliquid? ut ἀγωνίζεσθαι ἔδει non de histrionica, sed de causæ dictione intelligatur? Sed quid hæc ad nos? Wolf. Nonnihil de ista difficultate Scholiastes. Taylor.

Παραιτήσονται] Wolfius edidit παραιτήσωνται. Sed de ea re judicium suum aut mentem non interponit. Idem.

Ψηφίσματα] L. ψήφισμα. Auger.

Τὴν ἐκμαρτυρίαν] Τὴν τοῦ ἀπόντος μαρτυρίαν. *Absentis testimonium.* Commigrarat enim Athenis in Macedoniam, ut ex oratione Demosthenis Chersonesitana cognovimus. Wolf.

Καὶ κάλει] S. ὑπηρέτα, ἢ γραμματεῦ. Ministrum publicum alloquitur. Idem.

Ἐξεμαρτύρησαν] [Ita enim Aldus] Lego ἐξεμαρτύρησεν. S. ὁ Ἀριστόδημος. *Vocat eos, qui absentem eum testificantem coram audierunt, et nunc testimonium ex eo auditum recitabunt.* Idem.

Τὰς δωρεὰς Ἀριστοδήμῳ] Quæ dona illa fuerunt? Utrum coronæ? an invitationes in Prytaneum? Idem.

246 [1] ΨΗΦΙΣΜΑ. ΕΚΜΑΡΤΥΡΙΑΙ.

Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων [2] ἐγένετο, οὐ δι' ἐμοῦ, ἀλλὰ διὰ Δημοσθένους καὶ Φιλοκράτους.

ί. Ἐν δὲ τῇ πρεσβείᾳ συσσιτεῖν ἡμῖν ἐσπούδασεν, οὐκ ἐμὲ πείσας, ἀλλὰ τοὺς μετ' ἐμοῦ, Ἀγλαοκρέοντα τὸν Τενέδιον, ὃν ἐκ τῶν συμμάχων εἵλεσθε, καὶ Ἰατροκλέα. ἐν δὲ τῇ πορείᾳ [3] παρακελεύεσθαί με φησὶν αὐτῷ, ὅπως τὸ 40
θηρίον κοινῇ φυλάξωμεν, τὸν Φιλοκράτην, πρᾶγμα λέγων πεπλασμένον. πῶς γὰρ ἂν ἐγὼ Δημοσθένην ἐπὶ Φιλοκράτην παρεκάλουν, ὃν ᾔδειν συνειπόντα μὲν Φιλοκράτει, ὅτ' ἦν ἡ τῶν παρανόμων γραφή, προβληθέντα δὲ εἰς τὴν πρεσβείαν ὑπὸ Φιλοκράτους; πρὸς δὲ τούτοις, οὐκ ἐν [4] τοιούτοις μόνον, οἶμαι, λόγοις οἱ συμπρέσβεις, ἀλλ' ὅλην τὴν πορείαν ἠναγκαζόμεθα ὑπομένειν Δημοσθένην, ἀφόρητον ὄντα καὶ βαρὺν ἄνθρωπον. ὃς διασκοπούντων ἡμῶν, ὅ,τι 31.1
χρὴ λέγειν [5] ἡμᾶς, τῶν συμπρέσβεων, καὶ Κίμωνος εἰπόν-

[1] Ψηφισματα. Εκμαρτυρια. [2] ἐγίγνετο [3] παρακελεύσασθαί [4] τοιούτοις ἦμεν λόγοις
[5] [ἡμᾶς, τῶν συμπρέσβεων,]

ΨΗΦΙΣΜΑ] ΨΗΦΙΣΜΑΤΑ potius, ut supra p. 91. l. 17. MARKLAND.

ΕΚΜΑΡΤΥΡΙΑΙ] Supra, singulari numero, ἀνάγνωθι τὴν ἐκμαρτυρίαν. In scriptum igitur relatum fuit Aristodemi testimonium, et qui id audierant, coram etiam sunt testificati viva voce. WOLF. L. ΕΚΜΑΡΤΥΡΙΑ. AUGER.

Ἔνστασις] Sicut dicunt, ἐνίστασθαί τι πρᾶγμα, *instituere*, et quasi exordiri *negotium*. V. *Prima omnium rerum institutio*. WOLF.

ί. Ἀλλὰ τοὺς μετ' ἐμοῦ] *Sed a convictoribus meis*. Omisit hoc Wolfius in versione. JURIN.

Ἰατροκλέα] Ἰατροκλέα τὸν Πασιφῶντος infra §. μ'. quas voces opinor hic deesse. MARKLAND.

Ἐν τῇ πορείᾳ] Vid. Dem. §. ς'. *Ex edit.* BROOK.

Φυλάξωμεν] Ita dedit Wolfius. Editio Aldi Stephanique φυλάξομεν. Et MSti quoque. TAYLOR.

Οὐκ ἐν τοιούτοις, οἶμαι,] Videtur addendum τοιούτοις μόνον, οἶμαι. Et [l. pen.] ὃς, διασκοπούντων ἡμῶν, ὅ,τι χρὴ λέγειν ἡμᾶς, τῶν συμπρέσβεων, conjunge, ἡμῶν τῶν συμπρέσβεων διασκοπούντων. WOLF. Ridicule istud suffectum a Wolfio, ἐν τοιούτοις μόνον. Si hominis mentem rite intelligo, credidit id esse dictum: *Tantum aberamus ab iis Orationibus, ut* ———. Quo animo reponere erat melius, οὐ μόνον οὐκ ἐν τοιούτοις. Id autem nihili est. Consultius erat tentasse vocem οἶμαι, si qua felicitate potuit. Nam in nostris quam plurimis, videlicet, Bern. Parisiensibus omnibus, et Meadiano, οὐκ ἐν τοιούτοις ἦμεν λόγοις οἱ συμπρέσβεις. TAYLOR. L. ο. ἐ. τ. ἦμεν λόγοις. AUGER.

Οἱ συμπρέσβεις] Ἦσαν subaud. BRODÆUS.

Διασκοπούντων ἡμῶν] [Ald.] Restitue ἡμῶν et [l. ult.] Κίμωνος. IDEM.

Τῶν συμπρέσβεων] Videtur mihi glossa olim fuisse. Porro quoque rotundius erit non paulo, si deleamus etiam ἡμᾶς, Sc. ὃς, διασκοπούντων ἡμῶν, ὅ, τι χρὴ λέγειν — TAYLOR. Hæc tria verba videntur tollenda. AUGER.

Κίμωνος] Κίμωνος lege, ex argumento Demosthenicæ Orationis. WOLF. Κίμωνος etiam Codd. Steph. Bern. Mead. Coisl. et Reg. 2. TAYLOR.

τος, ὅτι φοβοῖτο, μὴ δικαιολογούμενος περιγένοιτο ἡμῶν ὁ Φίλιππος, [1]πηγὰς δὲ δὴ λόγων ἀφθόνους ἔχειν ἐπηγγέλλετο, καὶ περὶ τῶν δικαίων τῶν ὑπὲρ Ἀμφιπόλεως, καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα ἐρεῖν ἔφη, ὥστε ἀπορρά-
5 ψειν τὸ Φιλίππου στόμα ὁλοσχοίνῳ ἀβρόχῳ, καὶ πείσειν Ἀθηναίους μὲν καταδέξασθαι Λεωσθένη, Φίλιππον δ' Ἀθηναίοις Ἀμφίπολιν ἀποδοῦναι.

ιά. Ἵνα δὲ μὴ μακρολογῶ τὴν τούτου διεξιὼν ὑπερηφανίαν, ὡς τάχιστα ἥκομεν [2]ὡς Μακεδονίαν, συνετάξα- 247
μεν [3]ἡμᾶς αὐτοὺς, ὅταν προσίωμεν Φιλίππῳ, τοὺς πρεσβυτάτους πρώτους λέγειν, καὶ τοὺς λοιποὺς καθ' ἡλικίαν.
10 ἐτύγχανε δ' ἡμῶν νεώτατος ὢν, ὡς ἔφη, Δημοσθένης. ἐπειδὴ δὲ εἰσεκλήθημεν — καὶ τούτοις ἤδη σφόδρα μοι προσέχετε τὸν νοῦν. ἐντεῦθεν γὰρ κατόψεσθε ἀνθρώπου

1 * πηγάς τε δὴ 2 εἰς 3 * πρὸς ἡμᾶς

Πηγὰς δὲ δὴ] Puto scripsisse Oratorem πηγὰς νὴ Δία κ. τ. λ. JURIN.

Δὲ] Delendum juxta versionem Wolfii, πηγὰς δὴ λόγων —— ἔχειν ἐπηγγέλλετο, Demosthenes sc. TAYLOR. Del. vid. AUGER.

Ὁλοσχοίνῳ ἀβρόχῳ] *Itaque consuturum marisco sicco os Philippi.* Σχοῖνος et σχοινίον etiam funis est. Quid si ὁλοσχοίνῳ βρόχῳ *laqueo ex integro fune confecto?* Utcunque sit, satis apparet dici ἀντὶ τοῦ φιμοῦν καὶ ἐπιστομίζειν. V. *os Philippi arido junco suturus.* Σχοῖνος, inquit Phavorinus, est plantæ genus, e quo sportulas contexunt: ὁλόσχοινον igitur, *quod integro junco constat.* Se consuturum ei os laqueo amplissimo, qui totum os tegat, facultate loquendi adempta. Si ἀβρόχῳ placet, interpretare, *sicco junco.* Sed quid siccitas ad suendum faciat, e sartoribus requirendum est. Ego enim me facile patior ignorare. WOLF. Erasmi Chiliades in proverbiis, *Junco sicco* et Ὁλόσχοινος. BRODÆUS. De hoc loco et locutione præter σχοῖνον nostrum consulendus in primis est H. Steph. Thes. Gr. T. III. col. 1203. *Addit autem ἀβρόχῳ,* inquit ille, *ut rei facilitatem ostendat: nimirum, se nullo negotio obturaturum et obsuturum os Philippo: nam solent madefieri junci, quum ad funes, storeas, aut alia ejusmodi nectenda assumuntur.* Ὁλόσχοινος porro occurrit apud Dioscoridem, Plinium, Laert. in Aristippo §. 81. Plutarch. de Solert. Animal. Ubi autem scripsit Moschop. π. σχεδῶν pag. 208. Ὁλόσχοινος. Τρία εἴδη φασὶ τοῦ ἐχίνου. ὧν ὁ τρίτος τῷ μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων, ὁλόσχινος λέγεται, male descripsit verba Theophrasti, qui hæc tradiderat de *holoschœno:* ut liquet ex Harpocratione, cujus Codex Cantabrigiensis, eodem quo Moschopulus, errore irretitur. TAYLOR.

Καταδέξασθαι] Καταδέξασθαι τοὺς φεύγοντας est, *recipere exsules,* et in patriam redire pati. Leosthenem autem hunc per calumniatores in exsilium actum, post Callistratum Aphidnæum, omnium fuisse eloquentissimum, supra affirmat: alium, ut existimo, ab illo, qui Antipatrum post Alexandri obitum Lamiæ obsedit. WOLF.

ιά. Ὡς τάχιστα ἥκομεν εἰς Μακεδονίαν] Lego. IDEM. Ita Bern. et Mead. TAYLOR.

Ἡμᾶς] Πρὸς ἡμᾶς. AUGER.

Ἐπειδὴ δ' εἰσεκλήθημεν] ἐκεῖσε ἤλθομεν. WOLF.

Ἐπειδὴ δ' —— ἀκούσατε δὴ] Interjecta est prolixissima Parenthesis, ac potius Hyperbaton, καὶ τούτοις ἤδη σφόδρα usque ad ἀκούσατε. Apparet Æschinem et metu et ira æstuantem turbasse compositionem, quam mutare non fuit, ut opinor, fidelis interpretis. Quod quidem facile potuissem. WOLF. Μετὰ τὸ εἰσεκλήθημεν τινὲς τὸ τῆς παρενθέσεως σημεῖον τιθέασιν, ἕως τοῦ ἀκούσατε [l. 16. p. 94.] STEPHANUS. Wolfium intelligit, qui per istud τινὲς ubique fere apud eum designatur. TAYLOR.

Κατόψεσθε ἀνθρώπου φθόνον] Generaliter effertur hoc, cum ad Demosthenem privatim pertineat. WOLF.

Ἀνθρώπου] F. τ ἀνθρώπου. ut Demosth. c. Aristocrat. §. λή. ante med. Θεω-

φθόνον ὑπερβάλλοντα, καὶ δεινὴν δειλίαν ἅμα καὶ κακοήθειαν, καὶ τοιαύτας ἐπιβουλὰς κατ' ἀνδρῶν συσσίτων καὶ συμπρέσβεων, ἃς [1]οὐδὲ κατὰ τῶν ἐχθίστων [2]τίς εἰκῇ ποιήσαιτο. τοὺς γὰρ τῆς πόλεως ἅλας, καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος — εἰρήσεται γὰρ — οὐδ' ἐγγενὴς ἡμῖν. ἡμεῖς δὲ, οἷς ἱερὰ καὶ τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι, καὶ διατριβαὶ, καὶ συνήθειαι μεθ' ὑμῶν [3]ἐλεύθεροι, καὶ γάμοι κατὰ τοὺς νόμους, καὶ κηδεσταὶ, καὶ τέκνα, Ἀθηναῖοι μὲν ἥμεν ἄξιοι τῆς ὑμετέρας πίστεως, — οὐ γὰρ ἄν ποτε ἡμᾶς εἵλεσθε —, ἐλθόντες δ' εἰς Μακεδονίαν ἐξαίφνης ἐγενόμεθα προδόται. ὁ δὲ οὐδὲν ἄπρατον ἔχων μέρος τοῦ σώματος, οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὢν Ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν, ὁ δίκαιος ἐπικαλούμενος, δυσχεραίνει, καὶ καταπτύει δωροδοκίας. —

ιβ'. Ἀκούσατε δὴ τούς τε ἡμετέρους λόγους, οὓς εἴπομεν ὑπὲρ ὑμῶν, καὶ πάλιν, οὓς τὸ μέγα ὄφελος τῆς πόλεως εἴρηκε Δημοσθένης, ἵν' ἐφεξῆς καὶ κατὰ μικρὸν πρὸς ἕκαστα τῶν κατηγορημένων ἀπολογήσωμαι. ἐπαινῶ δ'
248 εἰς ὑπερβολὴν πάντας ὑμᾶς, ὦ ἄνδρες, ὅτι σιγῇ καὶ δι-

[1] οὐδ' ἂν κατὰ [2] τις [3] ἐλευθέριοι

ρῆσαι τὸν τρόπον τ' ἀνθρώπου. MARKLAND.

Οὐδὲ] F. οὐδ' ἄν. IDEM. Atque id Bern. habet disertissime. TAYLOR.

Δή φησι] Scilicet Δημοσθένης, ad quem pertinet id quod sequitur, οὐκ ὢν ἐπιχώριος — οὐδ' ἐγγενὴς ἡμῖν. Ut sententia sit, *Demosthenem, quanquam barbarum, tamen loqui humaniter, cum immaniter faciat, et vita ejus cum oratione pugnet.* Alioqui legerem φασὶ δεῖν. Apud Demosthenem Æschines sic exprobrat, ποῦ δ' ἅλες; ποῦ τράπεζα; Cui reprehensioni Demosthenes opponit hæc quæ recitat Æschines, eludendo per convicium acuta sane publicæ privatæque mensæ comparatione. WOLF.

Οὐδ' ἐγγενὴς ἡμῖν] Οὐδὲ συγγενὴς ὑμῖν MS. Mead. Quod postremum amplector. TAYLOR.

Μεθ' ἡμῶν] Lege ὑμῶν. BRODÆUS.

Ἐλεύθεροι] M. ἐλευθέριοι. WOLF. Ita Coisl. et Mead. TAYLOR. M. ἐλευθέριοι. AUGER.

Ἄπρακτον] [Ita enim dedit Aldus in sua impressione] Ἄπρατον lego a πιπράσκω, *cujus nulla pars corporis vendita non est.* Ut exprobret ei et adolescentiam impuram, et avaritiæ sordes. WOLF.

Ἄπρακτον] Mallem ἄπρατον, *ut etiam cuilibet ore, pretio morigeretur.* Theo Sophista: ὡς Αἰσχίνης εἰς ἀῤῥητοποιΐαν τὸν Δημοσθένην διαβάλλων φησὶν αὐτὸν μὴ καθαρεύειν τὸ στόμα, μηδ' ὅθεν τὴν φωνὴν προΐεται. BRODÆUS. πρ. γρ. ἄπραγκτον. Οὕτως ἐν τῷ κατὰ Τιμοκράτους [voluit dicere Τιμάρχου. Vid. pag. 52. l. ult.] πράξιν ἀντὶ τοῦ πρᾶσιν. STEPHANUS. Vide infra §. κή. μὴ καθαρεύοντα τῷ σώματι, μηδ' ὅθεν τὴν φωνὴν ἀφίησιν. Adde Nostrum c. Timarch. p. 16. l. 6. Laert. in prol. de Orpheo. Sueton. Jul. §. 22. Gell. 1. 5. Theonem Progymn. pag. 26. Brod. Miscell. II. 21. Magii Miscell. II. 20. Meursii Critic. Arnob. II. 12. TAYLOR.

Δωροδοκίας] In genitivo singulari, *despuit largitionem.* AUGER.

ιβ'. Τὸ μέγα ὄφελος] *Magnum illud Reip. bonum, præsidium, adjumentum.* Εἰρωνικὸν est vel puero nota. WOLF.

καίως ἡμῶν ἀκούετε. ὥστε ἐάν τι μὴ λύσω τῶν κατηγορημένων, οὐχ ὑμᾶς, ἀλλ' ἐμαυτὸν αἰτιάσομαι. ἐπειδὴ γὰρ οἱ πρεσβύτεροι ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν, [1]καθῆκεν εἰς ἡμᾶς ὁ λόγος. [2]καὶ τὰ μὲν καθ' ἕκαστα τῶν ἐκεῖ ῥηθέντων ὑπ' ἐμοῦ, καὶ τοὺς πρὸς ταῦτα λεχθέντας ὑπὸ Φιλίππου λόγους, ἐν τῷ δήμῳ σαφῶς ἀπήγγειλα πρὸς ἅπαντας Ἀθηναίους, νυνὶ δὲ πειράσομαι διὰ κεφα-
30 λαίων ὑμᾶς ὑπομιμνήσκειν.

ιγ'. Πρῶτον μὲν γὰρ πρὸς αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν, καὶ τὰς εὐεργεσίας ἃς ὑμεῖς ὑπήρξατε Ἀμύντα, τῷ Φιλίππου πατρὶ, οὐδὲν παραλείπων, ἀλλ' ἐφεξῆς ἅπαντα ὑπομιμνήσκων, δεύτερον δὲ ὧν αὐτὸς ἦν μάρτυς εὖ παθών. Ἀμύντου γὰρ νεωστὶ τετελευτηκότος, καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν, Περδίκκου δὲ
35 καὶ Φιλίππου παίδων ὄντων, Εὐρυδίκης δὲ τῆς μητρὸς αὐτῶν προδιδομένης ὑπὸ τῶν δοκούντων αὐτοῖς εἶναι φίλων, Παυσανίου δ' ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δ' ἰσχύοντος, πολλῶν δ' [3]αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν καὶ Στρέψαν καὶ ἄλλ' ἄττα χωρία, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων· ἐπὶ τῶν καιρῶν τούτων
40 ἐχειροτόνησαν στρατηγὸν Ἀθηναῖοι ἐπ' Ἀμφίπολιν Ἰφικράτην, Ἀμφιπολιτῶν αὐτῶν [4]ἐχόντων τὴν πόλιν, καὶ τὴν 249
χώραν [5]τότε καρπουμένων. ἀφικομένου δ' εἰς τοὺς τόπους Ἰφικράτους μετ' ὀλίγων τὸ πρῶτον νεῶν, ἐπὶ κατασκοπῇ μᾶλλον τῶν πραγμάτων, ἢ πολιορκίᾳ τῆς πόλεως, ἐνταῦθ', ἔφην ἐγὼ, μετεπέμψατο αὐτὸν Εὐρυδίκη ἡ μήτηρ ἡ σή.

[1] καὶ καθῆκεν [2] (καὶ - - - - ὑπομιμνήσκειν.) [3] αὐτῷ [4] ἐχόντων τότε τὴν [5] Deest τότε.

Καὶ καθῆκεν] Τὸ καὶ malim abesse. Alioqui erit ἀναπόδοτον. Idem. Aliter Cod. Mead. qui posterius καὶ excludit. ἐπειδὴ οἱ πρεσβύτεροι — εἰρήκεσαν, καὶ καθῆκεν εἰς ἡμᾶς ὁ λόγος, τὰ μὲν καθ' ἕκαστα et deinceps. Taylor.

ιγ'. Αὐτοῖς] Ὑπὸ τῶν δοκούντων αὐτῆς εἶναι φίλων lego. Wolf. Similiter Mead. Regg. 1. 3. 4. Istud vero αὐτοῖς non cum Wolfio protinus improbo. Corrige ergo ejus versionem, *quos amicos* illis *esse putabat*: pueris scil. Ecce enim. Pergit orator, Παυσανίου ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος. Taylor.

Παυσανίου δὲ] Orator hoc loco nobis historiographi munus præstat, cum hoc apud alium, quod sciam, non legatur. Wolf.

Εὐρυδίκη ἡ μήτης ἡ σὴ] Lego. [Nam Aldus mendosissime μητρός.] Mala bestia fuit, insidiata genero et marito, tandem Alexandrum et Perdiccam filios per insidias interficiendos curavit. Idem.

καὶ — ὥς γε δὴ λέγουσιν οἱ παρόντες πάντες — Περδίκκαν μὲν τὸν ἀδελφὸν τὸν σὸν καταστήσασα εἰς τὰς χεῖ- 32. 1
ρας τὰς Ἰφικράτους, σὲ δὲ εἰς τὰ γόνατα τὰ ἐκείνου θεῖσα παιδίον ὄντα, εἶπεν, ὅτι Ἀμύντας ὁ πατὴρ τῶν παίδων τούτων, ὅτ' ἔζη, υἱὸν ἐποιήσατό σε, τῇ δὲ Ἀθηναίων πόλει οἰκείως ἐχρήσατο, ὥς τε συμβαίνει σοι καὶ ἰδίᾳ τῶν παιδίων τούτων γεγενῆσθαι ἀδελφῷ, καὶ δημοσίᾳ [1] φίλον ἡμῖν 5
εἶναι. καὶ μετὰ ταῦτα ἤδη δέησιν ἰσχυρὰν ἐποιεῖτο καὶ ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ αὐτῆς, καὶ ὑπὲρ τῆς ἀρχῆς, καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας. ἀκούσας δὲ ταῦτα Ἰφικράτης, ἐζήλασε Παυσανίαν ἐκ Μακεδονίας, καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε.

ιδ'. Καὶ μετὰ ταῦτα εἶπον περὶ Πτολεμαίου, ὃς ἦν ἐπίτροπος καθεστηκὼς τῶν πραγμάτων, ὡς ἀχάριστον καὶ δεινὸν ἔργον διεπράξατο, διδάσκων, ὅτι πρῶτον μὲν 10
ὑπὲρ Ἀμφιπόλεως ἀντέπραττε τῇ πόλει, καὶ πρὸς Θηβαίους διαφερομένων Ἀθηναίων, συμμαχίαν ἐποιήσατο. καὶ πάλιν ὡς Περδίκκας εἰς τὴν ἀρχὴν καταστὰς, ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησε τῇ πόλει, καὶ τὴν ὑμετέραν,
250 ἠδικημένων ὅμως, φιλανθρωπίαν λέγων, [2] διεξῄειν, ὅτι κρατοῦντες τῷ πολέμῳ Περδίκκαν, Καλλισθένους Ἀθηναίων ἡγουμένου, ἀνοχὰς πρὸς αὐτὸν ἐποιήσασθε, ἀεί τινος προσ- 15
δοκῶντες τῶν δικαίων τεύξεσθαι. καὶ τὴν διαβολὴν ταύτην ἐπειρώμην διαλύειν, διδάσκων, ὅτι Καλλισθένην ὁ δῆμος ἀπέκτεινεν, οὐ διὰ τὰς πρὸς Περδίκκαν ἀνοχὰς, ἀλλὰ δι' ἑτέρας [3] αἰτίας. καὶ πάλιν οὐκ ὤκνουν κατ' αὐτοῦ

[1] φίλῳ [2] διεξῄειν, λέγων, [3] ἁμαρτίας

Οἱ παρόντες πάντες] Οἱ παραγενόμενοι τότε. Notetur verborum et participiorum defectivorum multiplex usus, ὁ παρὼν, *qui adest, aderat, adfuit, adfuerat*, et subjunctivo *qui adsit, adesset, adfuerit, adfuisset*, etc. Idem.

Υἱὸν ἐποιήσατό σε] S. Ἰφικράτην. Et quo pacto adoptavit alium, cum tres filios haberet? Et cur ille non adiit hereditatem? Idem.

Φίλον] Fortasse φίλῳ. Brodæus. Ita Coisl. Reg. 2. et Mead. Taylor.

ιδ'. Καὶ μετὰ ταῦτα εἶπον] Τοῦ Καλλισθένους, opinor, potius quam contra Philippum. Wolf.

Πτολεμαίου] Ptolemæus ille erat, qui Alorites dicebatur, et, Amynta R. necato, regnum Macedoniæ occupaverat, et postea a Perdicca necatus est. Vid. Diodor. l. XVI. et Plutarchum in Pelopida. Palmer.

Καταστὰς] Lege κατασταθείς. Idem.

Φιλανθρωπίαν λέγων] Videsis annon præstet quod habent Codd. Parisienses cum Meadiano, τὴν ὑμετέραν, ἠδικημένων ὅμως, φιλανθρωπίαν διεξῄειν, λέγων ὅτι κ. τ. λ. Taylor.

Διαβολὴν ταύτην] *Hanc calumniam*, i. e. quæ de hac referebatur. Auger.

Καὶ πάλιν κ. τ. λ.] F. καὶ πάλιν οὐκ

[1] λέγειν, Φιλίππῳ ἐπιτιμῶν, ὅτι τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου. καὶ πάντων ὧν ἂν εἴποιμι, μάρτυρας τὰς ἐκείνων ἐπιστολὰς παρειχόμην, καὶ τὰ ψηφίσματα τοῦ δήμου, καὶ τὰς Καλλισθένους ἀνοχάς. περὶ μὲν οὖν τῆς ἐξ ἀρχῆς κτήσεως τῆς χώρας, καὶ τῶν καλουμένων ἐννέα ὁδῶν, καὶ περὶ τῶν Θησέως παίδων, ὧν Ἀκάμας λέγεται φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν ταύτην, τότε μὲν ἥρμοττε λέγειν, καὶ ἐρρέθη ὡς ἐνεδέχετο ἀκριβέστατα· νυνὶ δὲ ἴσως ἀνάγκη συντέμνειν τοὺς λόγους. ἃ δὲ ἦν τῶν σημείων οὐκ ἐν τοῖς ἀρχαίοις μύθοις, ἀλλ' ἐφ' ἡμῶν γεγενημένα, τούτων ἐπιμνησθήσομαι. συμμαχίας γὰρ Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων συνελθούσης, εἷς ὢν τούτων Ἀμύντας ὁ Φιλίππου πατὴρ, καὶ πέμπων σύνεδρον, καὶ τῆς καθ' ἑαυτὸν ψήφου κύριος ὤν, ἐψηφίσατο Ἀμφίπολιν τὴν Ἀθηναίων συνεξαιρεῖν μετὰ τῶν ἄλλων Ἑλλήνων Ἀθηναίοις. καὶ [2] τοῦτο τὸ κοινὸν δόγμα τῶν Ἑλ-

[1] λέγειν Φιλίππου,

[2] τούτων

ὤκουν κατ' αὐτοῦ λέγειν Φιλίππου, ἐπιτιμῶν ὅτι etc. MARKLAND. αὐτοῦ nempe Φιλίππου. AUGER.

Ὅτι τὴν ἐκδοχὴν etc.] Ὅτι διεδέξατο τὸν πόλεμον. Hoc malo, quam ἀναμένειν ἢ προσδοκᾶν πόλεμον. Etsi Phavorinus ἐκδοχὴν etiam ἀναμονὴν καὶ προσδοκίαν interpretatur. WOLF.

Ἐκείνων] Nempe, *Macedonum ex familia Philippi.* AUGER.

Παρειχόμην] Arridet παρεσχόμην. BRODÆUS.

Ἐννέα ὁδῶν] Τουτέστιν Ἀμφιπόλεως, quæ prius ita vocabatur. IDEM.

Φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν ταύτην] Lego. Et ὡς ἐνεδέχετο, [Nam Aldus ἐνδέχετο] ἀντὶ τοῦ, ὡς οἷόν τε ἦν. WOLF. ταύτην cum Wolfio Codd. Regii tres. Vulgo αὐτήν. TAYLOR.

Γυναικὶ] Phyllidi. Tzetzes in Lycophronem: Ἀκάμας δὲ βουλόμενος ἐλθεῖν ἐς τὴν πατρίδα, πολλὰ δεηθεὶς περὶ Φυλλίδος, et reliqua. Ovidius Demophontem Acamantis fratrem Phyllidem dilexisse tradit. BRODÆUS.

Τούτων ἐπεμνήσθην] Sententia postulat ἐπιμνησθήσομαι, futurum. WOLF. Certe ἐπεμνήσθην, quæ est Stephani lectio, et Codd. consensu approbata, non erat rejicienda, uti liquet ex tenore loci, παρεσχόμην p. 98. l. 2. ἔφην l. 4. TAYLOR.

Κύριος ὤν] Significat, opinor, quantum in ipso Amynta fuerit, et in uno illius suffragio situm, restitutam fuisse Atheniensibus Amphipolim: de qua plura annotavi in Philippicam Isocratis. WOLF.

Ἐψηφίσατο] Ex sequentibus patet legendum ἀπεψηφίσατο. PALMER.

Ἀμφίπολιν τὴν Ἀθηναίων] S. οὖσαν. WOLF.

Συνεξαιρεῖν——Ἀθηναίοις] Opem ferendam Atheniensibus ad urbem expugnandam. Sed in Epistola, quæ in Orationes Demosthenis relata est, qua bellum Atheniensibus indicit, Philippus Amphipoleos jus argute sibi vendicat. Utut est, Amphipoli amissa, Demosthenes Philippum se ne domi quidem tuto mansurum existimare affirmat. Sic autem solent homines, ut ea quæ sibi expedire putant, tanquam justissima defendant: adeo ut Isocrates affirmet, urbes neque juris, neque fœderum, neque ullius rei, nisi utilitatis solius, rationem habere. IDEM.

Καὶ τοῦτο τὸ κοινὸν] Sic ordinanda verba sunt: καὶ τοῦτο τὸ δόγμα τῶν Ἑλλήνων, καὶ τοὺς ψηφισαμένους παρειχόμην μάρτυρας, ἐκ τῶν δημοσίων γραμμάτων. Intelligendi autem testes ii sunt, quorum nomina decreto inscripta legebantur, κατὰ συνεκδοχὴν, ἢ μεταφορὰν, ἢ κατάχρησιν. Testis enim proprie homo est: literæ, aliæve res similitudine quadam testes appellan-

251 λήνων, καὶ τοὺς ψηφισαμένους, ἐκ τῶν δημοσίων γραμ- 30
μάτων μάρτυρας παρεσχόμην. ὧν δὲ Ἀμύντας ἀπέστη ὁ
Φιλίππου πατὴρ ἐναντίον τῶν Ἑλλήνων ἁπάντων, οὐ μό-
νον λόγοις, ἀλλὰ καὶ ψήφῳ, τούτων, ἔφην ἐγώ, σὲ τὸν ἐξ
ἐκείνου γεγενημένον, οὐκ ἔστι δίκαιον ἀντιποιεῖσθαι. εἰ
δ' ἀντιποιῇ, κατὰ πόλεμον λαβὼν, εἰκότως ἔχειν, εἰ μὲν
πρὸς ἡμᾶς πολεμήσας, δορυάλωτον τὴν πόλιν εἶλες, κυρίως
ἔχεις, τῷ τοῦ πολέμου νόμῳ κτησάμενος· εἰ δ' Ἀμφιπο-
λίτας ἀφείλου τὴν Ἀθηναίων πόλιν, οὐ τὰ ἐκείνων ἔχεις, 35
ἀλλὰ τὴν Ἀθηναίων χώραν.

ιέ. Ῥηθέντων [1] δὲ τούτων καὶ ἑτέρων λόγων, ἤδη καθῆ-
κεν εἰς Δημοσθένην τὸ τῆς πρεσβείας μέρος, καὶ πάντες
προσεῖχον ὡς ὑπερβολάς τινας δυνάμεως ἀκουσόμενοι λό-
γων. καὶ γὰρ πρὸς αὐτὸν τὸν Φίλιππον — ὡς ἦν ὕστερον
ἀκούειν —, καὶ πρὸς τοὺς ἑταίρους αὐτοῦ, ἐξηγγέλθη ἡ
τῶν ἐπαγγελιῶν ὑπερβολή. οὕτω δὲ ἁπάντων διακειμένων 40
πρὸς τὴν ἀκρόασιν, φθέγγεται τὸ θηρίον τοῦτο προοίμιον
σκοτεινόν τε καὶ τεθνηκὸς δειλίᾳ, καὶ μικρὸν προαγαγὼν
ἄνω τῶν πραγμάτων, ἐξαίφνης ἐσίγησε καὶ διηπορήθη·

[1] δὲ καὶ τούτων

tur, quod idem efficiant quod testes, fidemque narrationi concilient. IDEM. F. τούτου τὸ κοινὸν δόγμα, *hujus rei*, ut §. κθ'. καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι. Vide et §. λή. fin. MARKLAND.

Φιλίππου] M. σου, quia hic est oratio directa ad Philippum. Deinde, ἐναντίων. AUGER.

Γεγενημένον] Γεγεννημένον. MARKLAND.

Εἰ δ' ἀντιποιῇ] Totus hic locus obscuritate laborat, neque multum ab Interprete juvatur. Sententia videtur esse hujusmodi: sc. *Cum urbem Amphipolim tibi vindicas, vi et armis expugnatam, recte vindicas, modo cum Atheniensibus bellum gessisses, ad quos sc. ea Civitas pertinet: Nunc vero Tu non nobiscum, sed cum Amphipolitanis, colonis nostris, decertasti. Proinde non* illorum *habes urbem, jure belli partam, sed Atheniensium; ab Amphipolitanis quidem eripuisti, verum non quod illorum fuerat, sed quod alienam ad ditionem spectabat.* Ultimum membrum Orationis Cl. Marklandus ita vertit: *Sed si abstulisti Amphipolitas Atheniensibus, non ea* etc. TAYLOR. L. προσποίη, *contendis.* AUGER.

ιέ. Οὕτω δὲ] Rectius, uti Scaliger monet, οὕτω δή. TAYLOR.

Σκοτεινὸν] Ἀσαφὲς recte exponit probus noster Scholiastes. Cum ergo Cod. Mead. ἀσαφῆ etiam habeat supra scriptum, similiter pro glossa accipio. Tzetzes interea non vocem σκοτεινὸν, sed illam alteram, τεθνηκὸς (quod non debuit) ista interpretatione donat, Chil. XII. 579.

Καὶ ὁ Αἰσχίνης τεθνηκὸς τὸ ἀσαφές που λέγει. IDEM.

Τεθνηκὸς] Malim τεθνηκώς. BRODÆUS.

Καὶ μικρὸν προαγαγὼν] Scil. τὸν λόγον, ἢ τὸ προοίμιον. *Cum orationem humi repentem paulum ad res ipsas perduxisset.* WOLF.

Διηπορήθη] Aliud scilicet erat, magnanimi regis vultum intueri, aliud, eundem Athenis, applaudente vulgo, conviciis proscindere. Hoc est τῶν θρασυδείλων ῥητόρων ingenium, turpe quidem certe et flagitiosum. Quanquam probabile est, Demosthenem non male perorasse, cum Plutarchus scribat, Philippum summo

τελευτῶν δὲ ἐκπίπτει ἐκ τοῦ λόγου. ἰδὼν δὲ αὐτὸν ὁ Φί-
λιππος ὡς διέκειτο, θαῤῥεῖν τε παρεκελεύετο, καὶ μὴ νο-
μίζειν, ὥσπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο οἴεσθαί τι πε-
πονθέναι· ἀλλ' ἡσυχῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι,
33. 1 καὶ λέγειν ὡς προείλετο. ὁ δ', ὡς ἅπαξ ἐταράχθη, καὶ
τῶν γεγραμμένων διεσφάλη, οὐδ' ἀναλαβεῖν ἑαυτὸν ἠδυ- 252
νήθη· ἀλλὰ καὶ πάλιν λέγειν ἐπιχειρήσας, ταὐτὸν
ἔπαθεν.

ις'. Ὡς δὲ ἦν σιωπή, μεταστῆναι ἡμᾶς ὁ κήρυξ ἐκέ-
λευεν. ἐπειδὴ δ' ἐφ' ἡμῶν αὐτῶν οἱ συμπρέσβεις ἐγενόμεθα,
5 σφόδρα πάνυ σκυθρωπάσας ὁ χρηστὸς [1] οὗτος Δημοσθέ-
νης, ἀπολωλεκέναι μὲ ἔφη τὴν πόλιν καὶ τοὺς συμμά-
χους. ἐκπλαγέντος δὲ οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ τῶν
συμπρέσβεων ἁπάντων, καὶ τὴν αἰτίαν πυνθανομένων, δι'
ἣν ταῦτ' εἶπεν, ἤρετό με, εἰ τῶν Ἀθήνησι πραγμάτων
ἐπιλέλησμαι, καὶ τὸν δῆμον καταπεπονημένον, καὶ σφό-
δρα ἐπιθυμοῦντα τῆς εἰρήνης, εἰ μὴ μέμνημαι. ἢ μέγα
10 φρονεῖς, ἔφη, ἐπὶ ταῖς ἐψηφισμέναις μὲν πεντήκοντα ναυ-
σὶν, οὐδέποτε δὲ πληρωθησομέναις; οὕτω γὰρ ἠρέθικας
Φίλιππον καὶ τοιαῦτα εἴρηκας, ἐξ ὧν οὐκ εἰρήνη γένοιτ'
ἂν ἐκ πολέμου, ἀλλ' ἐξ εἰρήνης πόλεμος ἀκήρυκτος. ἀρχο-

[1] οὗτοσὶ

studio ejus Orationi respondisse, ceteris autem in rebus, nequaquam pari humanitate ac benignitate erga illum esse usum. Fabula igitur hæc Æschinis ad exagitandum adversarium et judices exhilarandos, et ab accusatione abducendos pertinere videtur. IDEM. Sæpe id accidit Demostheni, si Plutarcho fides, quem consuli velim in tractatulo, *Quomodo quis in virtute* etc. TAYLOR.

Θαῤῥεῖν τε] Humanitatis plena oratio, non tamen abhorrens a faceta derisione, ac ne injusta quidem. WOLF.

Νομίζειν] Π. πλεονάζει τὸ νομίζειν ἢ τὸ οἴεσθαι. STEPHANUS.

Διὰ τοῦτο] *Propter hoc quod ipsis acciderat.* Deinde deleo οἴεσθαι. AUGER.

Οἴεσθαί τι πεπονθέναι] Histrio explodebatur, si aberrasset, aut conticuisset. Alia est ratio oratoris de rebus gravissimis disserentis. Quanquam plerique quid aliud sunt quam histriones? cum ea dicant, quæ nec sentiant, nec credant, nec probant: sed ea, quæ vel metus cogit, vel suadet utilitas, vel dictat ambitio. WOLF.

Τῶν γεγραμμένων διεσφάλη] Misera conditio est oratoris tardi, timidi, obliviosi. Quare qui celeritate ingenii, audacia, memoria destituuntur: alias res agant, et Isocratis institutum sequantur, qui se intra privatos parietes continere, quam tam ancipitem aleam jacere maluit. IDEM.

Γεγραμμένων] Quasi Demosthenes nihil nisi multo ante compositum domi ac diu meditatum eloqui posset, ex tempore ne verbum quidem. Demosthenes κατὰ Μειδίου. Ἐγὼ δ' ἐσκέφθαι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ, καὶ οὐκ ἂν ἀγνοεῖν. Consule in ejus vita Plutarchum. BRODÆUS.

Διεσφάλη] Γρ. παρεσφάλη, Schol. TAYLOR.

Οὐδ' ἀναλαβεῖν] *Ne colligere quidem sese.* Οὐδὲ hic non est συναπτικὸν, ἀλλ' ἐλαττωματικόν. WOLF.

ις'. Ἐφ' ἡμῶν αὐτῶν——ἐγενόμεθα] *Cum soli essemus et sine arbitris.* IDEM.

Καταπεπονημένον] *Afflictum, exhaustum ærumnis.* IDEM.

Πόλεμος ἀκήρυκτος] Pro magno bello. SALMAS.

μένου δέ μου πρὸς ταῦτα ἀντιλέγειν, ἐκάλουν ἡμᾶς οἱ ὑπηρέ-
ται οἱ τοῦ Φιλίππου. ὡς δ' ἤλθομεν καὶ ἐκαθεζόμεθα, ἐξ
ἀρχῆς πρὸς ἕκαστον τῶν εἰρημένων ἐνεχείρει τι λέγειν ὁ Φί-
λιππος, πλείστην δὲ εἰκότως ἐποιήσατο διατριβὴν πρὸς 15
τοὺς ἐμοὺς λόγους,— ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν,
ὡς γε οἶμαι, παρέλιπον —, καὶ πολλάκις μου τοὔνομα ἐν
τοῖς λόγοις ὠνόμαζε, πρὸς δὲ Δημοσθένη, τὸν οὕτω κατα-
γελάστως ἀπαλλάξαντα, οὐδ' ὑπὲρ ἑνός, οἶμαι, διελέχθη.
253 τοῦτο δὲ ἄρα ἦν ἀγχόνη καὶ λύπη τούτῳ. ἐπειδὴ δὲ κατέ-
στρεψεν εἰς φιλανθρωπίαν τοὺς λόγους Φίλιππος, καὶ τὸ
συκοφάντημα, ὃ προειρήκει κατ' ἐμοῦ πρὸς τοὺς συμπρέ- 20
σβεις οὗτος, ὡς ἐσομένου πολέμου καὶ διαφορᾶς αἰτίου, διέ-
πιπτεν αὐτῷ, ἐνταῦθα ἤδη καὶ παντελῶς ἐξιστάμενος
αὐτοῦ καταφανὴς ἦν· ὥστε καὶ κληθέντων ἡμῶν ἐπὶ [1] ξενίᾳ, δεινῶς ἀσχημονεῖν.

ιζ'. Ἀφορμώντων δ' ἡμῶν οἴκαδε ἐκ τῆς πρεσβείας, ἐξαίφνης κατὰ τὴν ὁδὸν παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο. ὅ,τι μὲν [2] οὖν ἦν ποθ' ὁ κέρκωψ, ἢ τὸ καλούμενον παιπάλημα, ἢ τὸ παλίμβολον, ἢ τὰ τοιαῦτα 25

[1] ξένια

[2] οὖν δήποτ' ἦν ὁ

Οὐδὲ τῶν ἐνόντων εἰπεῖν] Τῶν ἐνδεχομένων ἢ δυναμένων λέγεσθαι περὶ τῶν πραγμάτων. Wolf.

Τῶν ἐνόντων εἰπεῖν] *Quæ dicere oportebat.* Brodæus.

Ἀπαλλάξαντα] Ἀντὶ τοῦ ἀπαλλαγέντα τοῦ λέγειν. Wolf.

Οὐδ' ὑπὲρ ἑνός] Aliter Plutarchus, τὸν Φίλιππον μετὰ πλείστης ἐπιμελείας ἀντειπεῖν περὶ τῶν Δημοσθένους λόγων. Idem.

Ἀγχόνη] Ἀγχονὴ Codd. Mor. et Mead. retracto accentu in ultimam syllabam. Similia tradunt magistri. Ad illa Aristophanis Acharn. 125.

——— Ταῦτα δῆτ' οὐκ ἀγχόνη;

hæc habet Scholiastes vetus: Ἡ διαφορὰ τοῦ ῥήματος ἐν τῷ τόνῳ. βρυτόνως μὲν γάρ, τὸ εἶδος τοῦ πάθους· βαρυτόνως δὲ, τὸ σχοινίον καὶ ὁ βρόχος. Quæ solidissime refutat H. Steph. Thes. Gr. T. I. col. 53. ubi huic Æschinis loco nonnullam lucem immittit. Taylor.

Διαφορᾶς] Unus e Codd. Regiis addit ἀντὶ εἰρήνης: Et omnes pariter cum Meadiano habent, loco τοῦ, αἰτίου, ἐκ τοῦ ἐναντίου. Idem.

Διέπιπτεν αὐτῷ] *Excidisset ei, ademptum esset.* Wolf.

Ἐπὶ ξενίᾳ] Vide annon præstat ἐπὶ ξένια? ut Cod. Mead. Ita infra §. νά. Ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν συμπρέσβεων. Et mecum sentit Stephanus in Thesauro. Corrige pariter Jul. Pollucem Lib. VIII. cap. XI. §. 138, qui hoc mendo laborat. Video tamen hæc non placere Brodæo, qui exadversum stat, ἐπὶ ξενίᾳ inquit ille, non ξένια. Diodorus enim L. 13. ἅπαντας τοὺς ξένους καλεῖ ἐπὶ ξενίᾳ. Taylor.

ιζ'. Ὅτι μὲν οὖν ἦν ποθ' ὁ κέρκωψ etc.] Κέρκωπες, πονηροὶ, πίθηκοι, πανοῦργοι. Notum est Proverbium, Κέρκωπες. V. *Caudatus, pollen, versipellis.* Παλιμβολία, εὐμετάβλητος γνώμη, παλίμβολος, ἀβέβαιος. ἄπιστος, ἀδόκιμος, ἀνελεύθερος, ἐναντιόβολος, ἐναντιογνώμων, τρίπρατος, παρὰ τὸ πάλιν βάλλεσθαι. Wolf.

Παιπάλημα] Παιπάλη, τὸ λεπτομερὲς τοῦ ἀλεύρου, πανοῦργον, ποικίλον ἐν κακίᾳ, πολλὰς ἐκτροπὰς καὶ δίδους ἔχον, nequam. Plutarchus citat Iambicum trimetrum

Ὦ παιπάλημα λυγκὸς αἰολώτερον.

[Certe in Sermone de Poetis audiendis

ῥήματα, οὐκ ᾔδειν πρότερον· νυνὶ δὲ ἐξηγητὴν τοῦτον λαβὼν τῆς πάσης κακοηθείας, μεμάθηκα. διαλαμβάνων γὰρ ἕκαστον ἡμῶν ἐν μέρει, τῷ μὲν ἔρανον [1] εἰσοίσειν ἐπηγγέλλετο, καὶ βοηθήσειν τοῖς ἰδίοις, τὸν δὲ εἰς στρατηγίαν καταστήσειν, ἐμοὶ δὲ παρακολουθῶν, καὶ τὴν φύσιν μακαρίζων, καὶ τοὺς λόγους, οὓς εἶπον, ἐγκωμιάζων, πολὺς [2] ἦν τοῖς ἐπαίνοις καὶ ἐπαχθής.

30 ιή. Συνδειπνούντων δ' ἡμῶν ἁπάντων ἐν Λαρίσσῃ, εἰς αὐτὸν μὲν ἔσκωπτε, καὶ τὴν ἀπορίαν, τὴν ἐν τῷ λόγῳ συμβᾶσαν ἑαυτῷ· τὸν δὲ Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων εἶναι δεινότατον. συναποφηναμένου δὲ κἀμοῦ τι τοιοῦτον, ὡς μνημονικῶς εἴποι πρὸς τὰ παρ' ἡμῶν ῥηθέντα, Κτησιφῶντος δὲ, ὅσπερ ἦν ἡμῶν πρεσβύτατος, ὑπερβολήν τινα ἑαυτοῦ παλαιότητος καὶ πλήθους 254
35 ἐτῶν εἰπόντος, καὶ προσθέντος, ὡς ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ, οὐ πώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον ἑωρακὼς εἴη, ἀνακροτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας, ταῦτα μέν τοι, ἔφη, ὦ Κτησιφῶν, οὔτ' ἂν σὺ πρὸς τὸν δῆμον εἴποις, οὔτ' ἂν οὗτος — ἐμὲ δὴ λέγων — τολμήσειεν εἰ-

[1] συστήσειν

[2] ἦν ἐν τοῖς

scribitur

Ὦ μηχάνημα λυγκὸς αἰολώτερον.] Non ignoravit utique Æschines ipsorum verborum vim, sed exemplo Demosthenis edoctus, ea rectius intellexit, γενομένων αὐτῷ παθημάτων, μαθημάτων. Ego liberius verti, *Quid igitur esset Cercops, aut Vertumnus, aut Chamæleo*, etc.; quod commoda verba, quæ Græcis responderent, non occurrebant. Idem.

Ibid.] Hæc omnia vafritiæ sunt vocabula et summæ astutiæ; qualia sunt illa apud Aristoph. Av. 428. quæ hic non incommode citari possunt:

ΧΟ. Ἔνι σοφόν τι καὶ φρενί;
ΕΠ. Πυκνότατον κίναδος,
Σόφισμα, κύρμα, τρίμμα, παιπάλημ' ὅλον.

Bina conjungit Synesius in libro de Providentia, ut mulierculam quandam crudelius dilacerare posset, quam παιπάλημα κερκωπεῖον appellat. Verum hæc omnia melius disces a Lexicis, vel a Scholiaste nostro non inerudito. Taylor.

Διαλαμβάνων] *Seducens, seorsim convenienis, per vices adiens.* Wolf.

Ἔρανον συστήσειν] *Curaturum ut ei collecta penderetur.* Etsi fortasse legendum, ἔρανον εἰσοίσειν, aut συνεισοίσειν. V. *collectam constituturum.* Idem.

Καὶ βοηθήσειν τοῖς ἰδίοις] Ἐκ τῶν ἰδίων. Est enim δοτικὴ ὀργανική, οὐχὶ δὲ μεταληπτική. Wolf. Et in ea fere mente est Brodæus. Taylor. Wolfius: *et de suo laturum.* Hoc fuisset ἐκ τῶν ἰδίων. Vertendum, *rebus* ejus *privatis*, rei familiari. Markland.

Ἦν τοῖς ἐπαίνοις] Ἦν ἐν τοῖς ἐπαίνοις Codd. Regg. 1. et 3. ut pulcre divinaverat Cl. Marklandus restituendum esse. Taylor.

ιή. Ὑπερβολήν τινα ἑαυτοῦ παλαιότητος] Ita solent senes admentiri aliquid ætati suæ, ut quidam, qui in aula Episcopi Wircepurgensis, se decem annos amplius quam natus erat, serviisse, non animadversa proportione servitutis et ætatis, quam collegæ illi ostendebant, jactavit. Itaque principem tenebat locum in commentario mendaciorum, quem festivi homunculi ad Luciani verarum narrationum imitationem instituerant. Wolf.

Σίσυφος] Brodæus in quodam loco ad Antholog. in literatorem quendam invehitur, qui, hoc scommate non intellecto, Σίσυφος in σύμψηφος mutatum voluit. Illud est conjectare! Taylor.

πεῖν πρὸς Ἀθηναίους, ὡς [1]ἦν ὁ Φίλιππος δεινὸς εἰπεῖν, καὶ μνημονικός. ἀναισθήτως δὲ ἡμῶν ἐχόντων, καὶ τὴν ἐπιβουλὴν οὐ προορωμένων, ἣν αὐτίκα ἀκούσεσθε, εἰς συνθήκην τινὰ ἡμᾶς κατέκλεισεν ὑπὲρ τοῦ ταῦτ' ἐρεῖν πρὸς ὑμᾶς, ἐμοῦ δὲ καὶ δέησίν τινα ἰσχυρὰν ἐδεήθη, μὴ παραλιπεῖν, ἀλλ' εἰπεῖν, ὡς ὑπὲρ Ἀμφιπόλεώς τι καὶ Δημοσθένης εἴποι. μέχρι μὲν οὖν τούτων οἱ συμπρέσβεις εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων οὗτος καὶ διαβάλλων ἐν τῇ κατηγορίᾳ διατετέλεκε· τῶν δ' ἐπὶ τοῦ βήματος παρ' [2]ἡμῖν λόγων ὑμεῖς ἀκηκόατε. ὡς τε οὐκ ἐνέσται μοι ψευδεσθαι.

ιθ'. Δέομαι δὲ ὑμῶν προσεπιπονῆσαι ἀκούοντας καὶ τὴν λοιπὴν διήγησιν. ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκούειν, καὶ τὰς περὶ Φωκέων αἰτίας, σαφῶς οἶδα, καὶ πρὸς ταῦτα σπεύδω. ἀλλ' ἐὰν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ' ἐκείνοις ὁμοίως παρακολουθήσετε· ἐὰν δ' ἐμοὶ τῷ κινδυνεύοντι, εἰπεῖν δῶτε ὡς βούλομαι, καὶ σῶσαί με, εἰ μηδὲν ἀδικῶ, δυνήσεσθε, ἱκανὰς εἰληφότες ἀφορμὰς, καὶ [3]θεάσεσθε ἐκ τῶν ὁμολογουμένων καὶ τὰ ἀντιλεγόμενα. ὡς γὰρ δεῦρ' ἤλθομεν, καὶ πρὸς τὴν βουλὴν ἐπὶ κεφαλαίων τὴν πρεσβείαν ἀπηγγείλαμεν, καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ Φιλίππου, ἐπαινέτης ἦν ἡμῶν Δημοσθένης πρὸς τοὺς βουλεύοντας, καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν, συγχαίρειν τῇ πόλει, ὅτι τοιούτους ἄνδρας ἐπὶ τὴν πρεσβείαν ἐξέπεμψεν, οἳ καὶ τοῖς λόγοις,

34. 1

5

10

[1] [ἦν] [2] ὑμῖν [3] θεάσασθαι

Ὡς ἦν ὁ Φ.] M. ἔστι. AUGER.

Ἀναισθήτως κ. τ. λ.] Οὐκ αἰσθομένων, οὐδὲ καταλαβόντων τὴν διάνοιαν τῶν ὑπ' αὐτοῦ λεγομένων. WOLF.

Τοῦ ταῦτ' ἐρεῖν] Utrum ταῦτα, an ταὐτά? *Hæc*, quæ de Amphipoli dixerit Demosthenes, an *eadem?* IDEM. Responsum feret Vir doctissimus, si consulet p. 101. l. 10. et l. 15. TAYLOR. Post τοῦ F. deest μή. MARKLAND.

Ἡμῖν] Non inscitum admodum est, quod voluit Scaliger, παρ' ἡμῶν. Omnes tamen fere libri nostri Coisl. Regg. 1. 2. 3. Mead. παρ' ὑμῖν. Atque ita olim conjecerat Marklandus. TAYLOR. τινὲς διορθοῦσι, παρ' ὑμῖν. STEPHANUS. παρ' ὑμῖν. BRODÆUS. L. παρ ὑμῖν. AUGER.

ιθ'. Θεάσασθε] Lego θεάσεσθε, ut δυνήσεσθε. WOLF. BRODÆUS. Unde Stephanus δ. τ. θεάσεσθε, ὡς εἶπε, δυνήσεσθε. Sed legendum potius θεάσασθαι, uti dudum correxeram, et habet Cod. Bern. qui etiam δυνήσεσθαι exhibet, verum non pari felicitate. TAYLOR. Θεάσασθαι, (ut σῶσαι) si ita ferant Codd. MARKLAND. γρ. δυνήσασθαι et θεάσασθαι. Scal. *Et edit.* BROOK.

Ἑστίαν — βουλαίαν] Erat enim in Senatu Vestæ Ara. Xenoph. Hellenic. ζ. et Diodor. 18. Quod Antipho περὶ τοῦ Χορευτοῦ. Καὶ εἰσιόντες τὸ βουλευτήριον, καὶ ἐν αὐτῷ βουλευτηρίῳ Διὸς Βουλαίου καὶ Ἀθηνᾶς Βουλαίας ἱερόν ἐστι. BRODÆUS.

καὶ τῇ πίστει, [1] καὶ πράττοντές τε καὶ λέγοντες ἄξιοι ἦσαν τῆς πόλεως· ὑπὲρ ἐμοῦ δὲ εἴπῃ τί τοιοῦτον, ὡς οὐ ψευσαίμην τὰς τῶν ἑλομένων μὲ ἐπὶ τὴν πρεσβείαν ἐλπίδας. τέλος δὲ [2] πάντων, ἔγραψεν ἡμᾶς στεφανῶσαι θαλλοῦ στεφάνῳ ἕκαστον, εὐνοίας ἕνεκα τῆς εἰς τὸν δῆμον, καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον. ὅτι δ' οὐδὲν ψεῦδος εἴρηκα πρὸς ὑμᾶς, λαβέτω μοι τὸ ψήφισμα ὁ γραμματεὺς, καὶ τὰς τῶν συμπρέσβεων μαρτυρίας ἀναγνώτω.

ΨΗΦΙΣΜΑ ΒΟΥΛΗΣ Ο ΔΗΜΟΣΘΕΝΗΣ ΕΙΠΕ. ΜΑΡΤΥΡΙΑΙ ΤΩΝ ΣΥΜΠΡΕΣΒΕΩΝ ΠΕΡΙ ΤΩΝ ΕΙΡΗΜΕΝΩΝ.

κ'. Ἐπειδὴ τοίνυν ἀπηγγέλλομεν τὴν πρεσβείαν ἐν τῷ δήμῳ, εἶπε παρελθὼν πρῶτος ἡμῶν διὰ τὴν ἡλικίαν Κτησιφῶν, ἄλλους τέ τινας λόγους, καὶ τοὺς πρὸς Δημοσθένην αὐτῷ συγκειμένους ὑμῖν ἐρεῖν, περί τε τῆς ἐντεύξεως [3] τοῦ Φιλίππου, καὶ τῆς ἰδέας αὐτοῦ, καὶ τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος. καὶ μετὰ τοῦτον Φιλοκράτους εἰπόντος μικρὰ, καὶ Δερκύλλου, παρῆλθον ἐγώ. ἐπειδὴ δὲ τὴν ἄλλην διεξῆλθον πρεσβείαν, ἀπήντησα καὶ πρὸς τὸν λόγον, ὃν ἐν τοῖς συμπρέσβεσι διωμολογησάμην· εἰπὼν, ὅτι μνημονικῶς καὶ δυνατῶς ὁ Φίλιππος εἴποι, καὶ τὴν δέησιν 256

[1] Desunt καὶ πράττοντές τε καί. [2] πάνταν. ἔ. γὰρ ἡ. στεφανῶσαι, [3] τῆς

Καὶ τῇ πίστει λέγοντες] Videtur addendum πράττοντές τε καὶ λέγοντες. WOLF. Istud καὶ in impressis ante πράττοντες, non est necessarium, et delevit Marklandus. TAYLOR.

Ἡμᾶς] Π. ἡμῶν, ἵνα φέρηται πρὸς τὸ, ἕκαστον. ἢ δεῖ γραφεῖν ὑμᾶς. STEPHANUS.

Θαλλοῦ στεφάνῳ] Ἐπὶ μόνης ἐλαίας ἰδιάζουσι τὴν λέξιν. Corona de sacra Minervæ olea. Qui honos Athenis insignis habebatur. WOLF.

ΨΗΦΙΣΜΑ ΒΟΥΛΗΣ] S. C. DEMOSTHENE REFERENTE, vel, IN SENTENTIAM DEMOSTHENIS FACTUM. WOLF. Sufficit habere ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ. Cetera sunt scioli et literatoris. TAYLOR.

Ἐπὶ δεῖπνον] Ἐπὶ τὸ δεῖπνον. Scal. *Et edit.* BROOK.

κ'. Αὐτῷ συγκειμένους] Τὸ αὐτῷ redundare videtur, aut legendum, καὶ ἡμῖν, aut αὐτόν. συγκειμένους autem τοὺς ὡμολογημένους, *ea quæ pepigeramus, pacta et conventa.* WOLF. Sensus ita procedit: *Dixit Ctesipho præter alia, tum ea de quibus convenerat inter eum et Demosthenem, se apud vos dicturum, scilicet de affabilitate* etc. Errat idem Wolfius in interpretando, cum vertit, *item* de affabilitate etc. TAYLOR. Ἡμῖν ἐρεῖν placet ὑμῖν. BRODÆUS.

Τόποις] [Ita Edit. Ald.] Lego πότοις: quia alibi dicitur, κάλλιστος καὶ δεινότατος εἰπεῖν, καὶ νὴ Δία, καὶ ἱκανώτατος συμπιεῖν. WOLF. Et similiter BRODÆUS. πότοις γρ. λόγοις Cod. Bern. TAYLOR. Πρ. γρ. τόποις. Ἀλλὰ λέγεται ἀλλαχοῦ, κάλλιστος καὶ δεινότατος εἰπεῖν, καὶ, νὴ Δία, καὶ ἱκανώτατος συμπιεῖν. STEPHANUS.

οὐκ ἐπελαθόμην τὴν Δημοσθένους, ὅτι ταχθείη λέγειν, ἐάν τι παραλίπωμεν ἡμεῖς, ὑπὲρ Ἀμφιπόλεως. ἐφ' ἅπασι 25
δ' ἡμῖν ἀνίσταται τελευταῖος Δημοσθένης, καὶ τερατευσάμενος, ὥσπερ εἴωθε, τῷ σχήματι, καὶ τρίψας τὴν κεφαλὴν, ὁρῶν ἐπισημαινόμενον τὸν δῆμον, καὶ δεδεγμένον τοὺς παρ' ἐμοῦ λόγους, ἀμφοτέρων ἔφη θαυμάζειν, καὶ τῶν ἀκουόντων, καὶ τῶν πρεσβευσάντων, ὅταν παρέντες τὸν χρόνον, οἱ μὲν τὸν τοῦ βουλεύσασθαι, οἱ δὲ τὸν τοῦ συμβουλεύειν, ἀποδιατρίβωσι, τὴν ὑπερόριον λαλιὰν ἀγαπῶντες ἐν τοῖς οἰκείοις πράγμασιν· οὐδὲν γὰρ εἶναι ῥᾷον ἢ 30
πρεσβείαν ἀπαγγεῖλαι.

καί. Βούλομαι δ' ὑμῖν, ἔφη, καὶ ἐπιδεῖξαι ὡς δεῖ τὸ πρᾶγμα γίνεσθαι. ἅμα δ' ἐκέλευσεν ἀναγνωσθῆναι τὸ ψήφισμα τοῦ δήμου. ἀναγνωσθέντος δὲ, εἶπεν, ὅτι κατὰ τοῦτο ἐξεπέμφθημεν, καὶ ταῦτα ἐπράττομεν, ἃ ἐνταυθοῖ γέγραπται. λάβε δή μοι καὶ τὴν ἐπιστολὴν, ἣν ἤκομεν παρὰ Φιλίππου φέροντες. ἐπειδὴ δὲ ἀνεγνώσθη, ἀπέ- 35
χετε, ἔφη, τὴν ἀπόκρισιν, καὶ λοιπὸν ὑμῖν ἐστὶ βουλεύσασθαι. θορυβησάντων δ' ἐπ' αὐτῷ, τῶν μὲν, ὡς δεινός τις εἴη καὶ σύντομος, τῶν δὲ πλειόνων, ὡς πονηρὸς καὶ φθονερὸς, καὶ σκέψασθε δὲ, ἔφη, ὡς συντόμως, καὶ τἆλλα
257 πάντα ἀπαγγελῶ. ἐδόκει μνημονικὸς καὶ δεινὸς εἶναι λέγειν Αἰσχίνης Φίλιππος; ἀλλ' οὐκ ἐμοί. ἀλλ' εἴ τις αὐτοῦ τὴν τύχην περιελὼν, ἑτέρῳ περιθείη, οὐκ ἂν πολύ τι καταδεὴς εἴη. ἐδόκει Κτησιφῶντι τὴν ὄψιν λαμπρὸς εἶναι; 40
ἐμοὶ δ' οὐ χείρων Ἀριστόδημος, ὁ ὑποκριτὴς, ὃς παρῆν ἡμῖν καὶ συνεπρέσβευε. μνημονικόν τις αὐτόν φησιν εἶναι; καὶ γὰρ ἕτεροι. συμπωιεῖν δεινὸς ἦν; ἀλλὰ Φιλοκράτης ὁ

Τερατευσάμενος —— τῷ σχήματι] Mirabiliter composito vultu et gestu. Actionem Demosthenis fuisse popularem, sed a viris gravibus improbatam, Plutarcho auctore didicimus. Wolf.

Τρίψας τὴν κεφαλὴν] Qui scalpunt uno digito caput, notantur ut molles. Sed caput scabere sollicitudinis interdum et molestiæ est indicium. Unde Horatius: *Sæpe caput scaberet, vivos et roderet ungues.* Wolf. Vid. Victor. Var. Lect. VIII. 6. Taylor.

Ἐπισημαινόμενον] *Gestientem, vultu et gestu approbantem.* Wolf. L. ἐπισημηνάμενον. Auger.

Δεδεγμένον] L. Ἀποδεδεγμένον. Scaliger. Auger.

Ἀποδιατρίβωσι] Διατρίβωσιν ἐν τοῖς παρέργοις, τῶν ἔργων ἀμελήσαντες. Wolf.

καί. Μνημονικὸς καὶ] Hæc duo verba deleo, quia inferius de memoria agitur. Auger.

Μνημονικὸν] Paulo ante de eo dixerat, μνημονικὸς, καὶ δεινὸς εἶναι λέγειν etc. Hic igitur scribendum forte ἡγεμονικὸν κ. τ. λ. Nisi hæc octo voces, μνημονικὸν —— ἕτεροι, sint ab aliena manu. Vide §. λϑ'. Markland.

μεθ' ἡμῶν δεινότερος. λόγον τίς φησιν ἐμοὶ καταλιπεῖν ὑπὲρ Ἀμφιπόλεως; ἀλλ' οὔτ' ἂν ὑμῖν ὁ ῥήτωρ οὗτος, οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη. ταῦτα μὲν οὖν λῆρός ἐστιν, ἔφη,
35. 1 ἐγὼ δὲ ψήφισμα γράψω, καὶ τῷ κήρυκι σπείσασθαι βούλομαι τῷ παρὰ Φιλίππου ἥκοντι, καὶ τοῖς μέλλουσι παρ' αὐτοῦ δεῦρο ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις [1] κελεύειν, ἐπειδὰν ἥκωσιν οἱ πρέσβεις, ἐκκλησίαν ἐπὶ δύο ἡμέρας ποιεῖν, μὴ μόνον ὑπὲρ εἰρήνης, ἀλλὰ καὶ περὶ συμμαχίας, καὶ τοὺς πρέσβεις ἡμᾶς, εἰ δοκοῦμεν ἄξιοι εἶναι, ἐπαινέσαι,
5 καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον. ὅτι δ' ἀληθῆ λέγω, λάβε μοι τὰ ψηφίσματα, ἵνα εἰδῆτε, ὦ ἄνδρες, καὶ τὴν ἀνωμαλίαν αὐτοῦ, καὶ τὸν φθόνον, καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοινωνίαν, καὶ τὸ ἦθος ὡς ἐπίβουλον καὶ ἄπιστον. κάλει δέ μοι καὶ τοὺς συμπρέσβεις, καὶ τὰς μαρτυρίας αὐτῶν ἀνάγνωθι, καὶ τὰ ψηφίσματα [2] Δημοσθένους.

ΨΗΦΙΣΜΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

10 οὐ τοίνυν μόνον ταῦτα ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα ἐν τῇ βουλῇ εἶπε, θέαν εἰς τὰ Διονύσια κατανεῖμαι τοῖς 258
πρέσβεσιν, ἐπειδὰν ἥκωσι, τοῖς Φιλίππου. λέγε καὶ τοῦτο τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

ἀνάγνωθι δὴ καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν, ἵν'

[1] Deest κελεύειν.

[2] τὰ Δημοσθένους. Ψηφισμα

Βούλομαι] Abest a MS. Mead. Et illud sane amplector. Ita quæ sequuntur vocem γράψω, erunt quodammodo verba ipsius Psephismatis. Infra §. κδ'. med. ἠναγκάσθη γράψαι ψήφισμα Κηφισοφῶν, ἐκκλεῖν Ἀντίοχον, καὶ ζητεῖν τὸν στρατηγόν. Sc. *id ipsum* ratum esse voluit, *ut navem solveret Antiochus et Imp. quæreret.* Ita §. λδ'. ὑπανέγνω τὸ ψήφισμα —— σπείσασθαι τῷ κήρυκι. Iterum ead. §. ἕτερον ἐπῆγε ψήφισμα, τὸ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆμον. Quod si mihi hæc concedas, præcidetur illa Wolfii conjectura, quæ mox sequitur. TAYLOR.

Καὶ τοὺς πρυτάνεις ἐπειδὰν] [Ita Editt.] Deesse videtur κελεύειν, ἐπειδὰν, etc. ut postea, παρανάγνωθι δή μοι καὶ τὸ τοῦ Δημοσθένους ψήφισμα, ἐν ᾧ κελεύει τοὺς Πρυτάνεις etc. WOLF. Dele κελεύειν, quod non legitur in vulgatis nec est necessarium, repetendo βούλομαι. AUGER.

Τὰς μαρτυρίας αὐτῷ] [Cum Aldo] αὐτῶν lege [cum Stephano]. WOLF. Ita Brodæus. TAYLOR.

Καὶ τὰ ψηφίσματα Δημοσθένους] Dele. Nam ea modo citaverat l. 11. Et satis apparet, quo casu hic ingeminarentur. Et notetur porro, has voces ΨΗΦΙΣΜΑΤΑ, ΜΑΡΤΥΡΙΑΙ, ΕΠΙΣΤΟΛΑΙ et similes, in MSto Meadiano, uti et olim pluribus accidisse arbitror, semper minio ad marginem pingi. Diversis itaque temporibus se in textum insinuarunt: et hic sane æquo nimium. IDEM.

εἰδῆτε, ὦ Ἀθηναῖοι, ὅτι Δημοσθένης οὐχ ὑπὲρ τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ ὁμοσπόνδους μελετᾷ.

ΜΑΡΤΥΡΙΑ. 15

κβ'. Τὴν μὲν τοίνυν [1]πραγματείαν τῶν ὑπὲρ τῆς εἰρήνης πράξεων, οὐκ ἐμὴν καὶ Φιλοκράτους, ἀλλὰ Δημοσθένους καὶ Φιλοκράτους εὑρήσετε, καὶ τὰς πίστεις τῶν εἰρημένων ἱκανὰς ὑμῖν [2]οἶμαι παρασχέσθαι. τῶν μὲν γὰρ ἀπηγγελμένων ὑμεῖς ἐστέ μοι μάρτυρες· τῶν δὲ ἐν Μακεδονίᾳ ῥηθέντων, καὶ τῶν κατὰ τὴν πορείαν ἡμῖν συμβάντων, τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην· τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας ἠκούσατε καὶ μέμνησθε, ἧς τὴν ἀρχὴν ἐποιήσατο ἀπὸ τῆς δημηγορίας, ἣν εἶπον περὶ τῆς εἰρήνης. πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας ἐψευσμένος, ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε. τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι, οὓς ἔπεμψαν πρὸς ἡμᾶς οἱ Ἕλληνες, μεταπεμφθέντες ὑπὸ τοῦ δήμου, ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι, Φιλίππῳ μετὰ Ἀθηναίων, καὶ τῆς εἰρήνης, εἰ τοῦτο εἶναι δοκοίη [3]σύμφορον, μετέχοιεν. 20 25

[1] κοινωνίαν [2] οἴομαι [3] συμφέρον

Μελετᾷ] *Declamationes meditatur.* Wolf.

ΜΑΡΤΥΡΙΑ] ΤΩΝ ΣΥΜΠΡΕΣΒΕΩΝ addit Marklandus. Taylor.

κβ'. Μαρτυρίαν] F. πραγματείαν. Wolf. Neque μαρτυρίαν placet, quod Impressi servant, neque πραγματείαν, quod Wolfius hariolatur, a nullo Codice adjutus. Ecquis vero ferre potest τῶν πράξεων πραγματείαν? Omnino restitui jubeo κοινωνίαν ex MSS. Bern. Mead. Coisl. et Reg. 2. et Brodæo denique. Eam utique vocem profligavit Librarius, alteramque (μαρτυρίαν nempe) substituit, utpote recens a simili vocabulo describendo. Modo p. 105. l. 13. τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοινωνίαν. Taylor. L. κοινωνίαν. Scalig. Auger.

Καὶ Φιλοκράτους] F. addendum οὖσαν εὑρήσετε. Et [l. 10.] τῶν κατὰ τὴν πορείαν ἡμῖν συμβάντων [quod Aldus mendose excuderat.] Wolf. εὑρήσετε Melius cum Mead. et Coisl. εὑρίσκετε. Taylor. M. εὑρίσκετε. Auger.

Παρασχέσθαι] F. [illegible]. Commodum hoc margini meo alleveram, et Bern. cum Regg. uno atque altero mihi animum addiderunt. Taylor.

Δεινῶς ἐσχετλίασε] Wolfius, *vehementer conquestus est.* Potius, *in terribiles angustias se conjecit.* Quod liquet ex sequentibus, τοὺς γὰρ λόγους κ. τ. λ. Jurin.

Τοὺς γὰρ λόγους τούτους] Vide Dem. §. ς'. sub finem. *Ex edit.* Brook.

Μεταπεμφθέντες] Potius μεταπεμφθέντας, *legatos —— a populo* accersitos. Ita Demosth. in hac ipsa causa §. ς'. fin. ταῦτα ὁ σχέτλιος καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν, ἐφεστηκότων τῶν πρέσβεων, —— οὓς ἀπὸ τῶν Ἑλλήνων μετεπέμψασθε. Taylor. M. μεταπεμφθέντας. Auger.

Καὶ τῆς εἰρήνης] Lego ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι —— ἢ τῆς εἰρήνης, εἰ τοῦτο εἶναι δοκοίη σύμφορον, μετέχοιεν. Taylor. Pro καὶ l. ἢ *vel.* Auger.

Σύμφορον] Lego συμφέρον. Jurin. Ita MS. Mead. Ita Scalig. Taylor. L.

σκέψασθε δὴ πράγματος μεγάλου κλοπὴν, καὶ δειλὴν
ἀναισχυντίαν ἀνθρώπου. τῶν γὰρ πρέσβεων, οὓς ἐξεπέμ- 259
ψατε εἰς τὴν Ἑλλάδα, ἔτι τοῦ πολέμου πρὸς Φίλιππον
ἡμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως, ὅτε ἐξε-
πέμφθησαν, καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα, ἐν τοῖς
δημοσίοις ἀναγέγραπται γράμμασι· τὰ δὲ σώματα αὐ-
30 τῶν ἐστὶν οὐκ ἐν Μακεδονίᾳ, ἀλλ' Ἀθήνησι· ταῖς δὲ ξενι-
καῖς πρεσβείαις ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους
προβουλεύει. οὗτος [1] δέ φησιν ἀπεστάλθαι τὰς παρὰ τῶν
Ἑλλήνων πρεσβείας. παρελθὼν τοίνυν, Δημόσθενες, ἐπὶ
τὸ βῆμα τοῦτο, ἐν τῷ ἐμῷ λόγῳ, εἰ τὲ πόλεως ἧς τινος
βούλει τῶν Ἑλληνίδων τοὔνομα, ἐξ ἧς ἀφῖχθαι τότε φῇς
τοὺς πρέσβεις, καὶ τὰ προβουλεύματα [2] περὶ αὐτῶν ἐκ
35 τοῦ βουλευτηρίου δὸς ἀναγνῶναι, καὶ τοὺς Ἀθηναίων κάλει
πρέσβεις, οὓς ἐξέπεμψαν ἐπὶ τὰς πόλεις, μάρτυρας· κἂν
παρεῖναι, καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖ-
το, μαρτυρήσωσιν, ἢ τὰς πρὸς τὴν βουλὴν αὐτῶν προσό-
δους καὶ τὰ ψηφίσματα ἂν [3] παράσχῃς, ἐν ᾧ σὺ φῇς ὄντα
χρόνῳ, καταβαίνω, καὶ θανάτου τιμῶμαι. ἀνάγνωθι δὴ
καὶ τὸ τῶν συμμάχων δόγμα τί λέγει. ἐν ᾧ διαῤῥήδην γέ-

[1] δὲ ἐφεστᾶναι παρὰ τ. Ἑ. φησὶ πρεσβείας [2] Deest περί. [3] παράσχῃ

συμφέρον. AUGER.

Μεγάλου κλοπὴν] L. Μεγάλην βουλήν. SCALIGER.

Ἀνθρώπου] F. τ' ἀνθρώπου. Vid. ad §. ιά. MARKLAND.

Ἐνεστηκότος] Πολεμουμένου ἔτι τοῦ πολέμου. WOLF.

Οἱ μὲν χρόνοι τῆς αἱρέσεως] Omisit Interpres. Voluit Auctor: *utrumque, et nomina legatorum, et tempus, quo designabantur, in publica reluta sunt monimenta.* Pro αἱρέσεως Scalig. ex divinatione, χειροτονίας. TAYLOR.

Ἀπεστάλθαι] Ἐφεστᾶναι Coisl. et Mead. Quod longe præstat. Alludit nimirum ad ipsa Demosthenis verba, quæ nuper ad aliam rem confirmandam allegavimus, ἐφεστηκότων τῶν πρέσβεων καὶ ἀκουόντων. IDEM.

Ἐν τῷ ἐμῷ λόγῳ] Demosthenes solet dicere, ἐν τῷ ἐμῷ ὕδατι, ut et aquam bibere solitus, non modo ad aquam dicere et scribere. Crimen Græcanicæ Legationis in Demosthenem retorquet Æschines in Oratione Ctesiphontea, quod Demosthenes refutat ab absurdo. *Si vos,* inquit, *simul et socios ad bellum vocabatis, et pacem cum Philippo faciebatis, Eurybati res illa, non Atheniensium, erat.* Tradunt autem Eurybatum Crœsi fuisse ducem, qui cum maximis copiis ab illo ad Cyrum defecerit. WOLF. ἐν τῷ ἐμῷ ὕδατι. SCALIG.

Τὰ προβουλεύματα αὐτῶν] F. addendum περὶ, vel, ὑπὲρ αὐτῶν. Paulo ante ait, ἡ βουλὴ ταῖς ξενικαῖς πρεσβείαις τὰς εἰς τὸν δῆμον προσόδους προβουλεύει. Et [l. antepen.] ἂν παράσχῃς. WOLF. Ubi Ald. et pariter Mead. παράσχῃ. MOR. et Steph. παράσχῃς. TAYLOR.

Ἐξέπεμψαν] F. ἐξεπέμψαμεν. IDEM.

Καὶ μὴ ἀποδημεῖν] Wolfius, *nec peregre profectos fuisse.* Immo, *nec peregre abesse.* Profecti enim fuerant, sed nondum redierant. JURIN. Verte, *Atheniensium legatos citato testes: qui, si se affuisse, non autem peregre abesse, testificati fuerint,* si *accessum eorum* etc. TAYLOR.

γραπται, ἐπειδὴ [1]βουλεύηται ὁ δῆμος ὁ Ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς Φίλιππον, οἱ δὲ πρέσβεις οὔπω πάρεισιν οὓς 40
ἐξεπεμψεν ὁ δῆμος εἰς τὴν Ἑλλάδα, παρακαλοῦντας τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων, δεδόχθαι τοῖς
260 συμμάχοις, ἐπειδὰν ἐπιδημήσωσιν οἱ πρέσβεις, καὶ τὰς πρεσβείας ἀπαγγείλωσιν Ἀθηναίοις, καὶ τοῖς συμμάχοις, προγράψαι τοὺς πρυτάνεις ἐκκλησίας δύο κατὰ τοὺς νόμους. ἐν δὲ ταύταις βουλεύσασθαι περὶ τῆς εἰρήνης Ἀθη-
ναίους. ὅ,τι δ' ἂν βουλεύσηται ὁ δῆμος, τοῦτ' εἶναι κοινὸν 36.1
δόγμα τῶν συμμάχων. ἀνάγνωθι δή μοι τὸ τῶν συνέδρων δόγμα.

ΔΟΓΜΑ ΣΥΝΕΔΡΩΝ.

παρανάγνωθι δή μοι καὶ τὸ τοῦ Δημοσθένους ψήφισμα, ἐν ᾧ κελεύει τοὺς πρυτάνεις μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, καὶ τὴν ἐν Διονύσου ἐκκλησίαν, προγράψαι δύο ἐκκλησίας, τὴν μὲν τῇ ὀγδόῃ ἐπὶ δέκα, τὴν δὲ τῇ ἑνάτῃ ἐπὶ 5
δέκα, ὁρίζων τὸν χρόνον, καὶ προϋφαιρῶν τὰς ἐκκλησίας, πρὶν ἐπιδημῆσαι τοὺς ἀπὸ τῶν Ἑλλήνων πρέσβεις, καὶ τὸ μὲν τῶν συμμάχων δόγμα κελεύει, ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ, ὑπὲρ τῆς εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι, Δημοσθένης δὲ καὶ περὶ συμμαχίας κελεύει. λέγε αὐτοῖς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

τῶν μὲν ψηφισμάτων ἀμφοτέρων, ὦ Ἀθηναῖοι, ἠκούσατε, 10
ὑφ' ὧν ἐξελέγχεται Δημοσθένης τὰς ἀποδημούσας πρεσβείας ἐπιδημεῖν φάσκων, καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι, τὸ τῶν συμμάχων ἄκυρον πεποιηκὼς δόγμα. οἱ

[1] βουλεύεται

Βουλεύηται] Βουλεύεται. MARKLAND. Ita Scalig. et Cod. Mead. TAYLOR.

Πάρεισιν] Melius ad sensum, si verteris, *nondum domum redierint*. IDEM.

Καὶ τοῖς συμμάχοις] Dele securus. Iterantur enim ab imperito librario, ex linea præcedente. IDEM.

Τὸ τῶν συνέδρων] Τὸ κοινὸν τῶν συνέδρων δόγμα. SCALIG.

Τῶν συνέδρων] Σύνεδροι dicebantur ii legatorum socii qui perpetuo in urbe commorabantur et omnibus de rebus Græcis concionibus aderant. AUGER.

Τὰ ἐν ἄστει] Ad discrimen τῶν Ληναϊκῶν, quæ in Agro ad torcularia celebrabantur. WOLF.

Προϋφαιρῶν τὰς ἐκκλησίας] *Præripiendo conciones*, hoc est, ita instruendis rebus, ut Conciones ante legatorum reditum haberentur. IDEM.

Ἀκροάσασθαι] F. κυρώσασθαι, *confirmare*. MARKL. Quocum facit Augerus.

μὲν γὰρ ἀπεφήναντο, ἀναμεῖναι τὴν πόλιν τὰς Ἑλληνικὰς πρεσβείας· Δημοσθένης δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ πάντων αἴσχιστα καὶ τάχιστα [1] μεταθέμενος, ἀλλ' ἔργῳ καὶ ψηφίσματι προστάξας ἤδη βουλεύεσθαι. 261

κγ'. Εἴρηκε δὲ ὡς ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος Φιλοκράτους, ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην ἢν εἰσηγεῖτο ἐκεῖνος εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν εἶναι φάσκων· τῇ δ' ὑστεραίᾳ πάλιν ἡμέρᾳ ὡς συναγορεύοιμι τῷ Φιλοκράτει, καὶ τὴν ἐκκλησίαν εὐημερήσας ᾠχόμην φέρων, πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν προγόνων λέγουσι τρόπαια, μηδὲ τοῖς Ἕλλησι βοηθεῖν. ὅτι δ' οὐ ψευδῆ μόνον κατηγόρηκεν, ἀλλὰ καὶ ἀδύνατα γενέσθαι, μίαν μὲν αὐτὸς καθ' αὑτοῦ Δημοσθένης μαρτυρίαν μαρτυρήσει, ἑτέραν δὲ πάντες Ἀθηναῖοι, καὶ ὑμεῖς ἀναμιμνησκόμενοι, τρίτην δὲ, ἡ τῆς αἰτίας ἀπιθανότης, τετάρτην δὲ, ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων, Ἀμύντωρ, ᾧ τὸ ψήφισμα ἐπεδείξατο Δημοσθένης, καὶ ἀνεκοινοῦτο, εἰ δῷ τῷ γραμματεῖ, οὐχ ὑπεναντίον, ἀλλὰ ταὐτὸν γεγραφὼς Φιλοκράτει. καί μοι λάβε τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ Δημοσθένους. ἐν ᾧ φαίνεται γεγραφὼς τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ' ὑστεραίᾳ τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ μὴ προτιθέναι, ἐν ᾧ με φησὶν αὐτὸς Φιλοκράτει συνειπεῖν.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

οὐκοῦν τὰ μὲν ψηφίσματα ὡς ἐξ ἀρχῆς ἐγράφη μένει· οἱ

[1] μετατιθέμενος

Μεταθέμενος] S. τὴν βουλὴν, *mutato consilio.* Wolf.

Ψηφίσματι] Ἀλλ' ἔργῳ καὶ ψηφίσματι, προστάξας ἤδη βουλεύεσθαι. Ita distingue. Et fortasse ὁ προστάξας, ut ὁ μεταθέμενος. Sic apud Demosth. π. παραπρεσβ. p. 269. l. 15. vol. II. Ὁ τῆς εἰρήνης ἐπιθυμῶν, καὶ ὁ πολλὰ ὑπισχνούμενος, etc. Markland.

κγ'. Εἴρηκε] Vide Dem. orat. §. ς'. *Ex edit.* Brook.

Τῇ δ' ὑστεραίᾳ] Sic et in Demosthenico scriptum est, quia duobus continentibus diebus habitæ sunt Conciones. Non multo post conjungit τῇ προτέρᾳ, τῇ ὑστεραίᾳ. Wolf.

Φέρων] Πλεονάζειν δοκεῖ. Idem.

Ἀδύνατα γενέσθαι] Μὴ δυνάμενα γενέσθαι. Satis esset, absque γενέσθαι, τὸ ἀδύνατα. Idem.

Εἰ δῷ] Aldus, Stephanusque et hic et infra, Εἰδῷ τῷ γραμματεῖ, quasi nomen esset Scribæ. Taylor.

Λόγον προτιθέναι] "*Copiam dicendi facere.*" D'Orville ad Charit. Aphrod. Lib. I. cap. X. p. 111. Eum vide.

Ἐγράφη] Ἔγραψα. Scalig. Infauste admodum. Taylor.

δὲ τῶν συκοφαντῶν λόγοι, πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς
262 λέγονται. ποιεῖ δέ μου τὴν δημηγορίαν ὁ μὲν κατήγορος
[1]διττὴν, τὸ ψήφισμα δὲ καὶ ταλήθες μίαν. λόγων γὰρ
μὴ προτεθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν, τῶν δὲ προ-
έδρων κωλυόντων, οὐκ ἐνῆν εἰπεῖν. τί δὲ καὶ βουλόμενος, εἴ-
περ ταὐτὰ Φιλοκράτει προειλόμην, κατηγόρουν μὲν πρὸς
τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλι- 35
πὼν συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων, ἢ ὡς ἐκεῖνον
ὠφελήσων; ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ'
ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν. κάλει δέ
μοι καὶ Ἀμύντορα Ἐρχιέα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι.
ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. μαρ-
τυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος περὶ τῆς 40
συμμαχίας τῆς πρὸς Φίλιππον κατὰ τὸ Δημοσθένους
ψήφισμα, ἐν τῇ ὑστεραίᾳ τῶν δυοῖν ἐκκλησιῶν, ὅτε οὐκ
ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας
ψηφίσματα ἐπεψηφίζετο, ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, Δημο-
σθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμέ-
νον ἑαυτῷ, ἐφ' ᾧ ἐπεγέγραπτο Δημοσθένους ὄνομα, καὶ
ἀνακοινοῦσθαι αὐτὸν αὐτῷ, εἰ δῷ τῷ γραμματεῖ, ἐπιψη- 37. 1

[1] διαιρετὴν

Ἐφ' ἡμέραν] Pro quo alias, καθ' ἡμέραν. Wolf. Scholiastes videtur legisse ἐφημέρους. Et similiter Bern. quoque. Taylor.

Διαιρετὴν] [ut Editi] Ferri potest. Sed quid si διπλῆν, ἢ διττήν? Sequitur enim μίαν. Impudens profecto fuerit hoc mendacium Demosthenis: nisi forte Æschines falsum decretum subjecerit, quod quidem ὑπογραμματεῖ γεγενημένῳ haud difficile fuit. Wolf.

Ἀμφότερα] *Non licuit utrumque.* Immo *neutrum.* Hoc certe ad loci sententiam tutius, ut liquet ex subjectis. Et sane non parum interest, utrum hoc an illo modo interpreteris. Taylor.

Ἐξενέγκασθαι] Ἐκτελεῖν, διαπράξασθαι, περαίνειν, quo verbo paulo post utitur. Wolf.

Τῶν δυοῖν ἐκκλησιῶν] Etsi alii dicunt promiscue dualia et pluralia conjungi, mihi tamen librarii suspecti sunt. Malim ταῖν δυεῖν ἐκκλησίαιν, ut ratio Grammatica et exempla Platonica complura postulant. Idem.

Ἐπεψηφίζετο] *Decernebantur, jubebantur a populo.* Idem.

Γεγραμμένον ἑαυτῷ] Τὸ ἑαυτῷ referendum videtur vel ad παρακαθήμενον, vel ad ἐπιδείξασθαι. Idem. Immo ad neutrum. Taylor.

Δημοσθένους] Τὸ Δημοσθένους ὄνομα. ut c. Ctesiph. pag. 426. l. 3. ed. T. Markl.

Εἰ δῷ τῷ γρ., ἐ. τ. προέδροις· καὶ εἶναι, ἐφ' ὁ. τ. ε., κ. τ. σ. ἔ. ποιεῖσθαι· ἐ. τ. α., ἐ. οἷσπερ κ. Φ. ἐγεγράφει] Sic interpuncto hoc loco, nullus videtur restare scrupulus. καὶ εἶναι S. γεγραμμένον ἐν τῷ ψηφίσματι. ἐφ' οἷς — ἔγραψε S. ὁ Δημοσθένης. ἐπὶ τοῖς αὐτοῖς· Hoc ἐξηγητικῶς subjicitur, et videtur esse commentum et additamentum Æschinis, qui ea de causa jubeat ἐκκλητεύειν τὸν Ἀμύντορα, ne falsum testem subornasse videatur. Wolf.

Ἐπιψηφίσασθαι] Manus satis vetusta in margine Mead. ἐπιψηφισθῆναι ὑπὸ τῶν προέδρων. Taylor. *Ut illud Prohedri suffragiis confirmandum curarent.* Deinde, addo quod est in vulgatis, καὶ εἶναι referendo ad μαρτυρεῖ. Auger.

φίσασθαι τοῖς προέδροις· [1] ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι· ἐπὶ τοῖς αὐτοῖς, ἐφ' οἷς περ καὶ Φιλοκράτης ἐγεγράφει. κάλει δέ μοι Ἀμύντορα Ἐρχιέα, καὶ ἐκκλήτευε, ἐὰν μὴ θέλῃ δευρὶ παρεῖναι.

ΜΑΡΤΥΡΙΑ ΑΜΥΝΤΟΡΟΣ.

5 τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες. σκοπεῖτε δὴ πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι, ἢ τοὐναντίον αὐτὸς ἑαυτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. 263

κδ'. Ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει, καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην, οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ μᾶλλον φιλοτιμοῦμαι. βούλομαι δ' ὑμᾶς καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς
10 ἐβουλεύεσθε. τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπόλεως· συνέβαινε δ' ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ μὲν [2] ἑβδομήκοντα καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος, καὶ κατέστησεν εἰς τὸ συνέδριον, — προῄρημαι γὰρ παρρησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σώζεσθαι, ἐὰν δὲ ἄλλως πως γινώσκητε, [3] διαχρήσασθέ με,

[1] καὶ εἶναι ἐφ' [2] ἑβδομήκοντα μὲν [3] καταχρήσασθέ μοι

Ἐφ' οἷς] Ἐφ' οἷς si retineatur, erit, *quibus conditionibus.* Et forte scribendum, ἐπιψηφίσαι τοὺς προέδρους. Vide pag. 109. l. 22. §. κς'. fin. *ut proedri populum in suffragia mitterent.* MARKLAND. καὶ εἶναι ἐφ' οἷς. Ita habent Editi præter Wolfium. Sensus ergo erit: *Communicavit Demosthenes cum Amyntore psephisma quod paraverat,* ——— *In eo autem inerat, quibus conditionibus pacem* etc. *fieri vellet: nimirum iisdem, quibus Philocrati placuerat.* TAYLOR.

Ἐκκλήτευε] *Citato,* Wolfius. Verum impotenter. Vide Harpocr. v. Ἐκκλητεύειν, qui hunc locum respicit et illustrat, Cl. Valesium ad eundem, v. Κλητῆρες, et Æsch. c. Timarch. pag. 27. Scholiastes hic nugas meras agit. IDEM.

ΜΑΡΤΥΡΙΑ ΑΜΥΝΤΟΡΟΣ] Post has voces addit Mor. ΨΗΦΙΣΜΑ ΑΠΟ ΔΗΜΟΥ. Nescio sane quo animo. IDEM.

κδ'. Ἐπὶ τὰ χείρω διεξέρχεται] *Male narrando depravat.* Sic Ælianus μιμήσασθαι τὰς εἰκόνας ἐπὶ τὰ βελτίω. WOLF.

Προῄρημαι] Προῄρημαι γὰρ πρὸς ὑμᾶς παρρησιάσασθαι. SCALIG. Parenthesis initium, quæ in verbo ὑποστειλαίμην clauditur. BRODÆUS.

Καταχρήσασθέ μοι] De hac formula in Demosthene dixi quid mihi videretur. διαχρήσασθέ με, *interficitote me.* Si legas βούλομαι καταχαρίσασθαί μοι: *animo meo obsequar,* aut, *morem ipse mihi geram.* WOLF. Καταχρήσασθαί μοι Stephanus edidit. Καταχρήσεσθε Bern. Καταχρήσασθε Coisl. Regg. 2. 3. Καταψηφίσασθε, quod habet Regiorum primus, videtur esse glossa. Quod etiam confirmat σχ. Καταχρήσασθε, φονεύσατε, καταδικάσατε. TAYLOR. L. ut in vulgatis καταχρήσασθέ μοι, *me occidite.* v. 2. p. 112. λαβόντα refertur ad στρατηγόν. Deinde μη est nota numeri 48. AUGER.

Διαχρήσασθέ] Vertendum, *quod si alia vestra est sententia, interficite me.* JURIN.

οὐ γὰρ ἂν ὑποστειλαίμην —· ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων μὴ κατακεκομικέναι, — καὶ ταῦτα ὑμῖν ἐν τοῖς ἀγῶσιν ἀεὶ τοῖς Χάρητος οἱ κατήγοροι δεικνύουσι —· χίλια δὲ καὶ πεντακόσια τάλαντα οὐκ εἰς στρατιώτας, ἀλλ' εἰς ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι, Δηιάρην τε καὶ Δηΐπυρον καὶ Πολυφόντην, [1] καὶ δραπέτας ἀνθρώπους, ἐκ τῆς Ἑλλάδος συνειλεγμένους, καὶ χωρὶς εἰς τοὺς περὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους· οἳ τοὺς μὲν ταλαιπώρους νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν, κατῆγον δὲ τὰ πλοῖα καὶ τοὺς Ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης. ἀντὶ δὲ ἀξιώματος, καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἡ πόλις ἡμῶν Μυοννήσου καὶ τῆς τῶν λῃστῶν δόξης ἀνεπίπλατο. Φίλιππος δὲ ὁρμηθεὶς ἐκ Μακεδονίας, οὐκ ἔθ' ὑπὲρ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἠγωνίζετο, ἀλλ' ἤδη περὶ Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου, τῶν ἡμετέρων κτημάτων. ἐξέλιπον δὲ Χερρόννησον ἡμῶν οἱ πολῖται, τὴν οὖσαν ὁμολογουμένως Ἀθηναίων, πλείους δὲ ἐκκλησίας συγκλήτους

264

[1] Deest καί.

Μὴ κατακεκομικέναι] Fortasse nota numeri est, $\overline{\mu\eta}$, 48. Amisit ergo 102 triremes. Verti, *eas non reduxerat*. Sed quia de hac mea conjectura non dubito, substituo, XLVIII *reduxerat*. Dissimilis Chabriæ dux, qui non urbem, non castellum, non navem, non militem ullum amisit. Wolf. Legendum $\overline{\mu\eta}$ *Quadraginta octo*. Quod in versione servavit Wolfius. Jurin.

Ἐν τοῖς ἀγῶσιν ἀεὶ τοῖς Χάρητος] Lege [Aldum corrigens.] Et [l. 6.] Δηΐαρην τε [olim enim δὲ]. Et [ibid.] καὶ δραπέτας ἀνθρώπους ἐκ τῆς Ἑλλάδος συνειλεγμένους, vel, καὶ εἰς ἀνθρώπους, vel, εἰς Πολυφόντην etc. Συνειλεγμένους, ἀντὶ τοῦ, συνειλοχότας, *qui insolentes et gloriosi duces homines fugitivos collegerant e Græcia*. Quod magis placet, quam si ipsi duces homines fugitivi intelligantur. Wolf. Immo quidni et ipsi duces, sc. ξενικῶν στρατευμάτων et μισθοφορικῶν, ut loquitur Scholiastes? Corruit ergo omne fere id, quod elaboravit. Et videbitur sane tum intemperanter voculam alteram insinuasse, alteram insolenter exposuisse. εἰς Δηΐαρην Cod. Mead. Δηΐπυλον Scal. pro Δηΐπυρον. καὶ εἰς Πολυφῶντα marg. Cod. Mead. Taylor. Addo εἰς ante Δηΐαρην. Auger.

Εἰς τοὺς περὶ τὸ βῆμα etc.] *In mercenarios oratores et suffragatores potius, quam concionales milites*. Wolf.

Οἳ τοὺς μὲν ταλαιπώρους etc.] Totus hic locus cum præcedentibus et sequentibus non bene cohæret, et videtur esse hiulcus. Certe Oratio non est perfecta, et deest quoddam verbum, et forte plura, ut sententia commoda perficiatur. At sine ope MStorum, qui mihi desunt, suppleri non potest. Palmer. Οἳ refertur ad omnes de quibus antea fit mentio, qui communi consilio, alii agendo, alii loquendo, Græciam deprædabantur. Auger.

Μυοννήσου] Haloneusum tenuisse piratas scribit Philippus in Epistola. Myonnesum, quasi *murium insulam* dicas, Plinius extremo libro quinto circa Ephesum collocat, quam Piratarum fuisse receptaculum apparet. An vero Μυόννησος archipiratæ alicujus nomen fuerit, ignoro. Sententia est, Atheniensium classem latrocinari in mari eo tempore perhiberi solitam. Wolf.

Ἡμετέρων κτημάτων] Xenoph. Hellenic. 5to. Τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις, τὰς μικρὰς καὶ μεγάλας, αὐτονόμους ἀφεῖναι, πλὴν Λήμνου, καὶ Ἰμβρου, καὶ Σκύρου· ταύτας δὲ, ὥσπερ τὸ ἀρχαῖον, εἶναι Ἀθηναίων. Hoc innuit Demosthenes περὶ τῆς Ἀλονήσου. Brodæus.

Πλείους κ.τ. λ.] Vide Ulpianum. Wolf.

ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου, ἢ τὰς τεταγμένας ἐκ τῶν νόμων. οὕτω δ' ἦν σφαλερὰ καὶ ἐπικίνδυνα τὰ πράγματα, ὥστε ἠναγκάσθη γράψαι ψή-
30 φισμα Κηφισοφῶν ὁ Παιανιεὺς, εἷς τῶν φίλων καὶ ἑταίρων τοῦ Χάρητος, ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον τὸν ἐπὶ τῶν ὑπηρετικῶν, καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυνάμει τεταγμένον, κἂν ἐντύχῃ που, φράζειν, ὅτι θαυμάζει ὁ δῆμος ὁ τῶν Ἀθηναίων, εἰ Φίλιππος μὲν ἐπὶ Χερρόνησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγὸν ἴσασιν, οὐδὲ τὴν δύναμιν ἣν ἐξέπεμψαν, ὅπου ἐστίν. ὅτι δ'
35 ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος, καὶ ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην, τοὺς τῶν πολέμων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις ἀπαιτεῖτε.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΥ Ο ΚΗΦΙΣΟΦΩΝ ΕΙΠΕΝ.

οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν, ἐν οἷς οἱ περὶ τῆς 265
εἰρήνης ἐγένοντο λόγοι. ἀνιστάμενοι δὲ οἱ συντεταγμένοι ῥήτορες, περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως οὐδὲν ἐνεχείρουν λέγειν, ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς ἀκροπόλεως
40 ἐκέλευον ἡμᾶς, καὶ τῆς ἐν Σαλαμῖνι πρὸς τὸν Πέρσην ναυμαχίας μεμνῆσθαι, καὶ τῶν [1] τάφων, καὶ τῶν προγόνων, καὶ τῶν τροπαίων. ἐγὼ δὲ ἁπάντων μὲν τούτων ἔφην δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονεικίαν φυλάττεσθαι, τὴν μὲν ἐν Πλαταιαῖς πρὸς τοὺς Πέρσας πεζο-

[1] τάφων τῶν προγόνων

Τὸν ἐπὶ τῶν ὑπηρετικῶν] S. τεταγμένον, lege. Et [l. 9.] Ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγόν. Wolf. Aldus enim οὐδὲν. Taylor. Lego τὸν ἐπὶ τῶν ὑπηρετικῶν, *actuariis comparandis præfectum*, quæ majoribus navibus subserviunt. Et mox οὐδέ. Brodæus.

Καὶ τὴν εἰρήνην ——— ἀπαιτεῖτε] Atqui habebant. Nunquid igitur, pro τῆς εἰρήνης αἰτιᾶσθε? ut Demosthenes. Wolf. Ad sensum ita: Non pacem, sed *pacis rationem*. Si pacem inhonestam aut infructuosam feceritis, *ejus rei rationes exposcite, non a legatis, quibus integrum non erat optimis conditionibus uti, verum a ducibus belli, qui vel inscitia vel ignavia ad eas angustias vos redegerunt*. Taylor.

Συντεταγμένοι ῥήτορες] Τὸ σύνταγμα τῶν ῥητόρων, *Conspiratio, Conjurati Oratores*. Wolf.

Εἰς τὰ προπύλαια] *Arcis vestibulum*. In quo res Atheniensium gestæ, pictæ erant. Horum mentio est Thucydidi et Plutarcho in Pericle. Brodæus.

Ἡμᾶς] Malim ὑμᾶς. Idem.

Καὶ τῶν προγόνων] Dele καὶ, ut sit, καὶ τῶν τάφων τῶν προγόνων. §. ιά. καὶ τάφοι προγόνων ὑπάρχουσι. Et §. μή. τάφων πατρῴων μετουσία. Noster κατὰ Κτησιφ. §. ζέ. fin. καὶ αὐτοὺς τοὺς τάφους τῶν προγόνων οὐκ ἂν οἴεσθε κ. τ. λ. Markland. Dele alterum καί. Auger.

μαχίαν, καὶ τοὺς ἀγῶνας τοὺς περὶ Σαλαμῖνα, καὶ τὴν
ἐν Μαραθῶνι μάχην, καὶ τὴν ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν, 38.1
καὶ τὴν Τολμίδου ζηλοῦν στρατηγίαν κελεύων, ὃς χιλίους
ἐπιλέκτους ἔχων Ἀθηναίων, διὰ μέσης Πελοποννήσου,
πολεμίας οὔσης, ἀδεῶς διεξῄει, τὴν δ' εἰς Σικελίαν στρα-
τείαν φυλάττεσθαι, ἣν ἐξέπεμψαν Λεοντίνοις βοηθήσοντες,
τῶν πολεμίων ἐμβεβληκότων εἰς τὴν χώραν ἡμῶν, καὶ Δε- 5
κελείας ἐπιτετειχισμένης, καὶ τὴν τελευταίαν ἀβουλίαν
φυλάξασθαι, ὅθ' ἡττημένοι τῷ πολέμῳ, προκαλουμένων
αὐτοὺς Λακεδαιμονίων εἰρήνην ἄγειν, ἔχοντας πρὸς τῇ Ἀτ-
τικῇ Λῆμνον καὶ Ἴμβρον καὶ Σκύρον, καὶ δημοκρατου-
μένους κατὰ τοὺς νόμους, τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν,
πολεμεῖν δὲ προηροῦντο, οὐ δυνάμενοι· Κλεοφῶν δὲ ὁ λυρο-
266 ποιός, ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημόνευον, παρεγ- 10
γραφεὶς αἰσχρῶς πολίτης, καὶ διεφθαρκὼς νομῇ χρημάτων
τὸν δῆμον, ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ
τις εἰρήνης μνησθήσεται· τελευτῶντες δὲ εἰς τοῦτο τὴν πό-
λιν προήγαγον, ὥστε ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι,
ἀποστάντας πάντων, καὶ τὰ τείχη καθελόντας, καὶ παρα-
δεξαμένους φρουρὰν, καὶ Λακεδαιμόνιον ἁρμοστὴν, καὶ τῆς
δημοκρατίας τοῖς τριάκοντα ἀφεμένους, οἳ χιλίους καὶ
πεντακοσίους τῶν πολιτῶν ἀκρίτως ἀπέκτειναν. τὴν μὲν 15
τοιαύτην ἀβουλίαν ὁμολογῶ παραγγέλλειν φυλάττεσθαι,
τὰ δ' ὀλίγῳ πρότερον εἰρημένα μιμεῖσθαι. οὐ γὰρ παρὰ
τῶν ἀλλοτρίων, ἀλλὰ παρὰ τοῦ πάντων οἰκειοτάτου ταῦτα

Καὶ τοὺς ἀγῶνας τοὺς περὶ Σαλαμῖνα] Omisit Interpres. TAYLOR.

Ἀρτεμισίῳ] Ita dedit Wolfius: et rectius credo, quam Ἀρτεμισίου Stephani Aldique. Aliquatenus adjuvatur a MSto Meadiano. IDEM.

Τολμίδου] Pausan. in Attic. Nos de hoc plura in Xenoph. BRODÆUS.

Τὴν τελευταίαν ἀβουλίαν φυλάξασθαι] Loqui videtur de iis quæ sub finem belli Peloponnesiaci acta sunt, ante cladem Hellespontiacam, quæ Atheniensibus servitutem attulit. De Cleophonte isto sive λυροποιῷ, sive λογοποιῷ, nihil alibi me legere memini. WOLF. Non tam obscuro nomine erat Cleopho. Vide Lysiam c. Agoratum sæpiuscule, Nostrum etiam c. Ctesiph. pag. 422. ed. T. dignos omnino qui cum hoc loco conferantur. Idem proculdubio ab Aristophane convellitur Ran. 690. et a σχ. ad locum, neque λυροποιὸς, (neque λογοποιὸς,) sed τυροποιὸς cognominatur. Vide Lysiam c. Nicomach. pag. 479. Edit. Lond. Hanc historiolam de Cleophontis vesania, quæ hic exagitatur, memorat σχστης ad finem Aristoph. Ran. TAYLOR.

Λακεδαιμονίων] M. Λακεδαιμόνιον ἁρμοστήν. Et [l. 22.] pro ἀκρίτως, ἀκρίτους. ἡ γὰρ αἰτιατικὴ Ἑλληνικωτέρα τοῦ ἐπιῤῥήματος. WOLF. Quid si παραδεξαμένους φρουρὰν Λακεδαιμονίων, καὶ ἁρμοστήν? TAYLOR.

Χιλίους καὶ πεντακοσίους] In aliis variatur numerus. Vide de ea re disserentem Meurs. Athen. Attic. l. 5. IDEM.

Ἀκρίτως] Lege ἀκρίτους, ut in κατὰ Κτησιφ. §. πζ'. MARKLAND.

ἐπυνθανόμην. Ἀτρόμητος [1]γὰρ πατὴρ ὁ ἡμέτερος — ὃν σὺ λοιδορεῖς, οὔτ' εἰδὼς οὔτ' ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας ὅς τις ἦν, καὶ ταῦτα, ὦ Δημόσθενες, ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς γένος ὢν — ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα, συγκατήγαγε δὲ τὸν δῆμον. καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφὸς, θεῖος δὲ ἡμέτερος, Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱὸς, μετὰ Δημαινέτου τοῦ Βουζύγου, συγκατεναυμάχησε [2]Χίλωνα, τὸν Λακεδαιμονίων ναύαρχον. ὥστε οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν.

κέ. Ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν Ἀρκα-
267 δίᾳ δημηγορίαν καὶ πρεσβείαν, καὶ μεταβεβλῆσθαί με φῆς, αὐτὸς ὢν ἀνδραποδώδης καὶ μονονοὺκ ἐστιγμένος αὐτόμολος. ἐγὼ δ' ἐν μὲν τῷ πολέμῳ συνίστην, καθ' ὅσον ἦν δυνατὸν, Ἀρκάδας καὶ τοὺς ἄλλους Ἕλληνας ἐπὶ Φίλιππον, οὐδενὸς δ' ἀνθρώπου ἐπικουροῦντος τῇ πόλει, ἀλλὰ τῶν μὲν, περιορώντων ὅ,τι συμβήσεται, τῶν δὲ, συνεπιστρατευόντων, τῶν δ' ἐν τῇ πόλει ῥητόρων χορηγὸν ταῖς καθ' ἡμέραν δαπάναις τὸν πόλεμον ποιουμένων, ὁμολογῶ συμβουλεῦσαι τῷ δήμῳ διαλύσασθαι πρὸς Φίλιππον, καὶ τὴν εἰρήνην συνθέσθαι, ἣν σὺ νῦν αἰσχρὰν νομίζεις, οὐδεπώποθ' ἁψάμενος ὅπλων. ἐγὼ δὲ ταύτην εἶναι πολλῷ φημὶ καλ-

[1] γὰρ ὁ πατὴρ

[2] Χείλωνα

Πατὴρ] Scribe, ὁ πατὴρ—ut mox, τῆς μητρὸς τῆς ἡμετέρας. Sic in Androt. §. ιθ'. fin. εἴγε ὁ πατὴρ ὁ σὸς ᾤχετο etc. MARKLAND.

Ἡλικίας] Suspecta lectio, quia ὅστις ἦν τῆς ἑαυτοῦ ἡλικίας, dura constructio. WOLF. τῶν ἑαυτοῦ ἡλικίας. SCALIG. Id tamen locum non expedit quidquam, quem pro deploratissimo habeo. TAYLOR.

Νομάδων Σκυθῶν] Τοὺς ἀμαξοβίους intelligo, qui plaustro domum circumvehunt, pascua quærendi causa, παρὰ τὴν νομὴν καὶ τὸ νέμεσθαι. Africæ populi etiam Numidæ, Græcis sunt Νομάδες. Vide vitam Demosthenis. WOLF.

Συγκατήγαγε δὲ τὸν δῆμον] Wolfius, *et populum restituit.* Rectius, *et unus ex iis fuit, qui populum restituerunt.* JURIN.

Τοῦ Βουζύγου] *Cum Demæneto, Buzygis filio.* MARKLAND.

Ἀτυχήματα] Puto scribendum, ἀτυχήματά τε καὶ εὐτυχήματα. Nam ea, quam modo commemoravit victoriam navalem, certe non fuit ἀτύχημα. JURIN. Summus quoque Scaliger suo calculo confirmavit hoc judicium et ἀγχίνοιαν viri ingeniosissimi: cujus ante hos dies obitum, cum bonis omnibus, non solum ea Disciplina, quam præcipue coluit, verum omnigena Eruditio serio lamentatur. TAYLOR.

Τοῖς ὠσὶν ἀκούειν] Esto ἐμφατικὸς πλεονασμὸς, sicut, *hisce oculis videre.* WOLF.

Ἐπιτιμᾷς] Vide Dem. Orat. §. έ. *Ex edit.* BROOK.

κέ. Ἐν τοῖς μυρίοις] Τῆς Ἀρκαδίας ἄρχουσι. Diodor. l. 15. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους Λυκομήδης ὁ Τεγεάτης ἔπεισε τοὺς Ἀρκάδας ἐς μίαν συντέλειαν συνταχθῆναι, καὶ κοινὴν ἔχειν σύνοδον, συνεστῶσαν ἐξ ἀνδρῶν μυρίων, καὶ τούτους ἐξουσίαν ἔχειν περὶ πολέμων καὶ εἰρήνης βουλεύεσθαι. BRODÆUS.

Καὶ μεταβεβλῆσθαι] Vide Dem. Orat. §. ς'. sub fin. et §. πδ'. et πέ. *Ex edit.* BROOK.

Ἀλλὰ] Ἀλλὰ τῶν μὲν ἀπειθούντων, τῶν δὲ περιορώντων κ. τ. λ. SCALIG.

λίω τοῦ πολέμου. χρὴ δέ, ὦ Ἀθηναῖοι, τοὺς μὲν πρέσβεις θεωρεῖν πρὸς τὸν καιρόν, καθ' ὃν ἐπρέσβευον, τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυνάμεις ὧν ἡγοῦντο. καὶ γὰρ τὰς εἰκόνας 35 ἱστᾶτε, καὶ τὰς προεδρίας, καὶ τοὺς στεφάνους, καὶ τὰς ἐν τῷ πρυτανείῳ σιτήσεις δίδοτε, οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν, ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν. εἰ δ' ἔσονται τῶν πολέμων αἱ μὲν εὐθύναι τῶν πρέσβεων, αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους καὶ ἀκηρύκτους τοὺς πολέμους ποιήσετε. οὐδεὶς γὰρ θελήσει πρεσβεύειν.

κς'. Περὶ δὲ Κερσοβλέπτου, καὶ Φωκέων, καὶ τῶν ἄλλων, ἃ πρὸς τούτοις διαβέβλημαι, ὑπόλοιπον εἰπεῖν. ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, καὶ ἐν τῇ προτέρᾳ, καὶ ἐν τῇ ὑστέρᾳ πρεσβείᾳ, ἃ μὲν εἶδον, ὡς εἶδον, ὑμῖν ἀπήγγειλα, ἃ δ' 268 ἤκουον, ὡς ἤκουσα. τίνα οὖν ἦν ἑκάτερα τούτων, ἅ τε εἶδον, ἅ τε ἤκουσα περὶ Κερσοβλέπτου; εἶδον [1] μὲν ἐγὼ καὶ οἱ συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν υἱὸν τὸν Κερσοβλέπτου παρὰ Φιλίππῳ· καὶ ἔτι καὶ νῦν τοῦθ' οὕτως ἔχει. 39. 1 συνέβαινε δ', ὅτε τὴν προτέραν ἐπρεσβεύομεν πρεσβείαν, ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι δεῦρο, Φιλίππῳ δ' ἐπὶ Θρᾴκην ἐξιέναι, πρὸς δ' ἡμᾶς ὡμολογηκέναι, ἕως ἂν ὑμεῖς περὶ τῆς εἰρήνης βουλεύσησθε, μὴ ἐπιβήσεσθαι μεθ' ὅπλων Χερρονήσου. ἐν ἐκείνῃ μὲν οὖν τῇ ἡμέρᾳ, ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδεμία μνεία ἐγένετο περὶ Κερ- 5 σοβλέπτου. ἤδη δὲ ἡμῶν κεχειροτονημένων ἐπὶ τοὺς ὅρκους, οὔπω δὲ ἀπηρκότων ἐπὶ τὴν ὑστέραν πρεσβείαν, ἐκκλησία γίνεται, ἐν ᾗ Δημοσθένης, ὁ νυνὶ κατηγορῶν ἐμοῦ, λαγχάνει προεδρεύειν. ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελθών, ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης, ἀξιοῖ δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου

[1] μὲν καὶ ἐγὼ

Πρὸς τὸν καιρὸν] *Ex eo tempore, quo legationem obiverunt.* Non admodum accurate. Καιρὸς non est tempus ipsum, sed, si ita loqui permissum sit, *flos temporis, bella opportunitas, pulcra et tempestiva occasio.* Ita distinguit Demosthenes π. παραπρεσβ. §. γ'. πολλάκις—συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν βραχεῖ χρόνῳ γίγνεσθαι: et deinde, §. δ'. ἀνηλωκότα τοὺς χρόνους, ἐν οἷς πολλῶν καὶ μεγάλων πραγμάτων καιροὶ περίεισι τῇ πόλει. TAYLOR.

Ἀσπόνδους καὶ ἀκηρύκτους] *Id efficietis, ne ullum bellum componi, aut de pacis conditionibus agi possit?* WOLF.

κς'. Περὶ δὲ Κερσοβλέπτου —] Vide Dem. Orat. §. νϛ'. *Et edit.* BROOK.

Ἡμέρᾳ, ᾗ] Ἐν ᾗ. SCALIG.

Μνεία — περὶ Κερσοβλέπτου] Sic ἔχω μνείαν περὶ σοῦ, II. Tim. I. 3. Vide et §. λ'. et contra Androt. §. β'. MARKLAND.

10 πρέσβεσιν, καὶ συναναγραφῆναι Κερσοβλέπτην ἐν τοῖς ὑμετέροις συμμάχοις. ῥηθέντων δὲ τῶν λόγων τούτων Ἀλεξίμαχος ὁ Πήληξ δίδωσιν ἀναγνῶναι ψήφισμα τοῖς προέδροις, ἐν ᾧ ἐγέγραπτο, ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ τῶν ἄλλων συμμάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου. ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, — καὶ ταῦτα οἶμαι πάντας ὑμᾶς μνημονεύειν —, ἀναστὰς ἐκ τῶν προέδρων
15 Δημοσθένης, οὐκ ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν, οὐδὲ λύσειν 269
τὴν πρὸς Φίλιππον εἰρήνην, οὐδὲ γινώσκειν τῶν [1]συμμάχων τοὺς συνεφαπτομένους, ὥσπερ ἐν τοῖς [2]σπένδουσι, τῶν ἱερῶν· ἀποδοθῆναι [3]δὲ περὶ τούτων ἑτέραν ἐκκλησίαν. βοών-

[1] * συμμαχιῶν [2] σπένδουσι τῶν [3] γὰρ

Ἀλεξίμαχος ὁ Πήληξ] Nec absurde feceris, mi Wolfi, iterumque similiter in illa altera c. Ctesiph. §. μδ'. qui tam pueriliter vertisti, Aleximachus Galea. Πήληξ nomen erat *gentile*, ut constat ex Harpocrat. qui posteriorem l. Æschinis citat. Adde Stephan. Byzantin. Valesium ad Harpocr. l. c. et Meurs. de Pagis Atticis, ceterosque quibus id operæ datur. Marmor apud Sponium ita videtur supplendum,

ΣΩΣΙΜΟΣ ΙΣΙΓΕΝΟΥΣ ΠΗ . . . . sc.
ΠΗΛΗΞ.

Taylor. Πήληξ indicat nomen pagi Attici ex quo Aleximachus erat oriundus. Auger.

Πήληξ] Pro cognomine Aristomachi [Aleximachi] videtur interpres accepisse, et quod venditat in notis Aristomachus [Aleximachus] Galea. Stephanus ὁ τῶν ἐθνικῶν Scriptor Πήληκες δῆμος Λεωντίδος φυλῆς. ὁ δημότης Πήληξ. Igitur hic Aristomachus [Aleximachus] ὁ Πήληξ e Stephano intelligendus. Salmas.

Ἐπιψηφιεῖν] *Approbaturum* Wolfius. Minus accurate. Negat Demosthenes se, qui πρόεδρος erat, *de eo ad concionem relaturum, aut sententias rogaturum*. Similiter errat in sequentibus p. 118. l. 2. et p. 120. l. 4. Ita olim §. κγ'. τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ' ἑστεραίᾳ τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας. Conjunge et infra in eadem §. bis. Ita Xenopho l. 1. Memorabil. ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἑνὶ στρατηγοὺς μιᾷ ψήφῳ —— ἀποκτεῖναι πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι. Formula ipsa hujus Rogationis pene occurrit apud Demosth. nostrum c. Androt. §. δ'. Πρῶτον μὲν οἱ προεδρεύοντες τῆς βουλῆς, καὶ ὁ ταῦτ' ἐπιψηφίζων ἐπιστάτης ἠρώτων καὶ διαχειροτονίαν ἐδίδοσαν, ὅτῳ δοκεῖ δωρεᾶς ἀξίας ἡ βουλὴ βεβουλευκέναι, καὶ ὅτῳ μή. Ubi rursum errat bonus Wolfius, a Budæo, credo, deceptus, aliisque, qui hujus significationis prærogativam non animadverterunt. Adde Demosth. c. Timocr. §. ιδ'. §. ιθ'. Vales. ad Harpocrat. p. 123. et ad Maussac. p. 185. et σχ. ad h. l. præ manibus. Taylor.

Οὐδὲ γινώσκειν —] *Neque noscere eos socios qui, tanquam in libationibus, una cum aliis sacra tangerent*, nempe victimas quæ sanciendi fœderis causa cædebantur. Alludunt hæc ad morem in sacris usitatum. Auger.

Τοὺς συνεφαπτομένους] Qui sacrorum ritus fuerint, mihi non satis constat. Sed hoc voluisse videtur Demosthenes, eos non habendos esse socios, qui commodorum participes esse velint, cum alias nihil præstent. Videtur importunitatem Cersobleptæ perstringere, qui subito se Atheniensi fœderi immisceat: id quod Philippus non sit æquo animo laturus, cui sit peculiaris cum Cersobleptæ ratio. Libet quisque pro se: aliorum libationibus immiscere se ultro, parum decere videtur. Wolf. Locum pro me explicabit Apostolius XVIII. 48. Τὴν χεῖρ' ἐπιβάλλει] Ἐπὶ τῶν μετεχόντων ἀρίστων καὶ καλῶν. Ἔθος γὰρ εἶχόν τινες, ἄλλων θυόντων, συνεφάπτεσθαι τῆς θυσίας, καὶ κοινωνεῖν. καὶ Αἰσχίνης δὲ ἔφη· Γινώσκειν ὥσπερ τοὺς ἐφαπτομένους. Emenda, συνεφαπτομένους. Taylor.

Ἀποδοθῆναι γὰρ] Malim δέ. Exposuit quid neget: nunc addit quid concedat, hoc modo, illud se passurum, ut concio peculiaris hac de re indicatur. ἀποδοθῆ-

των δὲ ὑμῶν, καὶ τοὺς προέδρους ἐπὶ τὸ [1]βῆμα καλούντων, οὕτως, ἄκοντος αὐτοῦ, τὸ ψήφισμα ἐπεψηφίσθη. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα Ἀλε- 20 ξίμαχον, καὶ τοὺς συμπροέδρους Δημοσθένους, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΔΗΜΟΣΘΕΝΟΥΣ ΣΥΜΠΡΟΕΔΡΩΝ.

κζ'. Ὁ μὲν τοίνυν ἐπιδακρύσας ἀρτίως ἐνταυθοῖ Δημοσθένης, μνησθεὶς Κερσοβλέπτου, φαίνεται τῆς συμμαχίας ἐκκλείων αὐτόν. ὡς δ' ἡ παροῦσα ἐκκλησία διελύθη, ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέσβεις ἐν τῷ στρατηγίῳ τῷ ὑμετέρῳ. τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν 25 ὁ κατήγορος, ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα τὸν πρεσβευτὴν τὸν παρὰ Κερσοβλέπτου, παρόντων μὲν τῶν συμμάχων, ἐψηφισμένου δὲ τοῦ δήμου, παρακαθημένων δὲ τῶν στρατηγῶν. πόθεν τοσαύτην ῥώμην λαβὼν, ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσιγήθη; εἰ δ' ἄρα ἐγὼ ἐτόλμων τοῦτο ποιεῖν, ἐπέτρεψας ἂν, ὦ Δημόσθενες; καὶ οὐκ ἐνέπλησας βοῆς καὶ κραυγῆς τὴν ἀγορὰν, ὁρῶν με, ὡς ἔφης ἀρτίως, 30 ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν; καλείτω δέ μοι
270 τοὺς στρατηγοὺς ὁ κήρυξ, καὶ τοὺς συνέδρους τῶν συμμάχων, καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε.

ΜΑΡΤΥΡΙΑΙ.

οὐκοῦν δεινὸν, ὦ Ἀθηναῖοι, εἴ τις κατ' ἀνδρὸς πολίτου, οὐχ ἑαυτοῦ, ἀλλ' ὑμετέρου — τοῦτο γὰρ [2]προδιορθοῦ-

[1] βῆμα κατ' ὄνομα καλούντων

[2] προσδιορθοῦμαι

ναι, pro ἀποδιδόναι χρῆναι, ἀποδοτέον εἶναι. Wolf. L. ἀποδοθῆναί γ' ἂν, *indictum iri.* Auger.

Ἐπὶ τὸ βῆμα] Ἐπὶ τὸ βῆμα κατ' ὄνομα καλούντων. Ita Regg. Codd. 1. et 3. Taylor.

Μαρτυρίαν] Μαρτυρίαν αὐτῶν, ut §. λγ'. fin. Markland. Subaudi αὐτῶν. Auger.

κζ'. Ἐξώρκιζον τοὺς συμμάχους] Utrum τοὺς Φιλίππου, ἢ τοὺς Ἀθηναίων? Vide Demosth. κατηγορίαν. Wolf.

Ἐν τῷ στρατηγίῳ] Τὸ στρατήγιον, aut fortasse στρατηγεῖον, domus imperatoria aut prætoria. Wolf. Π. στρατηγείῳ. Stephanus. Markland. Auger.

Κριτόβουλον] Nec hujus ulla apud Demosthenem mentio. Wolf.

Ὠθοῦντα ἀπὸ τῶν ἱερῶν] Lege. Idem. Aldinum ὑπὸ pariter corrigit Bern. Brodæus et Steph. Taylor.

Οὐκοῦν] F. οὔκουν. *Nonne igitur* ——? Markland. Ita Bern. Taylor.

Οὐχ ἑαυτοῦ] Is συμπολίτης dici posset, ut Latine concivis, ob vitandam amphiboliam, si consuetudo pateretur. Negat se civem esse Demosthenis, qui capitalem inimicum agat. Wolf.

Προσδιορθοῦμαι] *Hanc correctionem addo.*

μαι —, τολμᾷ τηλικαῦτα καταψεύδεσθαι, κινδυνεύοντος
35 ὑπὲρ τοῦ σώματος; ἢ πῶς οὐκ εἰκότως οἱ πατέρες ἡμῶν ἐν
ταῖς φονικαῖς δίκαις ἐπὶ Παλλαδίῳ κατέδειξαν, τέμνοντες
τὰ τόμια, τοὺς νικῶντας τῇ ψήφῳ ἐξορκίζεσθαι — καὶ
τοῦτο ὑμῖν πάτριόν ἐστιν ἔτι καὶ νῦν — τἀληθῆ καὶ τὰ
δίκαια ψηφίζεσθαι τῶν δικαστῶν, ὅσοι τὴν ψῆφον ἤνεγκαν
αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι, εἰ δὲ μή, ἐξώλη τε αὐτὸν
εἶναι ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν τὴν αὐτοῦ, τοῖς δὲ δικα-
40 σταῖς εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ εἶναι; καὶ μάλα ὀρθῶς
καὶ πολιτικῶς, ὦ Ἀθηναῖοι. εἰ γὰρ μηδεὶς ἂν ὑμῶν ἑαυτὸν
ἀναπλῆσαι φόνου δικαίου βούλοιτο, ἥπου ἀδίκου γε φυ-
λάξαιτ' ἄν, τὴν ψυχὴν, ἢ τὴν οὐσίαν, ἢ τὴν ἐπιτιμίαν
τινὸς ἀφελόμενος· ἐξ ὧν αὐτοὺς ἀνῃρήκασί τινες, οἱ δὲ, καὶ
δημοσίᾳ ἐτελεύτησαν.

κή. Ἆρ' οὖν, ὦ Ἀθηναῖοι, δοίητ' ἄν μοι συγγνώμην, [1]κί-
40.1 ναιδον αὐτὸν προσειπόντι, καὶ μὴ καθαρεύοντα τῷ σώ-
ματι, μήθ' ὅθεν τὴν φωνὴν ἀφίησιν, ἔπειτα τὸ λοιπὸν
μέρος τοῦ κατηγορήματος τοῦ περὶ [2]Κερσοβλέπτου ἐπ' αὐ-

[1] εἰ κίναιδον αὐτὸν προσειπὼν

[2] Κερσοβλέπτην

Possit etiam legi προδιορθοῦμαι, *imprimis corrigo.* Wolf. προδιορθοῦμαι Regg. 1. et 3. Taylor.

Ἐπὶ Παλλαδίῳ] Ταῖς ἐπὶ Παλλαδίῳ recte monuit Scal. Quod vocabulum in priore delitescere potuit. Idem.

Κατέδειξαν, τέμνοντες τὰ τόμια] Hæc in Aristocratea copiosius et dilucidius explicantur. Τόμια sunt frusta apri sacrificati, quibus insistere oportebat accusatorem. τέμνειν τόμια notus Atticismus, perinde ac si dixisset, θύειν θυσίαν, *re divina facienda.* Verbo τέμνειν etiam Homerus utitur, ὅρκια πιστὰ ταμόντες: *inviolabili fœdere inter nos sancito.* Wolf.

Τέμνοντες τὰ τόμια] Apud Poll. ὅρκια τέμνειν. Salmas.

Τοὺς νικῶντας] Pro τὸν νικῶντα: sequitur enim αὐτῷ et αὐτόν. Sed hæc transitio ab Universis ad Singulos, vel contra, fieri solet. Sic 1 Tim. II. 15. σωθήσεται δὲ (sc. ἡ γυνὴ) διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν (sc. αἱ γυναῖκες) ἐν πίστει καὶ ἀγάπῃ. Markland. τέμνοντα τὰ τόμια, τὸν νικῶντα. Et proxime, l. 6. ἐψηφίσθαι. Scalig. M. τὸν νικῶντα, [et] L. ψηφίσασθαι, et deinde καὶ ψεῦδος αὐτόν. Auger.

Εἰ γὰρ μηδεὶς ἂν ὑμῶν] A minori ad majus. Wolf.

Φυλάξαιτ' ἂν] S. ἀναπλῆσαι ὑμᾶς φόνου. Quomodo? ἀφελόμενοί τινος τὴν ψυχὴν, ἢ τὴν οὐσίαν, ἢ τὴν ἐπιτιμίαν. Idem.

Ἐπιτιμίαν] *Bonam existimationem.* Salmas.

Ἐξ ὧν] S. ἀφαιρέσεως τῆς οὐσίας, ἢ ἐπιτιμίας τινὲς ἀνῃρήκασιν ἑαυτούς. Quod et de Timarcho suspicantur. Wolf.

Οἱ δὲ καὶ δημοσίᾳ] S. οἱ θανάτου καταγνωσθέντες. Obscurus hic locus est, nisi lectio sic emendetur ac distinguatur. Idem.

κή. Προσειπὼν] Προσειπόντι, id est, εἰ προσείποιμι. Alioqui ad σοφὰ φάρμακα recurrendum erit, aut legendum εἰ κίναιδον αὐτὸν προσειπών. Maledicit adversario cum veniæ præfatione. Indignatio autem hæc auget innocentiæ opinionem et calumniæ atrocitatem. Idem. F. προειπόντι (sc. §. ιά.) cum nota interrogationis post ἀφίησιν; Deinde, Ἔπειτα τὸ λοιπὸν — διέξειμι ψεῦδος ὂν. κάλλιστον γὰρ — Markland. Π. εἰ κίναιδον προσειπών. Steph. Et MSS. Coisl. Regg. et Mead. Taylor. L. εἰ κ. α. προσειπὰν κ. μ. κ. - - - ἀφίησιν, ἔπειτα. Auger.

Ὅθεν] Ergo aut irrumatum esse significat, aut ad ventosam et mercenariam linguam hoc refertur. Wolf.

Κερσοβλέπτην, ut Editi et MSS.] Κερσο-

τοφώρῳ δείξαιμι ψεῦδος ὄν; κάλλιστον γὰρ, οἶμαι, πρᾶγμα, καὶ χρησιμώτατον τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίνεται. καὶ γὰρ τοὺς χρόνους, καὶ τὰ ψηφίσματα, καὶ
271 τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν 5 ἅπαντα χρόνον φυλάττετε.

κθ'. Εἴρηκε δὲ οὑτοσὶ πρὸς ὑμᾶς, παρὰ τοῦτο διαφθαρῆναι τὰ Κερσοβλέπτου πράγματα, ὅτι τῆς πρεσβείας ὧν ἡγεμὼν ἐγὼ, καὶ κατευημερηκὼς παρ' ὑμῖν, αὐτοῦ κελεύοντος εἰς Θρᾴκην ἡμᾶς ἰέναι, Κερσοβλέπτου πολιορκουμένου, καὶ διαμαρτύρασθαι [1] Φιλίππῳ, ταῦτα δὴ ποιεῖν οὐκ ἠθέλησα, ἀλλ' ἐκαθήμην ἐν Ὠρεῷ, καὶ οἱ συμπρέσβεις, προξενίας κατασκευαζόμενοι. ἀκούσατε δὴ τῆς Χάρητος 10 ἐπιστολῆς, ἣν ἐπέστειλε τότε τῷ δήμῳ, ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν, καὶ [2] τὸ ἱερὸν ὄρος κατείληφε Φίλιππος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος· Δημοσθένης δ' ἐν τῷ δήμῳ προήδρευε τούτου τοῦ μηνὸς, εἷς ὢν τῶν πρέσβεων, ἑβδόμῃ φθίνοντος.

ΕΠΙΣΤΟΛΗ.

οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ μηνὸς, 15 [3] ἀλλὰ Μουνυχιῶνος ἐξωρμήσαμεν. καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι. ἔστι γὰρ αὐτῆς ψήφισμα, ὃ κελεύει ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς ὅρκους. καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα.

[1] Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ [2] Deest articulus. [3] ἀλλὰ καὶ Μουνυχιῶνος

βλέπτου. Etsi et hoc locum habere potest. Idem.

Τοὺς ἐπιψηφίσαντας] *Eorumque suffragatores.* Male. Vide modo quæ attulimus p. 117. l. 8. Taylor.

κθ'. Εἴρηκε] Vide Dem. orat. §. μζ'. *Ex edit.* Brook.

Ταῦτα μὴ ποιεῖν οὐκ ἠθέλησα] F. ταῦτα δή. Wolf. Altera negatio supervacua est. Brodæus. Wolfius ille satis infeliciter lectionem Codd. sollicitavit. Siquid enim erat tentandum, sic potius legerem, ταῦτα μὲν ποιεῖν οὐκ ἠθέλησα, ἀλλὰ κ. τ. λ. Sed fortasse nihil temere movendum: κελεύοντος ——— διαμαρτύρασθαι Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ ἠθέλησα. Atque ita locum intellexit Scholiastes. Taylor.

Τῆς Χάρητος] Τῆς τοῦ Χάρητος. Scalig.

Ὅτι] Potius ἐπέστειλε τότε τῷ δήμῳ, ὅτε κ. τ. λ. Ita Reg. 3. Quod si arrideat, emendabis interpretem. Taylor.

Ἱερὸν] Γράφεται ἡραῖον ὄρος, ait Scholiastes, quod erat Emporium ad ostium Ponti. Ἡραῖον quidem τεῖχος occurrit Olynth. III. Sed non protinus necesse est id amplecti. Montem hunc *sacrum* memorat Demosth. in hac ipsissima causa, §. μζ'. Vide Cl. Vales. ad Harpocr. v. Ἐργίσκη. Idem.

Ἕκτῃ φθ.] Dies erat ille Elaphebolionis *sextus a fine*, retro computando. Non ergo in XXVI^tum cadet. ἑβδόμῃ pariter l. 17. eodem calculi genere, non illum alterum diem *sequetur*, ut male Interpres, sed pridie erit. Idem.

ΕΠΙΣΤΟΛΗ] F. deest ΧΑΡΗΤΟΣ. Markland.

ΨΗΦΙΣΜΑ.

προσανάγνωθι δὴ καὶ τὸν χρόνον, ὅς τις ἦν.

ΧΡΟΝΟΣ.

ἀκούετε ὅτι Μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου. ὁ δὲ Κερσοβλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν ἀρχήν, πρὶν ἐμὲ ἀπιέναι; ὡς φησι Χάρης ὁ στρατηγός, καὶ ἐπιστολὴ, τοῦ προτέρου μηνὸς, εἴπερ Ἐλαφηβολιών ἐστι Μουνυχιῶνος πρότερος. ἐδυνάμην οὖν ἐγὼ σῶσαι 272
Κερσοβλέπτην, ὃς, πρὶν ἐμὲ ἐξορμᾶν οἴκοθεν, ἀπολώλει; ἔπειτα οἴεσθέ τι τοῦτον ἀληθὲς εἰρηκέναι, ἢ περὶ τῶν ἐν Μακεδονίᾳ πραχθέντων, ἢ περὶ τῶν ἐν Θετταλίᾳ, ὃς τοῦ βουλευτηρίου, καὶ τῶν δημοσίων γραμμάτων, καὶ τοῦ χρόνου, καὶ τῶν ἐκκλησιῶν καταψεύδεται; καὶ τὸν Κερσοβλέπτην Ἀθήνησι μὲν ἔκσπονδον ἐποίεις, πρόεδρος ὤν· ἐν Ὠρεῷ δ' ἠλέεις. καὶ νῦν [1] με δωροδοκίας κατηγορεῖς· πρότερον δ' ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου, οὐκ ἐπεξιὼν τῇ [2] τοῦ τραύματος γραφῇ, ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα, ἀνεψιὸν ὄντα, ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν. καὶ σεμνολογεῖς ἡμῖν, ὡς οὐκ εἰδόσι τούτοις, ὅτι Δημοσθένους υἱὸς εἶ νόθος τοῦ μαχαιροποιοῦ.

[1] μὲν

[2] Deest articulus.

Προανάγνωθι] F. προσανάγνωθι. Wolf. πότερον, παρανάγνωθι. οὕτω γὰρ Αἰσχίνης πρότερον [§. κβ'. post med.] ἢ, ΠΡΟΣΑΝΑΓΝΩΘΙ, ὡς τ. δ. Stephanus. Cum Stephano faciunt Regg. 2. 3. Quod multo satius est. Cum Wolfio ceteri Parisienses et Bern. Vide doctissimum Marklandum ad Æsch. c. Ctesiph. §. ξδ'. Taylor.

Καὶ ἐπιστολὴ] Forte inserendum ἡ. Markland.

Ἐξορμᾶν οἴκοθεν] Melius sic distinguitur, quam in Edit. Stephanica, πρὶν ἐμὲ ἐξορμᾶν, οἴκοθεν ἀπολώλει. Cod. Bern. hic habet ἐξορμεῖν. Taylor. ἐξορμᾶν οἴκοθεν, *priusquam ego Athenis discederem.* Brodæus.

Καὶ νῦν μὲν] F. με vel μου. Et [l. 16.] τὴν ἐπιβολήν. τουτέστι τὴν ζημίαν. Et [l. 17.] οὐκ ἐπεξιών. Wolf. Alii οὐδ'. — ἐπιβουλὴν, quod erat in Aldinis, bene etiam corrigit Brodæus, Bern. et recte legit et exponit Scholiastes. Vide notata ad Lysiam p. 113. Edit. Lond. Taylor.

Σεμνολογεῖς] Ob istam conviciandi licentiam reprehenditur Æschines. Ego vero par pari relatum puto, et Æserninum cum Pacidiano comparatum. Quam multa enim, quamque impudenter in Æschinem confingit Demosthenes? Adeo certe quidem, ut me istius vanitatis et maledicentiæ ipsius vicem et pudeat et pigeat. Wolf. Π. σεμνολογεῖς, ὡς οὐκ εἰδόσι, ἄνευ τοῦ ἡμῖν. Stephanus. Melius Cod. Reg. 3. καὶ σεμνολογεῖς ἡμῖν ὡς οὐκ εἰδοσι τοῦτο, ὅτι κ. τ. λ. Eamque varietatem etiam lectionis annotavit Scholiastes. Id quod Stephani hariolatione supersedebit. Taylor. ἡμῖν] f. μὲν, cui respondet ἐπεχείρησας δ' εἰπεῖν. Markland. Vulgo dicitur, ὡς οὐκ εἰδότων τούτων. Auger.

Ὅτι Δημοσθένους] Ὅτι Δημοσθένης υἱὸς ἦν νόθος Mor. Nimirum istud ὅτι, et quæ in illo exemplari sequuntur, erat olim in margine Τὸ Σημειῶσαι, ut sentient omnes, qui istam annotandi licentiam in-

λ'. Ἐπεχείρησας δ' εἰπεῖν, ὡς καὶ τὴν ἐπὶ τοὺς Ἀμ- 30
φικτύονας πρεσβείαν ἐξομοσάμενος παρεπρέσβευσα, καὶ
ψήφισμα, τὸ μὲν ἀνέγνως, τὸ δὲ ὑπερέβης. ἐγὼ δ' αἱρε-
θεὶς πρεσβευτὴς ἐπὶ τοὺς Ἀμφικτύονας, ἀῤῥώστως δ' ἔχων,
καὶ μετὰ πολλῆς προθυμίας ἀπαγγέλλων ἀφ' ἧς ἥκον
πρεσβείας πρὸς ὑμᾶς, τὴν μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην,
ἀλλ' ὑπεσχόμην πρεσβεύσειν, ἐὰν ὦ δυνατός· πρὸς δὲ τὴν
βουλὴν ἀπιόντων τῶν συμπρέσβεων, τὸν ἀδελφὸν τὸν ἐμαυ- 35
τοῦ, καὶ τὸν ἀδελφιδοῦν, καὶ τὸν ἰατρὸν ἔπεμψα, οὐκ
ἐξομοσυμένους ἐμὲ — οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ δήμου
273 χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυσθαι —, ἀλλὰ τὴν ἀῤῥω-
στίαν μου δηλώσοντας. ἐπεὶ δὲ οἱ συμπρέσβεις πυθόμενοι
τὰ περὶ τοὺς Φωκέας συμβάντα, ἀνέστρεψαν, γενομένης
ἐκκλησίας, ἤδη παρὼν καὶ δυνάμενος τῷ σώματι, προσ-
αναγκάζοντος τοῦ δήμου μηδὲν ἧττον πρεσβεύειν ἡμᾶς τοὺς 40
ἐξ ἀρχῆς αἱρεθέντας ἅπαντας, ἀψευδεῖν πρὸς Ἀθηναίους
ὤμην δεῖν. καὶ ταύτης τῆς πρεσβείας οὐ [1] κατηγόρεις, μοῦ
διδόντος τὰς εὐθύνας, ἀλλ' ἐπὶ ταύτην τὴν πρεσβείαν ἥκεις,
τὴν ἐπὶ τοὺς ὅρκους· ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπο-
λογήσομαι. σοὶ μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδο-
μένοις, μεταφέρειν τοὺς χρόνους· ἐμοὶ δ' ἐφεξῆς λέγειν,
ἀναλαβόντι τὴν ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ 41.1
τοὺς ὅρκους, καὶ τῆς πρεσβείας. πρῶτον μὲν γὰρ δέκα
πρέσβεων ὄντων, ἑνδεκάτου δὲ τοῦ συμπεμφθέντος ἡμῖν ὑπὸ
τῶν συμμάχων, οὐδεὶς αὐτῷ συσσιτεῖν, ὅτ' ἐξῄειμεν ἐπὶ
τὴν ὑστέραν πρεσβείαν, ἤθελεν, οὔτε ἐν ταῖς ὁδοῖς, ὅπου
δυνατὸν ἦν, εἰς ταὐτὸ πανδοκεῖον καταλύειν, ὁρῶντες αὐτὸν
ἐν τῇ προτέρᾳ πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα. 5

[1] κατηγορεῖς

tellignnt. Deinde Nota textum ex sua sede præcipitavit. TAYLOR.

λ'. Ἐπεχείρησας] Vide Dem. orat. §. λϛ'. Ex edit. BROOK.

Ἐξομοσάμην] Ἐξωμοσάμην. MARKLAND.

Πρὸς δὲ τὴν βουλὴν] Punge post βουλὴν, ut sit πρὸς δὲ τὴν βουλὴν, ἀπιόντων τῶν συμπρέσβεων, τὸν ἀδελφὸν ——— ἔπεμψα. *Ad senatum vero*, postquam discesserant legati, *meum fratrem misi*. Annon hæc longe præstant? TAYLOR.

Οὐ κατηγορεῖς] F. οὐ κατηγόρεις. WOLF. Recte hoc. Stephanus, præ festinatione, credo, retinuit Aldinam lectionem κατηγορεῖς. TAYLOR.

Πρεσβείαν] F. ὑστέραν, ut passim eam appellat. MARKLAND.

Οὐδεὶς αὐτῷ συσσιτεῖν] Quid hoc ad propositum? Nimirum hic Æschines friget, ac Demosthenem potius criminatur, quam se defendit. αὐτῷ intelligendum de Demosthene. WOLF.

αὐτοῖς] Lege αἱ τοῖς. TAYLOR. αὐτοῖς,

περὶ μὲν οὖν τῆς ἐπὶ Θρᾴκης ὁδοῦ, οὐκ ἐγένετο μνεία — οὐδὲ γὰρ τὸ ψήφισμα τοῦθ' ἡμῖν προσέταττεν, ἀλλὰ ἀπολαβεῖν μόνον τοὺς ὅρκους, καὶ ἄλλ' ἄττα —, οὔτε ἐλθόντας πράττειν οὐδὲν ἐνεδέχετο, περὶ Κερσοβλέπτην ἤδη γεγενημένων, ὧν ἀρτίως ἠκούσατε, οὔθ' οὗτος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται, καὶ κατηγορεῖν οὐδὲν ἀληθὲς ἔχων, τεραστεύεται.

10 λά. Συνηκολούθουν δ' αὐτῷ ἄνθρωποι δύο στρωματόδεσμα φέροντες, ἐν δὲ τῷ ἑτέρῳ τούτων, ὡς αὐτὸς ἔφη, τάλαντον ἐνῆν ἀργυρίου. ὥστε τοὺς συμπρέσβεις ἀναμιμνήσκεσθαι τὰς ἀρχαίας ἐπωνυμίας αὐτοῦ. ἐν παισὶ μὲν γὰρ ὤν, ἐκλήθη δι' αἰσχρουργίαν τινὰ ἢ κιναιδίαν Βάταλος, ἐκ παίδων δὲ ἀπαλλαττόμενος, καὶ δεκαταλάντους δίκας [1]κατὰ τῶν ἐπιτρόπων λαγχάνων, Ἀργὰς ἐκλήθη, ἀνὴρ δὲ 274
15 γενόμενος προσείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν, συκοφάντης. ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους, ὡς ἔφη, καὶ πρὸς ὑμᾶς ἀρτίως εἰρήκεν, εἰδὼς μὲν Φίλιππον ἐν τῷ πολέμῳ οὐδένα πώποτε Ἀθηναίων λύτρα πραξάμενον, ἀκούων δὲ τῶν ἐκείνου φίλων ἁπάντων, ὅτι καὶ τοὺς λοιπούς, ἐὰν εἰρήνη γένηται, ἀφήσει, πολλῶν δ' ἠτυχηκότων, τάλαντον φέρων, ἑνὸς ἀνδρὸς, οὐδὲ τούτου λίαν
20 εὐπόρου, ἱκανὰ λύτρα.

[1] κατὰ] ἑκάστῳ

[2] δὲ καὶ τῶν

i. e. αὐτοῦ συμπρέσβεσι. AUGER.

Τῆς ἐπὶ Θρᾴκης] F. τῆς ἐπὶ Θρᾴκην. Alia ratio verborum est στέλλεσθαι ἐπὶ Θρᾴκης. WOLF.

Ἐλθόντας] Wolfius videtur legisse θέλοντας vel ἐθέλοντας. MARKLAND. Et id credo quoque. Sed erravit vehementer. *De itinere in Thraciam suscipiendo nulla facta est mentio* —— neque si suscepissemus, atque illuc pervenissemus, *quidquam profeceramus.* TAYLOR.

Περὶ Κερσοβλ.] Π. τῶν περὶ Κερσοβλέπτην ἤδη γεγενημένων etc. Τινὲς δὲ δ. ὧν ἀρτίως ἠκούσατε, οὐ προστιθέντες τῶν. STEPHANUS. τῶν περὶ Κερσοβλ. nostri omnes, Bern. Mead. Coisl. Regg. 1. 2. 3. TAYL.

Ὡς ἀρτίως] M. ὧν ἀρτίως. WOLF.

λά. Ὥστε] Refertur ad omnia quæ præcesserunt. AUGER.

Δίκας ἑαυτῷ τῶν ἐπιτρόπων] F. δίκας κατὰ τῶν ἐπιτρόπων. Et [p. 124. l. 13.] ὅτι μοι δεκοίησαν. Et [p. 125. l. 3.] ταῦτ' ἂν ἠξίωσεν. Et [l. 4.] κατέλιπεν. Et [l. 5.] ᾠήθη δεῖν. Referuntur enim ad τὸ δῆμος. Nisi forte de industria mutarit numerum, ut subintelligantur οἱ Ἀθηναῖοι. WOLF. Recte. Et hoc tolerari potuit. Vir igitur doctissimus neque ἠξίωσαν, neque κατέλιπον, inquietare debuit in sua editione, aut ᾠήθησαν simul in eadem sollicitasset. l. 3. αὐτοῖς Steph. non αὐτοῖς. Quod fortasse præstat. *In suam potestatem et deliberationem reservarunt incertum illum eventum*, ut integrum esset P. A. de ea re statuere, *si legati non persuaserint, interea tamen eam ipsam per hos legatos experiri voluerunt.* TAYLOR. δ. τ. ἑαυτοῦ τῶν ἐπιτρόπων. τινὲς δὲ, ἑαυτῷ κατὰ τῶν ἐπιτρόπων. STEPHANUS. Lege δίκας κατὰ τῶν ἐπιτρόπων, plano sensu. PALMER. δίκας ἑκάστῳ τῶν ἐπιτρόπων Regg. 2. 3. Quam liquido affirmare possum veriorem esse lectionem. TAYLOR. L. ἑκάστῳ. AUGER.

λβ'. Ὡς δ' ἦμεν ἐν Μακεδονίᾳ, καὶ συνήλθομεν εἰς ταὐτὸν, καὶ Φίλιππον ἐκ Θρᾴκης παρόντα κατειλήφαμεν, ἀνεγνώσθη μὲν τὸ ψήφισμα, καθ' ὃ ἐπρεσβεύσαμεν, καὶ τὰ προστεταγμένα ἡμῖν πρὸς [1] τὸ τοὺς ὅρκους ἀπολαβεῖν συνηριθμούμεθα. ὡς δὲ οὐδεὶς ὑπὲρ τῶν μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων τὴν διατριβὴν ἐποιοῦντο, εἶπον ἐγὼ λόγους, οὓς ἀναγκαῖόν ἐστι πρὸς ὑμᾶς ῥηθῆναι. καὶ πρὸς τῶν θεῶν, ὦ Ἀθηναῖοι, ὥσπερ καὶ τῆς κατη-
275 γορίας ἠκούσατε, ὡς αὐτὸς ὁ κατήγορος [2] ἐβούλετο εἰπεῖν, οὕτω καὶ τῆς ἀπολογίας εὐτάκτως ἀκούσατε, καὶ τὸν αὐτόν μοι τρόπον διαμείνατε, ὅν περ ἐξ ἀρχῆς ἐν τοῖς προειρημένοις ἤδη λόγοις ἠκροᾶσθε. ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην, ὦ Ἀθηναῖοι, εἶπον συνειλεγμένων τῶν πρέσβεων, ὅτι μοι [3] δοκοίησαν τὸ μέγιστον πρόσταγμα τοῦ δήμου δεινῶς ἀγνοεῖν. τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν, καὶ περὶ τῶν ἄλλων διαλεχθῆναι, καὶ περὶ τῶν αἰχμαλώτων [4] εἰπεῖν, κἂν εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις, περιθεῖσα πίστιν αὐτοῖς, ἅπαντ' ἂν πραχθῆναι νομίζω· τὸ δὲ ὑπὲρ τῶν ὅλων ὀρθῶς βουλεύσασθαι, ὅσα καθ' [5] ὑμᾶς ἐστὶν ἡ Φίλιππον, τοῦτο ἤδη ἔργον ἐστὶν πρέσβεων φρονίμων. λέγω δὲ, ἔφην ἐγὼ, περὶ τῆς εἰς Πύλας στρατείας, ἣν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. ὅτι δὲ οὐ κακῶς στοχάζομαι περὶ τοῦ πράγματος, μεγάλα τούτων ὑμῖν σημεῖα δείξω. πάρεισι μὲν γὰρ Θηβαίων, ἥκουσι δὲ Λακεδαιμονίων πρέσβεις, ἀφίγμεθα δ' ἡμεῖς ἔχοντες τοῦ δήμου ψήφισμα, ἐν ᾧ γέγραπται, Πράττειν δὲ τοὺς πρέσβεις, καὶ ἄλλ' ὅ,τι ἂν δύνωνται ἀγαθόν. ἅπαντες δὲ οἱ Ἕλληνες πρὸς τὸ μέλλον ἔσεσθαι βλέπουσιν. εἰ μὲν οὖν ἡγεῖτο ὁ δῆμος αὐτῷ καλῶς ἔχειν, ἐξενεγκεῖν

[1] τῷ [2] ἠβούλετο [3] δοκείσαν [4] * εἶπον [5] * ἡμᾶς

λβ'. Πρὸς τὸ τοὺς ὅρκους ἀ.] Præter ea *de jurejurando exigendo.* MARKLAND. Legendum itaque πρὸς τῷ τοὺς ὅρκους ἀπολαβεῖν, ut Scal. quoque admonuit, et in Mead. continetur. Hanc Crisin defendunt ea quæ sequuntur, l. 15. τὸ τοὺς ὅρκους ἀπολαβεῖν, καὶ περὶ τῶν ἄλλων διαλεχθῆναι: tum autem præcipue §. λέ. βραχέα ὑπὲρ τῶν ὅρκων προειπὼν, ἐφ' οὓς ἥκομεν ἀπολημψόμενοι, καὶ περὶ τῶν ἄλλων ἃ προσιτάξατε ὑμεῖς, διεξῆειν. TAYLOR. L. πρὸς τῷ. AUGER.

Δοκοίης ἂν] Π. δοκοῖεν. τ. δ. δοκοίησαν. STEPHANUS. δοκείης ἂν Ald. δοκείημεν Scal. δοκοίησαν Coisl. TAYLOR. M. δοκοίησαν. AUGER.

Εἰ τοὺς ὑπηρέτας] Εἰ τοὺς ἡμῶν ὑπηρέτας. SCALIG.

Περιθεῖσα πίστιν] Ita hunc locum distinguit et emendat Cl. Marklandus: κἂν εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις, περιθεῖσα πίστιν, αὐτοῖς εὖ πάντ' ἂν πραχθῆναι νομίζω. TAYLOR.

Τοῦ δήμου] Τὸ τοῦ δήμου. SCALIGER.

40 μετὰ παῤῥησίας ἐν τῷ ψηφίσματι πρὸς Φίλιππον, Θηβαίων μὲν περιελεῖν τὴν ὕβριν, Βοιωτῶν δὲ ἀναστῆσαι τὰ τείχη, ταῦτ' ἂν [1]ἠξίωσεν ἐν τῷ ψηφίσματι· νῦν δὲ [2]αὐτοῖς μὲν κατέλιπεν τὴν εἰς τὸ ἀφανὲς ἀναφοράν, ἂν μὴ 276
πείθωσιν, ἐν ἡμῖν δὲ ἀποκινδυνεύειν ᾠήθησαν δεῖν. δεῖ δὴ τοὺς πρὸς τὰ κοινὰ φιλοτιμουμένους μὴ κατέχειν μὲν ἑτέρων χώραν πρέσβεων, οὓς ἐξῆν πέμπειν ἀνθ' ἡμῶν Ἀθηναίους, αὐτοὺς δὲ τὰς πρὸς Θηβαίους ἀπεχθείας φεύγειν.
42. 1 ὧν εἷς ὢν Ἐπαμινώνδας στρατηγὸς, οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα, εἶπε διαῤῥήδην ἐν τῷ πλήθει τῶν Θηβαίων, ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας.

λγ'. Ταῦτα δέ μου μεταξὺ λέγοντος, ἀναβοᾷ παμμέγεθες Δημοσθένης, ὡς ἴσασι πάντες οἱ συμπρέσβεις
5 ἡμῶν· καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς βοιωτιάζει. ἦν δ' οὖν παρ' αὐτοῦ [3]ταυτὶ λεγόμενα. ἄνθρωπος οὑτοσὶ ταραχῆς καὶ τόλμης ἐστὶ μεστός. ἐγὼ δ' ὁμολογῶ μαλακὸς εἶναι, καὶ τὰ δεινὰ πόῤῥωθεν δεδιέναι. ἀπαγορεύω μέντοι, μὴ συνταράττειν ἡμᾶς πρὸς ἀλλήλας τὰς πόλεις, τὸ μὴ πολυπραγμονεῖν ἡμᾶς τοὺς πρέσβεις μηδὲν, τοῦτ' ἀγαθὸν

[1] ἠξίωσαν [2] αὐτοῖς μὲν κατέλιπον [3] τοιαυταῖ τὰ λεγόμενα

Ἐν τῷ ψηφίσματι] Delenda hæc opinor, ut vitetur ineptæ tautologiæ species. MARKLAND.

Ταῦτ ἂν ἠξίωσεν ἐν τῷ ψ.] *Hæc in decreto petiisset.* Superfluum enim est istud *etiam*, ut censet idem vir eruditissimus. TAYLOR. Alii ἠξίωσαν et deinde κατέλιπον, quod malim, etiamsi hæc duo verba referantur ad δῆμος. AUGER.

Νῦν δὲ κ. τ. λ.] Ita hæc legit et distinguit vir summus, νῦν δὲ αὐτοῖς μὲν [legatis] κατέλιπε [sc. ὁ δῆμος] τὴν εἰς τὸ ἀφανὲς ἀναφορὰν, ἂν μὴ πείθωσιν· ἐν ἡμῖν δὲ ἀποκινδυνεύειν ᾠήθη δεῖν. TAYLOR.

Ἂν μὴ πείθωσιν] Id est, *si Philippo non persuaserint* legati, ut Thebanorum insolentiam compesceret, et Bœotiæ civitates instauraret. MARKLAND.

ὨΙήθησαν] Id est, *censuerunt*, non *censuit*; quod tamen postulat sensus. Unde patet legendum esse ᾠήθη, nempe ὁ δῆμος, ut κατέλιπε. IDEM.

Ὧν εἷς Ἐπαμινώνδας στρατηγὸς] Aut alius est hic Epaminondas: aut olim hoc dixit ille Epaminondas. Ante complures enim annos ad Mantineam occubuerat. WOLF.

Εἰς τὴν προστασίαν τῆς Καδμείας] Utrum est loci alicujus in arce Thebana nomen? aut significat, ante arcem esse collocanda? WOLF. Locum laudat et explicat Harpocr. in v. Interpres perperam *ornamentum*. TAYLOR.

λγ'. Ἀναβοᾷ παμμέγεθες] Lege. WOLF. Nam Aldus habebat πᾶν μέγεθες. TAYLOR.

Ὡς ἴσασι κ. τ. λ.] Utrum, *scire hoc* (Epaminondæ dictum) *omnes collegas nostros. Nam præter cetera mala etiam Bœotiis me favere?* An, *ut sciunt omnes collegæ nostri, nam præter cetera mala etiam Bœotiis favet?* Posterior sententia videtur esse vera, et consentire cum historia, ut Æschines Demostheni studium Thebanorum objiciat. WOLF. Bœotiorum potius, quod alia res est. TAYLOR.

Βοιωτιάζει] Περὶ τοὺς Βοιωτοὺς σπουδάζει ὁ Δημοσθένης. WOLF.

Συνταράττειν] Scribendum puto, μὴ συναράττειν, *non collidere*. MARKLAND.

Ἀγαθὸν] Alluditur ad plebiscitum, in quo hoc fuit, *ut Legati efficerent* καὶ ἄλλ' ὅτι ἂν δύνωνται ἀγαθὸν p. 124. l. antepen. IDEM. Adde §. λζ'. TAYLOR.

ὑπολαμβάνων εἶναι. πορεύεται Φίλιππος εἰς Πύλας; ἐγὼ δὲ ἐγκαλύπτομαι. οὐδεὶς με τῶν ὅπλων ἕνεκα τῶν Φιλίπ- 10
που κρινεῖ, ἀλλ' ὧν ἂν εἴπω τι μὴ δέον, ἢ πράξω τι τῶν μὴ προστεταγμένων. πέρας δὲ τοῦ πράγματος, ἐψηφίσαντο οἱ συμπρέσβεις, κατ' ἄνδρα ἐπερωτώμενος ἕκαστος ἡμῶν, ὅ,τι νομίζει συμφέρειν, τοῦτο λέγειν. ὅτι δ' ἀληθῆ
277 λέγω, καλεῖ μοι τοὺς συμπρέσβεις, καὶ τὴν μαρτυρίαν αὐτῶν λέγε.

ΜΑΡΤΥΡΙΑ.

λδ. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, συνελέγησαν μὲν εἰς 15
Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ Φίλιππος, καὶ τοὺς Ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρήειμεν, οὐ καθ' ἡλικίαν, ὥσπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ, ὃ παρά τισιν [1] εὐδοκιμεῖ, καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο, ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν. φάσκων γὰρ νεώτατος εἶναι πάντων, τὴν τάξιν τοῦ πρῶτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν τινὶ, αἰνιττόμενος εἰς ἐμὲ, προκαταλαβόντα τὰ Φιλίππου ὦτα, τοῖς ἄλλοις 20
λόγον μὴ καταλιπεῖν. ἀρξάμενος [2] δὲ τοῦ λέγειν, πρῶτον διαβολήν τινα κατὰ τῶν συμπρέσβεων ὑπειπὼν, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν, οὐδ' ὅμοιοι ταῖς δόξαις [3] ἥκομεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηργμένας εἰς Φίλιππον αὐτῷ, πρώτην μὲν τὴν ἐν τῷ ψηφίσματι τοῦ Φιλοκράτους συνηγορίαν, ὅτε ἔφευγε παρανόμων, ἐξεῖναι γράψας Φι- 25

[1] εὐδοκίμει [2] γὰρ [3] ἥκειμεν

Ὧν ἂν εἴπω τι] Τὸ τι videtur πλεονάζειν, sed eleganter. Wolf. F. τι μὴ δέοντων. Auger.

Πέρας] Κατὰ τὸ πέρας, ἐπιῤῥηματικῶς. Vel, τοῦτο δὲ τὸ πέρας ἐγένετο τοῦ πράγματος. Wolf.

Νομίζει] F. νομίζοι. Markland.

λδ'. Παρείειμεν] [Ut Aldus mendose] παρήειμεν ἢ παρῆμεν. Et [l. 14.] εὐδοκίμει. Wolf.

Εὐδοκιμεῖ] L. κὐδοκίμει, vel εὐδοκίμει, quod et habet Steph. Editio. Markland.

Προκαταλαβόντα] Ἵνα μὴ προκαταλαβὼν τὰ ὦτα, μὴ καταλίπῃ λόγον τοῖς ἄλλοις. Et [l. prox.] ἀρξάμενος δὲ τοῦ λέγειν, πρῶτον μὲν (vel τοῦ λέγειν πρῶτον) —— ὑπειπών. Wolf. Pro προκαταλαβόντι. Vid. ad fin. Orat. Demosth. π. παραπρεσβ. Markland.

Ἀρξάμενος γὰρ] Ἀρξάμενος δὲ cum Wolfio Scalig. Editi ita: ἀρξάμενος γὰρ τοῦ λέγειν, πρῶτος κ. τ. λ. Taylor. Retinendum fuit γὰρ, quæ vox hic, ut et sæpissime alias, non est conjunctio, sed signum rei alicujus quod incipit. Auger.

Αὐτῷ] Αὐτῶ. Markland.

Τὴν ἐν] Lege τὴν τῷ ψηφίσματι τοῦ Φιλοκράτους συνηγορίαν, sicut dicitur, συναγορεύω τῷ ψηφίσματι, et quia πρώτην antecedit (refertur enim ad ὑπηρεσίαν) fortasse legendum etiam, δευτέραν —— πρίτην. Wolf. Alii δεύτερον —— πρίτον. Taylor.

λίππῳ, πρέσβεις πρὸς Ἀθηναίους ὑπὲρ εἰρήνης πέμπειν,
[1] δευτέραν δὲ, ὑπανέγνω τὸ ψήφισμα ὃ γεγραφὼς αὐτὸς ἦν,
σπείσασθαι τῷ κήρυκι, καὶ τῇ παρὰ Φιλίππου πρεσβείᾳ,
[2] τρίτην δὲ, τὸ περὶ τοῦ βουλεύσασθαι τὸν δῆμον ὑπὲρ εἰ-
ρήνης ἐν τακταῖς ἡμέραις. καὶ προσέθηκέ τι τοιοῦτον ἐνθύ-
μημα τῷ λόγῳ, ὅτι πρῶτος ἐπιστομίσαι τοὺς τὴν εἰρήνην
30 ἐκκλείοντας, οὐ τοῖς λόγοις, ἀλλὰ τοῖς χρόνοις. ἔπειθ' ἕτε-
ρον ἐπῆγε ψήφισμα, τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι 278
τὸν δῆμον. καὶ μετὰ ταῦτ' ἤδη, τὸ περὶ τῆς προεδρίας τῆς
εἰς τὰ Διονύσια τοῖς πρέσβεσι τοῖς Φιλίππου ψήφισμα.
καὶ προσέθηκε τὴν ἐπιμέλειαν [3] τὴν ἐπ' αὐτοὺς, καὶ προσ-
κεφαλαίων θέσιν, καὶ φυλακάς τινας, καὶ ἀγρυπνίας διὰ
τοὺς φθονοῦντας, καὶ βουλομένους εἰς τὴν αὐτοῦ φιλοτιμίαν
35 ὑβρίσαι. καὶ τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ
συμπρέσβεις ἐνεκαλύψαντο, ὡς ἐξένισε τοὺς πρέσβεις τοὺς
Φιλίππου, ὡς ἐμισθώσατ' αὐτοῖς, ὅτ' ἀπῄεσαν, ὁρικὰ
ζεύγη, καὶ συμπαρῄει ἐφ' ἵππου, οὐ καταδὺς εἰς τὸ σκό-
τος, ὥσπερ ἕτεροι τινὲς, ἀλλὰ φανερῶς ἐπιδεικνύμενος τὴν
τῶν πραγμάτων θεραπείαν. ἐκεῖνα δὲ ἤδη καὶ σφόδρα
διωθοῦτο. οὐκ εἶπον ὡς καλὸς εἶ· γυνὴ γὰρ τῶν ὄντων
40 ἐστὶ κάλλιστον. οὐδ' ὡς δεινὸς συμπιεῖν· σπογγιᾶς τὸν
ἔπαινον ὑπολαμβάνων τοῦτον εἶναι. οὐδ' ὡς μνημονικός·
σοφιστοῦ τὰ τοιαῦτα νομίζων ἐργολαβοῦντος ἐγκώμια
εἶναι. ἵνα δὲ μὴ μακρολογῶ, τοιαῦτα ἦν ἃ ἔλεγε παρόν-
των τῶν πρέσβεων, ὡς ἔπος εἰπεῖν, ἐξ ἁπάσης τῆς Ἑλλά-
δος. ἐφ' οἷς γέλωτες οὐχ οἱ τυχόντες ἐγένοντο.

λέ. Ἐπειδὴ δέ ποτ' ἐπαύσατο, καὶ σιωπὴ ἐγένετο,
ἠναγκαζόμην ἐγὼ λέγειν μετὰ τοιαύτην ἀπαιδευσίαν, καὶ
43. 1 κολακείας αἰσχρᾶς ὑπερβολὴν, καὶ μικρὰ προεῖπον ἐξ
ἀνάγκης, πρὸς τὴν προειρημένην κατὰ τῶν συμπρέσβεων

[1] δεύτερον [2] τρίτον [3] τὴν αὐτοῦ

Τὸ περὶ τοῦ β.] Subaudi ψήφισμα. AUGER.

Ἐν τακταῖς ἡμέραις] Sequitur, ἐπιστομίσαι τοὺς τὴν εἰρήνην ἐκκλείοντας, οὐ τοῖς λόγοις, ἀλλὰ τοῖς χρόνοις. WOLF.

Ἐπῆγε] Ἐπάγετο. SCAIIG.

Τὴν ἐπιμέλειαν τὴν περὶ αὐτοὺς] Lego. Et [l. 12.] ἀγρυπνίαν. Hæc omnia videtur confinxisse Æschines ad deridendum adversarium. WOLF. αὐτοῖς. MARKLAND.

Ὁρικὰ] Ορεικα potius. Const. Ex edit. BROOK.

Πραγμάτων] Non λόγων tantum. MARKLAND. Subaudi φιλίππου. AUGER.

Εἶ] Π. εἴη. STEPHAN. Inscite. Verba enim recitat, quæ habuit Demosthenes coram Philippo. TAYLOR.

279 ὑπ' αὐτοῦ διαβολήν. λέγων ὅτι πέμψειαν ἡμᾶς Ἀθηναῖοι πρέσβεις, οὐκ ἀπολογησομένους ἐν Μακεδονίᾳ περὶ ἡμῶν αὐτῶν, ἀλλ' οἴκοθεν ἐκ τοῦ βίου δεδοκιμασμένους ἀξίους τῆς πόλεως εἶναι. βραχέα δ' ὑπὲρ τῶν ὅρκων προειπὼν ἐφ' 5 οὓς ἥκομεν ἀποληψόμενοι, καὶ περὶ τῶν ἄλλων ἃ προσετάξατε ὑμεῖς διεξήειν, — ὁ γὰρ περιττὸς, [1] καὶ τοῖς λόγοις δεινὸς Δημοσθένης, οὐδενὸς τῶν ἀναγκαίων ἐμνήσθη —, [2] καὶ δὴ περὶ τῆς εἰς Πύλας στρατείας εἶπον, καὶ περὶ τῶν ἱερῶν, καὶ περὶ Δελφῶν, καὶ περὶ τῶν Ἀμφικτυόνων, καὶ μάλιστα μὲν Φίλιππον ἠξίουν, μὴ μεθ' ὅπλων, ἀλλὰ μετὰ ψήφου καὶ κρίσεως, [3] τ' ἀκεῖ καθιστάναι. εἰ δ' ἄρα μὴ δυνατὸν εἴη, — τοῦτο δ' ἦν πρόδηλον, τὸ γὰρ στρατό- 10 πεδον παρῆν καὶ συνήθροιστο —, εἶπον ὅτι τὸν μέλλοντα ὑπὲρ Ἑλληνικῶν ἱερῶν βουλεύεσθαι, πολλὴν προσήκει πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν, καὶ τοῖς περὶ τῶν πατρίων ἐγχειροῦσι διδάσκειν, προσέχειν τὸν νοῦν. ἅμα δὲ ἐξ ἀρχῆς διεξῆλθον τὴν κτίσιν τοῦ ἱεροῦ, καὶ τὴν πρώτην σύνοδον γενομένην τῶν Ἀμφικτυόνων, καὶ τοὺς ὅρκους αὐτῶν ἀνέγνων, ἐν οἷς ἔνορκον ἦν τοῖς ἀρχαίοις, μηδεμίαν πόλιν τῶν Ἀμ- 15 φικτυονίδων ἀνάσταστον ποιήσειν, μηδ' ὑδάτων ναματιαίων εἴρξειν, μήτ' ἐν πολέμῳ, μήτ' ἐν εἰρήνῃ, ἐὰν δέ τις ταῦτα παραβῇ, στρατεύσειν ἐπὶ τοῦτον, καὶ τὰς πόλεις ἀναστήσειν. καὶ ἐάν τις ἢ συλᾷ τὰ τοῦ θεοῦ, ἢ συνειδῇ τι, ἢ βουλεύσῃ [4] τί κατὰ τῶν ἐν τῷ ἱερῷ, τιμωρήσειν καὶ ποδὶ

[1] κἀν [2] καὶ δὴ καὶ περὶ [3] τἀκεῖ [4] τι

Ὅτι πέμψειαν ἡμᾶς Ἀθηναῖοι] Wolf. Ita quoque dedit Stephanus, et emendavit cum Brodæo, Scaliger. Taylor.

Πίμψει] Solœcissat hæc Oratio. Lege ἔπεμψαν. Palmer.

Διδοκιμασμένους ἀξίους —— εἶναι] Ὅτι ἄξιοί ἐσμεν. Wolf.

Καὶ] F. κἀν. id est, καὶ ἐν. Markland. Alii καὶ ἐν τοῖς, quod malim. Auger.

Τἀκεῖ] Τὰ ἐκεῖ, τὰ ἐν Δελφοῖς. Wolf.

Μηδ' ὑδάτων ναματιαίων εἴρξειν] *Nec aqua profluente prohibituros.* Quæ ista esset inhumanitas? Nisi forte capiatur, pro, non obsidere, nec aqua et igni interdicere. V. *a lustralibus aquis arcere.* Wolf.

Ἐὰν δέ τις ταῦτα παραβολῇ, στρατεύειν] Παραβῇ et στρατεύσειν. Wolf. Brodæus. Π. παραβῇ, ἢ, παραβαίνῃ. Καὶ στρατεύσειν. Stephan. Γρ. παραβαίη et παραβαίνῃ Bern. παραβῇ Coisl. Regg. 1. 2. 3. et Mead. Taylor.

Στρατεύσειν] Nempe Ἀμφικτύονας. Deinde τὰς πόλεις sub. αὐτοῦ. Auger.

Καὶ τὰς πόλεις ἀναστήσειν] Τὸ ἀνιστάναι alias est ἀνάστατον ποιῆσαι. Unde et ἀνάστασις πόλεως, ἡ ἀναστάτωσις. Sed hic videtur poni, ἀντὶ τοῦ, ἀνοικίσειν, *se instauraturos urbem eversam.* Sin prior interpretatio huc convenire videtur, accipiatur de urbibus eorum qui Amphictyonicam urbem oppugnarint. Wolf.

Συνιδῇτι] [Ut Aldus] συνειδῇ τι, aut συνιδῇ τι ratio grammatica postulat. Idem. Π. συνειδῇ, ἢ συνίδῃ. Stephan. Qui dedit συνιδῇ. Συνειδῇ Coisl. Regg. 1. 2. 3. Mead. Taylor.

καὶ χειρὶ, καὶ φωνῇ, καὶ πάσῃ δυνάμει. καὶ προσῆν τῷ 280
ὄρκῳ ἀρὰ ἰσχυρά.

λς'. Τούτων δὲ ἀναγνωσθέντων, ἀπεφηνάμην, ὅτι ἐμοὶ
20 δοκεῖ δίκαιον εἶναι, μὴ περιορᾶν κατεσκαμμένας τὰς ἐν
Βοιωτοῖς πόλεις, ὅτι δὴ ἦσαν Ἀμφικτυονίδες καὶ ἔνορκοι.
κατηριθμησάμην δ' ἔθνη δώδεκα, τὰ μετέχοντα τοῦ ἱεροῦ,
Θετταλοὺς, Βοιωτοὺς, οὐ Θηβαίους μόνους, Δωριέας, Ἴωνας,
Περῤῥαιβοὺς, Μάγνητας, Λοκροὺς, Οἰταίους, Φθιώτας, Μα-
λεεῖς, Φωκεῖς, καὶ τούτων ἔδειξα ἕκαστον ἔθνος ἰσόψηφον,
γενόμενον, τὸ μέγιστον τῷ ἐλάττονι, τὸν ἥκοντα ἐκ Δω-
25 ρίου, καὶ Κυτινίου, ἴσον δυνάμενον Λακεδαιμονίοις· δύο γὰρ
ψήφους ἕκαστον φέρει ἔθνος. πάλιν ἐκ τῶν Ἰώνων τὸν [1]Ἐρυ-
θραῖον, καὶ Πριηνέα, τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους
κατὰ ταὐτά. τὴν μὲν οὖν ἀρχὴν τῆς στρατείας ταύτης
ὁσίαν καὶ δικαίαν ἀπεφηνάμην εἶναι. συλλεγέντων δὲ τῶν
Ἀμφικτυόνων εἰς τὸ ἱερὸν, καὶ τυχόντων [2]ἰσηγορίας, καὶ
ψήφου, τοὺς αἰτίους τῆς ἐξ ἀρχῆς καταλήψεως τοῦ ἱεροῦ,
30 δίκης ἠξίουν τυχεῖν, μὴ τὰς πατρίδας αὐτῶν, ἀλλ' αὐτοὺς
τοὺς χειρουργήσαντας, καὶ βουλεύσαντας, τὰς δὲ πόλεις
παρεχούσας εἰς κρίσιν τοὺς ἀδικήσαντας, ἀζημίους εἶναι.
εἰ δὲ ἐπεξελθὼν δυνάμει, [3]ἔφην, βεβαιώσεις τὰ Θηβαίων

[1] Ἐρετριέα [2] σωτηρίας [3] Deest ἔφην.

Καὶ πρὸσῆν] F. καὶ ὅτι προσῆν, Scil. εἶπον ὅτι. Nisi legendum προσεῖναι — ἀρὰν ἰσχυράν. MARKLAND.

λς'. Κατηριθμησάμην δ' ἔθνη] WOLF. Δὲ enim deerat. καὶ ἠριθμησάμην Reg. 2. TAYLOR.

Δώδεκα] Diversus ab ea enumeratione est catalogus Pausaniæ, quem vide in Phocicis. Id non est mirum. Nam ex eodem Pausaniæ loco disces aliquando mutationes in eo factas, et sublatis Phocensibus, Macedonas insertos fuisse in eum numerum. PALMER. Duodecim Gentes (quarum unam apud Æschinem desidero) sic alicubi enumerat Harpocratio: Ἴωνες, Δωριεῖς, Περῤῥαιβαῖοι, Βοιωτοὶ, Μάγνητες, Ἀχαῖοι, Φθιῶται, Μηλιεῖς, Δόλοπες, Ἀνιᾶνες, Δελφοὶ, Φωκεῖς. TAYLOR.

Μαλεεῖς] Μαλιεῖς. SCALIG.

Ἐλάττονι] Ἐλαχίστῳ. IDEM.

Φέρει] F. φέρειν, sc. ἔδειξα. Monstravit enim hoc Philippo tunc, non nunc narrat Atheniensibus. MARKLAND.

Τὸν Ἐρετριέα] Τὸν Ἐρυθραῖον fortasse. Nam Ἐρέτρεια Eubœæ est. WOLF.

Ἀπεφηνάμην εἶναι] S. δεῖν. WOLF. Erasse videtur. TAYLOR. Ante εἶναι sub. vel adde δεῖν. AUGER.

Συλλεγέντων] Ὑποθετικῶς, ἐὰν συλλεγῶσιν, aut, εἰ συλλεγείησαν. WOLF. Iterum errat. TAYLOR.

Ἀμφικτυόνων] Ἀπάντων. vel, τῶν Ἀμφικτυόνων ἁπάντων. SCALIG.

Καὶ τυχόντων σωτηρίας] F. ἰσηγορίας. WOLF.

Εἰ δ' ἐπεξελθὼν δυνάμει, ἔφην, βεβαιώσεις] Τὸ ἔφην puto interponendum. Ἐπεξελθὼν S. κατὰ Φωκέων, qui in armis adhuc erant, eoque referendum est superius illud, τυχόντων σωτηρίας. Βεβαιώσεις, *confirmabis.* quomodo? Utrum adjutor eris injuriarum, quibus afficiunt Phocenses? an vero, crimine illos liberabis, quasi justam causam habeant, Phocenses injustam? IDEM.

ἀδικήματα, παρ' ὧν μὲν βοηθεῖς, οὐκ ἀπολήψῃ χάριν —
281 οὐ γὰρ ἂν δύναιο αὐτοὺς τηλικαῦτα εὐεργετῆσαι, ἡλίκα
Ἀθηναῖοι πρότερον, ὧν οὐ μέμνηνται —, οὓς δ' ἐγκατα-
λείψεις, ἀδικήσεις, χρήσῃ [1]δ' ἐχθροῖς μείζοσιν, ἀλλ' οὐ
φίλοις. ἵνα δὲ μὴ διατρίβω τοὺς ἐκεῖ λόγους ῥηθέντας νῦν 35
πρὸς ὑμᾶς ἀκριβῶς διεξιὼν, ἐν κεφαλαίῳ περὶ πάντων εἰ-
πὼν παύσομαι. ἡ μὲν τύχη καὶ Φίλιππος ἦσαν τῶν ἔργων
κύριοι· ἐγὼ δὲ τῆς πρὸς ὑμᾶς εὐνοίας, καὶ τῶν λόγων. παρ'
ἐμοῦ μὲν οὖν ἐρρέθη τὰ δίκαια καὶ τὰ συμφέροντα ὑμῖν·
ἀπέβη δὲ οὐχ ὡς ἡμεῖς ηὐχόμεθα, ἀλλ' ὡς Φίλιππος
ἔπραξε. πότερον οὖν ὁ μηδὲν προθυμηθεὶς ἐργάσασθαι
ἀγαθὸν, δίκαιός ἐστιν εὐδοξεῖν, ἢ ὁ μηδὲν ὧν ἦν δυνατὸς, 40
ἐλλείπων; ἐν δὲ τῷ παρόντι νυνὶ πολλὰ διὰ τὸν καιρὸν
παραλείπω.

λζ'. Εἶπε δὲ, ὡς ἐψευδολόγουν, φάσκων ὀλίγων ἡμερῶν
τὰς Θήβας ἔσεσθαι ταπεινὰς, καὶ τοὺς Εὐβοέας ὡς ἐφό-
βουν, προάγων εἰς ἐλπίδας τινὰς ὑμᾶς. ὃ δὲ ποιεῖ, καταμάθετε, ὦ Ἀθηναῖοι. ἐγὼ γὰρ παρὰ Φιλίππῳ μὲν ὢν,
ἠξίωσα, πρὸς δ' ὑμᾶς ἥκων, ἀπήγγελλον, ὅτι τὰς Θήβας
[2]Βοιωτίας δίκαιον ἡγοίμην εἶναι, καὶ μὴ τὴν Βοιωτίαν 44.1
[3]Θηβῶν. τοῦτο οὐκ ἀπαγγεῖλαι, ἀλλ' ὑποσχέσθαι με
φησίν. ἔλεγον δὲ πρὸς ὑμᾶς, ὅτι Κλεοχάρης ὁ Χαλκιδεὺς
θαυμάζειν ὑμῶν καὶ Φιλίππου φαίη τὴν ἐξαίφνης ὁμόνοιαν,

[1] Deest δ'. [2] Βοιωτίαν [3] Θήβας

Παρ' ὧν μὲν βοηθεῖς] Παρ' ἐκείνων, οἷς. Et ἀπολήψῃ ab ἀπολαμβάνω [non ἀπολείψῃ, ut Aldus]. Idem.

Ἡλίκα Ἀθηναῖοι] Cum illos contra Lacedæmonios defenderunt. Vide Plataïcum Isocratis, et Xenophontis Ἑλληνικά. Idem.

Οὓς δ' ἐγκαταλείψεις] Phocenses, opinor, innuit. Idem.

Χρήσῃ δ' ἐχθροῖς] Utrum τοῖς ἐγκαταλειφθεῖσιν, ἢ τοῖς Θηβαίοις? Deinde μείζοσι vel πλείοσι, vel δυνατωτέροις. Idem.

Ἐχθροῖς] S. τοῖς Θηβαίοις. Thebani aucta potentia inimiciores tibi erunt. Idem.

Ἀλλ' οὐ φίλοις] M. ἀλλ' ἢ οὐ φίλοις: et v. 1. p. seq. L. καὶ τὸ delendo ὡς. Auger.

Διεξιὼν] Τῷ διεξιέναι. Wolf.

Ὧν ἦν δυνατὸς] F. δυνατὸν, S. αὐτῷ. ἔσα κλοιόθη. Vel, ὧν ἦν ἐγκρατὴς, id est, ἂν ἐκράτει. Idem.

Ἐλλείπων;] F. ἐλλείπων, ὧν ἔν γε τῷ παρόντι κ. τ. λ. Markland.

λζ'. Εἶπε] Vid. Dem. orat. §. ή. Ex edit. Brook.

Καὶ τοὺς Εὐβοέας, ὡς ἐφόβουν] Comma delendum post Εὐβοέας, et post ἐφόβουν ponendum videtur. Εἶπεν ὡς ἐγὼ ἐφόβουν τοὺς Εὐβοέας, me terruisse Eubœenses. Wolf.

Τινὰς] L. κενὰς, vanas, ut Demosth. in Androt. §. ζ. αἰτίας καὶ λοιδορίας κενάς. Noster c. Ctesiph. §. λγ'. med. φέροντας μὲν τῷ δήμῳ ἐλπίδας κενάς. Natus error ex similitudine soni, in vocibus τινὰς et κενάς. Markland.

Ὃ δὲ ποιεῖ] Ὃ δ' ἐποίουν. Scalig.

Βοιωτίαν, Θήβας] F. Θηβῶν. Thebas in potestate Bœotiæ, non Bœotiam in potestate Thebarum esse oportere. Wolf.

Ὅτι Κλεοχάρης] Cleocharem illud etiam mirari se dixisse, quod decreto mandatum

[1] ὡς καὶ τὸ προστεταγμένον ἡμῖν πράττειν ἀγαθὸν ὅ,τι
ἂν δυνώμεθα, ἐν τῷ ψηφίσματι. τοὺς γὰρ μικροπολίτας, 282
5 ὥσπερ αὐτοὺς, φοβεῖν τὰ τῶν μειζόνων ἀπόρρητα. ταῦτα
οὐ διηγήσασθαί με φησὶν, ἀλλ' ἐπηγγέλθαι, τὴν Εὔβοιαν
παραδώσειν. ἐγὼ δὲ ὑπειλήφειν δεῖν τὴν πόλιν τὴν ὑπὲρ τῶν
ὅλων μέλλουσαν βουλεύεσθαι, μηδενὸς λόγου Ἑλληνικοῦ
ἀνήκοον εἶναι.

λή. Διέβαλλε δὲ κἀκεῖνον διαιρούμενος τὸν λόγον, ὡς
ἀπαγγέλλειν τἀληθῆ βουλόμενος, ὑπ' ἐμοῦ καὶ Φιλοκρά-
τους κωλυθείη. ἐγὼ δ' ἡδέως ἂν ὑμᾶς ἐροίμην, εἴ τις πώ-
10 ποτε Ἀθηναίων [2] πρεσβευτὴς ἐκπεμφθεὶς, ἐφ' οἷς πεπρέ-
σβευκε κεκώλυται πρὸς τὸν δῆμον ἀπαγγέλλειν, καὶ ταῦ-
τα παθὼν, καὶ ἀτιμασθεὶς ὑπὸ τῶν συμπρέσβεων, τού-
τους ἔγραψεν ἐπαινέσαι, καὶ καλέσαι ἐπὶ δεῖπνον. Δημο-
σθένης τοίνυν ἥκων ἀπὸ τῆς ὑστέρας πρεσβείας, ἐν ᾗ φησὶ
τὰ τῶν Ἑλλήνων πράγματα ἀνατραπῆναι, οὐκ ἐν τῷ ψη-
φίσματι μόνον ἡμᾶς ἐπῄνει, ἀλλ' ἀπαγγείλαντος πρὸς τὸν
15 δῆμον ἐμοῦ τοὺς τότε περὶ τῶν Ἀμφικτυόνων λόγους, καὶ
Βοιωτῶν, οὐχ ὥσπερ νῦν συντέμνοντος, οὐδ' ἐπειγομένου,
ἀλλ' ὡς ἐδυνάμην κατὰ ῥῆμα ἀκριβέστατα, καὶ τοῦ δήμου
σφόδρα ἀποδεχομένου, παρακληθεὶς ὑπ' ἐμοῦ μετὰ τῶν
ἄλλων συμπρέσβεων, καὶ διερωτώμενος, εἰ τἀληθῆ καὶ
ταὐτὰ ἀπαγγέλλω πρὸς Ἀθηναίους, ἅπερ καὶ πρὸς Φί-
λιππον εἶπον, πάντων μαρτυρούντων, καὶ ἐπαινούντων με
20 τῶν συμπρέσβεων, ἐπαναστὰς ἐπὶ πᾶσιν, οὐκ ἔφη με
ὥσπερ ἐκεῖ εἶπον, οὕτως ἐν τῷ παρόντι λέγειν, ἀλλ' ἐκεῖ 283

[1] Deest ὡς.

[2] πρεσβεῦσαι

nobis esset, etc. IDEM.

Μικροπολίτας] Πολίτας μικρῶν πολιχνίων. IDEM.

Παραδώσειν] Nempe Φίλιππον Ἀθηναίοις. AUGER.

λή. Διέβαλλε] Vid. Dem. orat. §. ιέ. et §. νγ'. *Ex edit.* BROOK.

Κἀκεῖνον διαιρούμενος τὸν λόγον] *Dividendo*, id est, seorsim explicavit. WOLF.

Διαιρούμενος] Διασυρόμενος. γρ. διασύρων. SCALIG. F. διέβαλλε δὲ κἀκεῖνο, διαιρούμενος τὸν λόγον. Scil. *Dum locos orationis dividit* (*in opere dividundo*) et illud *quoque exagitavit, nempe* — TAYLOR. M. διαιρόμενος, absolute sumptum, *magna voce contendens.* — διέβαλε δὲ - - - *illum autem sermonem calumniatus est*, i. e. illud etiam dicens calumniatus est, quod &c. AUGER.

Ταῦτα] F. ποιαῦτα. i. e. καὶ εἴ τις ποιαῦτα παθών. MARKLAND.

Ἐδυνάμην κατὰ] Ἐδυνάμην ἐγὼ κατά. SCALIG.

Κατὰ ῥῆμα] *Verbatim, iisdem verbis*, τοῖς αὐτοῖς ῥήμασιν, αὐτολεξεί. WOLF.

Καὶ ταὐτὰ ἀπαγγέλλω] Ita legit et interpretatur Wolfius. Vulgo ταῦτα. TAYLOR.

Ἀπαγγέλλω] Scribe ἐπαγγέλλω. BRODÆUS. Infeliciter sane. TAYLOR.

διπλασίως ἄμεινον. καὶ τούτων ὑμεῖς οἱ τὴν ψῆφον μέλλοντες φέρειν, ἐστέ μοι μάρτυρες. καί τοι τίς ἂν αὐτῷ καλλίων καιρὸς ἐγένετο, ἢ τότ' ἐξελέγχειν εὐθύς, εἴ τι τὴν πόλιν ἐξηπάτων;

λθ'. Φὴς γάρ με ἐν μὲν τῇ πρώτῃ πρεσβείᾳ λαθεῖν σαυτὸν συνεστηκότα ἐπὶ τὴν πόλιν, ἐν δὲ τῇ ὑστεραίᾳ αἰσθέσθαι, ἐν ᾗ συναγορεύων μοι φαίνῃ. κἀκείνης μὲν ἅμα 25 κατηγορῶν, οὐ φὴς κατηγορεῖν· τῆς δ' ἐπὶ τοὺς ὅρκους [1] κατηγορεῖς. καί τοι εἰ τὴν εἰρήνην ψέγεις, σὺ καὶ τὴν συμμαχίαν ἔγραψας. καὶ Φίλιππος, εἴ τι τὴν πόλιν ἐξηπάτα, διὰ τοῦτο ἐψεύδετο, ὅπως τῆς εἰρήνης, ἥπερ συνέφερεν αὐτῷ, τύχοι. οὐκοῦν ἡ μὲν προτέρα πρεσβεία τὸν καιρὸν τοῦτον εἶχεν· ἡ δὲ ὑστέρα ἐπὶ πεπραγμένοις ἐγίνετο. τίνες οὖν ἦσαν αἱ [2] ἀπάταις; ταῦτα γὰρ τοῦ γόητος ἀνθρώπου, ἐξ ὧν εἴρηκε, λογίσασθε.

μ'. Εἰσπλεῖν με φησὶν ἐν μονοξύλῳ πλοίῳ κατὰ τὸν 30 [3] Λυδίαν ποταμὸν τῆς νυκτὸς, [4] εἰς Φίλιππον, καὶ τὴν ἐπιστολὴν, τὴν δεῦρο ἐλθοῦσαν, Φιλίππῳ γράψαι. ὁ μὲν γὰρ Λεωσθένης, ὁ φεύγων ἐνθένδε διὰ τοὺς συκοφάντας, οὐ δυνατὸς ἦν ἐπιδεξίως ἐπιστολὴν γράψαι· ὃν οὐκ ὀκνοῦσί τινες ἀποφαίνεσθαι μετὰ Καλλίστρατον τὸν Ἀφιδναῖον, τῶν ἄλλων μάλιστα εἰπεῖν δύνασθαι. οὐδ' αὐτὸς ὁ Φίλιππος, πρὸς ὃν ἀντειπεῖν Δημοσθένης ὑπὲρ ὑμῶν οὐκ ἠδυνήθη. 35
284 οὐδ' ὁ Βυζάντιος Πύθων, ἄνθρωπος ἐπὶ τῷ γράφειν μέγα φρονῶν, ἀλλ', ὡς ἔοικε, τὸ πρᾶγμα ἐμοῦ προσεδεῖτο. καὶ λέγεις μέν, ὅτι Φιλίππῳ μεθ' ἡμέραν πολλάκις, μόνος

[1] κατηγορεῖς; [2] ἀπάται, (ταῦτα ---- ἀνθρώπου,) [3] Λειδίαν [4] ὡς

λθ'. φὴς γὰρ —] Vide Dem. orat. §. ς'. Eredit. Brook.

Κἀκείνης μὲν ἅμα] S. τῆς πρώτης πρεσβείας. Wolf.

Κατηγορεῖς] F. κατηγορεῖν. φὴς sc. Taylor.

Τῆς εἰρήνης, εἴπερ κ. τ. λ.] F. ἥπερ. Wolf. Similiter Bern. quoque. Taylor. Alii Codices ἥπερ. Brodæus.

Ἡ δ' ὑστέρα ἐπὶ πεπραγμένοις ἐγίνετο] Τῆς εἰρήνης ἤδη γεγενημένης, καὶ τῶν συνθηκῶν, sicut ἐπὶ ῥητοῖς. Wolf.

μ'. Εἰσπλεῖν με φησὶν] Nec hoc est apud Demosthenem. Idem.

Λυδίαν] Λειδίαν scribitur in Harpocr. et Suid. De ea re etiam admonuit σχετικ. Vide Vales. ad Harpocrat. in v. Taylor.

Λεωσθένης] Utrum is, cujus meminit Pausanias? Wolf.

Ὑπὲρ ἡμῶν. M. ὑμῶν. Et [v. antepen.] ἄνθρωπος ἐπὶ τῷ γράφειν μέγα φρονῶν. Et [p. 133. l. 9.] εἰ συγχωρήσοι ὁ κατήγορος. Et [l. 10.] καὶ βασανεῖ. Et [l. 12.] ἐν διαμεμετρημένῃ. Vide Ulpianum. Idem. ὑμῶν etiam MS. Mead. Et recte. Taylor.

Ἐπὶ τῷ] Περὶ τὸ γράφειν Editi. Post γράφειν addit λόγους Scaliger. Idem.

Ὡς ἔοικε] Scilicet, εἰρωνικῶς. Wolf.

Καὶ λέγεις;] Vide Dem. orat. §. ηβ'. Eredit. Brook.

μόνῳ, διελεγόμην, αἰτιᾷ δὲ εἰσπλεῖν με νύκτωρ κατὰ τὸν ποταμόν. οὕτω νυκτερινῆς ἐπιστολῆς τὸ πρᾶγμα ἐδεῖτο. ὅτι δ' οὐδὲν ἀληθὲς λέγεις, ἥκουσι μὲν μαρτυρήσοντες, μεθ' ὧν συνεσίτουν, Ἀγλαοκρέων ὁ Γενέδιος, καὶ Ἰατροκλῆς ὁ Πασιφῶντος, μεθ' ὧν ἑξῆς ἅπαντα τὸν χρόνον τὰς νύκτας ἀνεπαυόμην, οἳ συνίσασιν ἐμοὶ, μηδεμίαν πώποτε ἀπ' αὐτῶν νύκτα ἀπογενομένῳ, μηδὲ μέρος νυκτός. ἄγομεν δὲ καὶ τοὺς οἰκέτας, καὶ παραδίδομεν εἰς βάσανον, καὶ τὸν μὲν λόγον, εἰ [1]συγχωρήσοι ὁ κατήγορος, καταλύω. παρέσται δὲ ἤδη ὁ δήμιος, καὶ βασανιεῖ ἐναντίον ὑμῶν, ἂν κελεύητε. [2]ἐνδέχεται τὸ λοιπὸν μέρος τῆς ἡμέρας ταῦτα πρᾶξαι. πρὸς ἕνδεκα γὰρ ἀμφορέας ἐν διαμεμετρημένῃ τῇ ἡμέρᾳ κρίνομαι. [3]κἂν φῶσιν ἀπόκοιτόν με τουτωνὶ πώποτε τῶν συσσίτων [4]βασανιζόμενοι γεγονέναι, μὴ φείσησθέ μου, ὦ Ἀθηναῖοι, ἀλλ' ἐξαναστάντες ἀποκτείνατε. ἐὰν δ' ἐξελεγχθῆς ψευδόμενος, Δημόσθενες, τοιαύτην δίκην δός· ὁμολόγησον ἀνδρόγυνος εἶναι, καὶ μὴ ἐλεύθερος, ἐναντίον τούτων. κάλει μοι τοὺς οἰκέτας δεῦρο ἐπὶ τὸ βῆμα, καὶ τὴν τῶν συμπρέσβεων ἀναγίνωσκε μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ. ΠΡΟΚΛΗΣΙΣ.

ἐπειδὴ τοίνυν οὐ δέχεται τὴν πρόκλησιν, οὐδ' ἄν φησιν

[1] συγχωρήσει [2] ἐνδέχεται δὲ τὸ [3] κἂν * βασανιζόμενοι φῶσιν [4] Deest βασανιζόμενοι.

Νυκτερινῆς ἐπιστολῆς] Simili lepore Apuleius in Apolog. *Unde autem servus Crassi suspicatus est* noctu *potissimum parietes fumigatos? An ex fumi colore? videlicet fumus nocturnus nigrior est, eoque diurno fumo differt?* MARKLAND.

Συνεσίτουν] Συνεσιτούμην. SCALIG.

Καὶ παραδίδομεν] Καὶ τούτους παραδίδομεν. IDEM.

Συγχωρήσοι] Π. συγχωρήσει ὁ κατήγορος, ἢ, συγχωρήσειε κατήγορος. Ἔστι δὲ πρ. γε. συγχωρήσοιο. STEPHANUS. συγχωρήσει Coisl. et Regg. tres. Cod. autem Bern. in 2da. persona συγχωρήσεις. TAYLOR. γρ. εἰ συγχωρεῖς σὺ ὁ. SCALIG.

Δήμιος] Carnifex ille vocatur δημόσιος, non δήμιος, si fides T. Magistro. Δημόκοινος καὶ βασανιστὴς — καὶ δημόσιος, ἃς παρ' Αἰσχίνῃ· πάρεστι δὲ ὁ δημόσιος, καὶ βασανιεῖ ἐναντίον ἡμῶν. Idque fideliter conservavit Mead. TAYLOR.

Ἐνδέχεται τὸ] *Temporis satis est.* WOLF. ἐνδέχεται δὲ τό. SCALIG.

Διαμεμετρημένῃ] Castiga διαμεμετρημένῃ. Demosth. adv. Nicostr. Ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον εἰσελθὼν εἰς τὸ δικαστήριον πρὸς ἡμέραν διαμεμετρημένην. Rursus, πρ. παραπρεσβ. Διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς διώκων. Libanius [immo Ulpianum potius dixisses] Τὸ δὲ πρὸς διαμεμετρημένην τὴν ἡμέραν φησὶν, ὅτι τινὲς τῶν ἀγώνων διὰ τὸ μέγεθος λαμβάνουσιν ὅρον τὴν ἡμέραν, καὶ ὕδωρ τὸ ἐξαρκοῦν. Æsch. c. Ctesiph. Εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων etc. BRODÆUS.

Οὐδ' ἄν φησιν] Quære, annon desit vox πίστιν post φησιν? Ita: οὐδ' ἄν φησι πίστιν ἐπὶ βασάνοις κ. τ. λ. ut in sententia simili apud Lysiam ὑπὲρ τ. Σκοῦ: οὐδὲν φάσκων πιστὸν εἶναι τοῖς θεράπουσιν. Ἂν —— γενέσθαι est γενήσεσθαι. *Et dicit, nullam fidem habendam fore quæstionibus*

285 [1]ἐπὶ βασάνοις ἀνδραπόδων γενέσθαι, λάβε μοι τὴν ἐπιστολὴν ταύτην, ἣν ὁ Φίλιππος ἔπεμψε. δῆλον γὰρ, ὅτι [2]τὰ μεγάλα τὴν πόλιν παραλογίζεται, δι' ἣν ἠγρυπνοῦμεν γράφοντες.

ΕΠΙΣΤΟΛΗ.

[3]ἀκούσατε, ὦ Ἀθηναῖοι, ὅτι τοὺς ὅρκους ἀπέδωκα, φησὶ, τοῖς ὑμετέροις πρέσβεσι, καὶ τῶν συμμάχων [4]ἑαυτοῦ τοὺς παραγενομένους κατ' ὄνομα [5]γέγραφα, καὶ αὐτοὺς, καὶ τὰς πόλεις αὐτῶν, τοὺς δ' ὑστερήσαντας τῶν συμμάχων, ἀποστελεῖν φησὶ πρὸς ὑμᾶς. ταῦτ' οὖν οὐκ ἂν οἴεσθε δύνασθαι γράψαι Φίλιππον μεθ' ἡμέραν ἄνευ ἐμοῦ; ἀλλ' ἔμοιγε νὴ τοὺς θεοὺς οὑτοσὶ δοκεῖ τοῦτο μόνον λογίζεσθαι, ὅπως μεταξὺ λέγων εὐδοκιμήσῃ· εἰ δὲ μικρὸν ἐπισχὼν δόξει πονηρότατος τῶν Ἑλλήνων εἶναι, οὐδὲ μικρὸν φροντίζει.

μά. Τί γὰρ ἄν τις τοιούτῳ πιστεύσειεν ἀνθρώπῳ, ὃς ἐγκεχείρηκε λέγειν, ὡς Φίλιππος οὐ τοῖς αὑτοῦ στρατηγήμασιν, ἀλλὰ ταῖς ἐμαῖς δημηγορίαις εἴσω Πυλῶν παρῆλθε; καὶ λογισμόν τινα ἡμερῶν συνηριθμεῖτο πρὸς ὑμᾶς, ἐν αἷς ἐγὼ μὲν ἀπήγγελλον τὴν πρεσβείαν, οἱ δὲ Φαλαίκου τοῦ Φωκέων τυράννου [6]δημοκήρυκες, τἀνθένδε ἐκεῖσε διήγ-

[1] ἐν [2] τὰ] * πάνυ [3] ἀκούετε, ὦ Ἀθηναῖοι· [4] τῶν ἑαυτοῦ [5] γέγραφε [6] δρομοκήρυκες

mancipiorum. In Aristocratea §. κθ'. fin. εἰπεῖν, ὅτι πίστιν ἂν οἴεται γενέσθαι μόνην, εἰ δείξαιεν etc. MARKLAND. Sub. ἑαυτὸν, *et negat se non pendere a tormentis servorum.* AUGER.

Ἐν βασάνοις] M. ἐπί. *Se non commissurum ut quæstio mancipiorum fraudi sibi esse possit.* Sic et Cicero in Miloniana. WOLF.

Ἔπεμψε] Ita distinguendum, ἔπεμψε· δῆλον γὰρ, ὅτι τὰ μεγάλα τὴν πόλιν παραλογίζεται· δι' ἣν ἠγρυπνοῦμεν γράφοντες. Ironice Parenthesis ista inseritur. Et verte, *Cape has literas, quas Philippus misit (constat enim eas magnis in rebus decipere civitatem) ob quas scribendas fuerit nobis lucubrandum.* MARKLAND.

ΕΠΙΣΤΟΛΗ] ΦΙΛΙΠΠΟΥ addit Mor. TAYLOR.

Ἀκούσατε] L. ἀκούετε, ut in aliis. AUGER.

Ἑαυτοῦ ——— γέγραφα] Aut ἐμαυτοῦ γέγραφα, aut ἑαυτοῦ γέγραφε. WOLF. τῶν ἑαυτοῦ Coisl. Reg. 2. et Mead. Notetur porro, quod Wolfio in mentem venerat, duorum porro Regiorum 1. et 3. alterum, ἐμαυτοῦ γέγραφα, alterum ἑαυτοῦ γέγραφε exhibere. TAYLOR. F. ἐμαυτοῦ, propter τὸ, γέγραφα. Quin et linguæ ratio videtur poscere, καὶ τῶν συμμάχων τῶν ἐμαυτοῦ. Alioquin scripsisset τῶν ἐμαυτοῦ συμμάχων: qui mos est Græce scribentibus. MARKLAND. συμμάχων τῶν ἐμαυτοῦ. AUGER.

Μικρὸν ἐπισχὼν] Μετ' ὀλίγον. WOLF.

Φροντίζει] M. φροντίζειν. AUGER.

μά. Καὶ λογισμὸν —] Vide Dem. orat. §. κ'. *Ex edit.* BROOK.

Δημοκήρυκες] Δρομοκήρυκες, οἱ λεγόμενοι ἡμεροδρόμοι, ex Æschine citat Harpocratio. Unde bene collegit Maussacus, Jungerman. ad Poll. Onomast. L. III. c. XXX. §. 148. Meursius Attic. Lect. III.

γελλον, πιστεύσαντες δὲ οἱ Φωκεῖς ἐμοὶ, εἴσω Πυλῶν αὐτὸν παρεδέξαντο, καὶ τὰς πόλεις τὰς αὐτῶν παρέδοσαν. ταῦτα μὲν οὖν ὁ κατήγορος μεμηχάνηται, τὰ δ' ἐν Φωκεῦσι διεφθάρη πράγματα, πρῶτον μὲν, διὰ τὴν τύχην, ἣ πάντων ἐστὶ κυρία, ἔπειτα διὰ τὸ μῆκος τοῦ χρόνου, καὶ τὸν 286
δεκαετῆ πόλεμον — τὸ γὰρ αὐτὸ ἠύξησέ τε τῶν ἐν Φω-
25 κεῦσι τυράννων τὰ πράγματα, καὶ καθεῖλε, κατέστησαν μὲν γὰρ εἰς τὴν ἀρχὴν, τολμήσαντες τῶν ἱερῶν χρημάτων ἅψασθαι, καὶ διὰ ξένων τὰς πολιτείας μετέστησαν, κατελύθησαν δ' ἀπορίᾳ χρημάτων, ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα —, [1] τρίτον δ' αὐτοὺς καθεῖλεν ἡ τοῖς ἀπορουμένοις στρατοπέδοις συνήθως παρακολουθοῦσα στάσις, [2] τέταρτον δ' ἡ Φαλαίκου περὶ τῶν μελλόντων ἔσεσθαι
30 πραγμάτων ἄγνοια. ἡ μὲν γὰρ Θετταλῶν, καὶ Φιλίππου [3] στρατιὰ, πρόδηλος ἦν, οὐ πολλῷ δὲ χρόνῳ πρότερον πρὶν ἢ τὴν πρὸς ὑμᾶς εἰρήνην γενέσθαι, πρέσβεις πρὸς ὑμᾶς ἦλθον ἐκ Φωκέων, βοηθεῖν αὐτοῖς κελεύοντες, καὶ ἐπαγγελλόμενοι παραδώσειν Ἀλπωνὸν, καὶ Θρόνιον, καὶ Νίκαιαν, τὰ τῶν παρόδων τῶν εἰς Πύλας χωρία κύρια. ψηφισαμένων δ' ὑμῶν παραδοῦναι Προξένῳ τῷ στρατηγῷ τοὺς Φωκέας ταῦ-
35 τα τὰ χωρία, καὶ πεντήκοντα πληροῦν τριήρεις, καὶ τοὺς μέχρι τριάκοντα ἔτη γεγονότας ἐξιέναι, ἀντὶ τοῦ παραδοῦναι τὰ χωρία Προξένῳ, ἔδησαν οἱ τύραννοι τοὺς πρέσβεις τοὺς ἐπαγγειλαμένους ὑμῖν παραδοῦναι τὰ φυλακτήρια, καὶ τοῖς σπονδοφόροις τοῖς τὰς μυστηριώτιδας σπονδὰς

[1] τρίτη [2] * τετάρτη [3] στρατεία

12. et ante omnes Lambinus ad Corn. Nep. in Miltiade, textum hunc nostrum ad normam Harpocrationis esse restituendum. Vid. Lucian. Dialog. Nov. Edit. T. I. pag. 275. Gifan. Collectan. ad Lucret. v. TRACTUS CORPORIS. H. Steph. Schediasm. VI. 2. virosque doctos ad Nepot. in Miltiade I. 4. TAYLOR.

Διὰ ξένων] Tyranni, peregrini militis opera, mutarunt resp., ademptа populo libertate. WOLF.

Μετέστησαν] Imo κατέστησαν. AUGER.

Κατεμισθοφόρησαν] *In stipendia militum insumpserunt.* WOLF.

Αὐτοῖς] Αὐτοῖς. Et pariter p. 136. l. 5. et l. 8. αὐτοῖς et αὐτῷ. MARKLAND.

Αλπωνὸν] Herodotus in sexto Ἀλπηνὸν habet per η. Hellanicus vero vocaverat Ἀλπωνὸν, ut hic Æschines, si fides Stephano. PALMER.

Τριάκοντα] Τετταράκοντα. Scalig. ex conjectura, quæ mihi vehementer placet. TAYLOR.

Τοὺς ἐπαγγελλομένους] F. τοὺς ἐπαγγειλαμένους. WOLF. Optime, et eam lectionem præscribit Reg. 3. TAYLOR.

Μυστηριώτιδας] Sic habet et Pollux [I. §. 36.] Alias legendum censuissem, τοῖς τὰς μυστηριώδεις σπονδὰς ἀπάγουσι, *qui arcana sacra proferunt.* Miserunt enim victimas in extera quoque templa. Sententiam esse puto, Athenienses obtulisse sive inducias, sive fœdus Phocensibus, ut tuto Eleusiniis initiis interesse possent,

ἀπαγγέλλουσι μόνοι τῶν Ἑλλήνων Φωκεῖς οὐκ ἐσπείσαντο.
καὶ πάλιν Ἀρχιδάμου τοῦ Λάκωνος παραλαμβάνειν ὄντος
287 ἑτοίμου τὰ χωρία, καὶ φυλάττειν, οὐκ ἐπείσθησαν, ἀλλ' 40
ἀπεκρίναντο αὐτῷ, τὰ τῆς Σπάρτης δεινὰ δεδιέναι, καὶ μὴ
[1] τὰ παρ' αὐτοῖς. κἀνταῦθα οὔπω διελέλυσθε Φιλίππῳ,
ἀλλ' ἐν τῇ αὐτῇ ἡμέρᾳ περί τε τῆς εἰρήνης ἐβουλεύεσθε,
καὶ τῆς ἐπιστολῆς ἠκούετε τῆς Προξένου, ὅτι Φωκεῖς οὐ πα-
ραδεδώκασιν αὐτῷ τὰ χωρία, καὶ οἱ τὰ μυστήρια ἀπαγ-
γέλλοντες μόνους τῶν ἄλλων Ἑλλήνων ἀπέφηναν Φωκέας
οὐ δεδεγμένους τὰς σπονδὰς, ἀλλὰ καὶ τοὺς δεῦρο ἐληλυ- 46.1
θότας πρέσβεις δεδηκότας. ὅτι δὲ ἀληθῆ λέγω, κάλει μοι
τοὺς σπονδοφόρους, καὶ τοὺς παρὰ Προξένου τοῦ στρατηγοῦ
πρεσβεύσαντας εἰς Φωκέας, [2] Καλλιστράτην, καὶ Μεταγένη. καὶ τῆς ἐπιστολῆς ἀκούσατε τῆς Προξένου.

ΕΠΙΣΤΟΛΗ.

ἀκούετε, ὦ Ἀθηναῖοι, τῶν χρόνων παραναγινωσκομένων ἐκ 5
τῶν δημοσίων γραμμάτων, καὶ τῶν μαρτύρων [3] ἡμῖν προσ-
διαμαρτυρησάντων, ὅτι πρὶν ἐμὲ χειροτονηθῆναι πρεσβευ-
τὴν, Φάλαικος ὁ τῶν Φωκέων τύραννος, ἡμῖν μὲν καὶ Λα-
κεδαιμονίοις ἠπίστει, Φιλίππῳ δ' ἐπίστευεν. ἀλλ' οὗτος
μόνος τὸ συμβησόμενον ἠγνόει; ὑμεῖς δὲ αὐτοὶ δημοσίᾳ
πῶς διέκειστε; οὐ πάντες προσεδοκᾶτε Φίλιππον ταπει-
νώσειν Θηβαίους, ὁρῶντα αὐτῶν τὴν θρασύτητα, καὶ τῷ μὴ
βούλεσθαι δύναμιν ἀνθρώπων ἀπίστων ἐπασκῆσαι; Λα- 10
κεδαιμόνιοι δὲ οὐ μεθ' ἡμῶν τἀναντία Θηβαίοις ἐπρέσβευον,
καὶ τελευτῶντες προσέκρουον φανερῶς ἐν Μακεδονίᾳ, καὶ

[1] Deest articulus. [2] Καλλικράτην, καὶ Μεταγένην [3] ὑμῖν

quæ Phocenses, homines impii, sint asperuati. Τὰ τῆς Σπάρτης δεινὰ δεδιέναι, καὶ μὴ τὰ παρ' αὐτοῖς, [l. 4.] *Se Spartæ periculа timere, et non sua.* Ambiguum est, utrum hæc verba ad diffidentiam an ad fortunam referantur. Wolf.

Μὴ παρ' αὐτοῖς] Μὴ τὰ παρ' αὐτοῖς Cod. Reg. 3. cum Wolfio. Sic autem Scalig. μὴ ἢ καὶ παρ' αὐτοῖς. Quem parum intelligo. Verba sonant, *res vestras curate:* neque ulla, pace Wolfii dixerim, videtur esse ambiguitas. Taylor.

Οὐ δεδεγμένους] Οὐ μόνον δεδεγμένους. Scalig. Voluit dixisse οὐ μόνον οὐ δεδεγμένους ——— ἀλλὰ καὶ etc. Taylor.

Καλλιστράτην] Καλλίστρατον certe cum Scalig. vel cum Cod. Mead. Καλλικράτην. Idem.

Φίλιππον ταπεινώσειν Θηβαίους. Et [ibid.] καὶ τῷ μὴ βούλεσθαι. Et [p. 137. l. 6.] κατοικιεῖ Φίλιππος. παρὰ τὸ κατοικίζω. Wolf. Recte hæc utique. Prior Editio, quæ erat Aldina, Θηβαίοις, et τὸ, et κατοικεῖ, perperam omnia. Quæ pariter fere correxit et Brodæus. Taylor.

διηπειλοῦν τοῖς τῶν Θηβαίων πρέσβεσιν; αὐτοὶ δὲ οὐκ 288
ἠπόρουν, καὶ ἐφοβοῦντο οἱ τῶν Θηβαίων πρέσβεις; Θετταλοὶ δὲ οὐ κατεγέλων τῶν ἄλλων, ὑπὲρ αὐτῶν φάσκοντες τὴν στρατείαν εἶναι; τῶν δ' ἑταίρων τινὲς τῶν Φιλίππου,
15 οὐ διαῤῥήδην πρός τινας ὑμῶν ἔλεγον, ὅτι τὰς ἐν Βοιωτοῖς πόλεις κατοικιεῖ Φίλιππος; Θηβαῖοι δ' οὐκ ἐξεληλύθεσαν πανδημεὶ, ἀπιστοῦντες τοῖς πράγμασιν; ὑμῖν δὲ, ταῦθ' [1]ὁρῶν οὐκ ἔπεμψεν ἐπιστολὴν ὁ Φίλιππος, ἐξιέναι [2]κελεύων πάσῃ τῇ δυνάμει, βοηθήσοντας τοῖς δικαίοις; οἱ δὲ νῦν πολεμικοὶ, καὶ τὴν εἰρήνην ἀνανδρίαν καλοῦντες, οὐ διεκώλυσαν ὑμᾶς ἐξελθεῖν, εἰρήνης καὶ συμμαχίας ὑμῖν γε-
20 γενημένης, δεδιέναι φάσκοντες, μὴ τοὺς στρατιώτας ὑμῶν ὁμήρους λάβῃ Φίλιππος;

μβ'. Πότερον οὖν ἐγὼ τοὺς προγόνους ἐκώλυσα τὸν δῆμον μιμεῖσθαι, ἢ σὺ, καὶ οἱ μετὰ σοῦ συνεστηκότες ἐπὶ τὰ κοινά; καὶ πότερον ἦν ἀσφαλεστέρα, καὶ καλλίων Ἀθηναίοις ἡ ἔξοδος· ἡνίκα ἤκμαζον ἐν τῇ μανίᾳ Φωκεῖς, ἐπολέμουν δὲ Φιλίππῳ, εἶχον δὲ Ἀλπωνὸν, καὶ Νίκαιαν, μή πω παραδόντος [3]Φιλίππου Μακεδόσι, τὰς σπονδὰς δὲ,
25 οἷς ἐμέλλομεν βοηθεῖν, τὰς μυστηριώτιδας οὐκ ἐδέχοντο, Θηβαίους δ' ὄπισθεν κατελίπομεν, μεταπεμπομένου μὲν Φιλίππου, ὅρκων δ' ἡμῖν, καὶ συμμαχίας γεγενημένης, Θετταλῶν δὲ, καὶ τῶν ἄλλων Ἀμφικτυόνων στρατευόντων; οὐ πολλῷ καλλίων οὗτος ἦν ὁ καιρὸς ἐκείνου, ἐν ᾧ διὰ τὴν σὴν ἀνανδρίαν, καὶ ἅμα φθόνον, ἐσκευαγώγησαν ἐκ τῶν 289

[1] * ὁρῶσιν [2] Deest κελεύων. [3] Φαλαίκου

Ἐξιέναι πάσῃ] F. ἐξιέναι κελεύων πάσῃ. Wolf. Damnabunt forte hominis temeritatem, qui legerint ea quæ nuper annotavi §. κά. med. Infinitivi enim illi, ἐξιέναι hic, ut ἐκπλεῖν ibi, tenor sunt et articuli, ipsi termini Epistolæ vel Psephismatis. Taylor.

Εἰρήνης καὶ συμ.] *Quum facta esset pax atque societas.* Videtur Æschines illorum inanem solicitudinem reprehendere, neque hoc dici ab adversariis Philippi. Wolf.

μβ'. Πότερον] F. ποτερ' ἂν ἦν, *fuisset.* Markland.

Ἡνίκα ἤκμαζον ἐν τῇ μανίᾳ Φωκεῖς] Furorem fortassis appellat audaciam illam Phocensium, ἐν τῇ μάχῃ non satis placet. Wolf. *Eo tempore, quo summa erat et flagrabat maxime, Phocensium sive audacia sive impietas.* Conjectura illa hominis est importunissima. Taylor.

Μή πω] Οὔπω. [et mox pro Φιλίππου] Ἀλκαίκου. Scalig.

Φιλίππου] Leg. Φαλαίκου. Vid. p. 135. Markland. Ita omnino. et habebis Bern. fidejussorem. Taylor. et Chrysococcam.

Οἷς] Castiga αἷς [σπονδαῖς utique] Brodæus. Qui tamen decipitur. Taylor.

Θηβαίους δ' ὄπισθεν κατελίπομεν] Quia Phocis eos Atticæ aditu excludebat. Wolf. Quære, an non desit ἢ, post κατελίπομεν inserendum, propter τὸ πότερον. Markland.

ἀγρῶν Ἀθηναῖοι, πρεσβεύοντος ἐμοῦ τὴν τρίτην ἤδη πρεσβείαν ἐπὶ τὸ κοινὸν τῶν Ἀμφικτυόνων, ἐφ' ἣν τολμᾷς με 30
λέγειν, ὡς οὐ χειροτονηθεὶς ᾠχόμην, ἐχθρὸς δ' ὢν οὔπω καὶ τήμερον τεθέληκάς με εἰσαγγεῖλαι [1] παραπρεσβεύσασθαι. οὐ γὰρ δὴ φθονεῖς γέ μοι τῶν εἰς τὸ σῶμα τιμημάτων.

μγ'. Τοιγάρτοι Θηβαίων μὲν παρακαθημένων, καὶ δεομένων, τῆς δ' ἡμετέρας πόλεως διὰ σὲ τεθορυβημένης, καὶ τῶν Ἀθηναίων ὁπλιτῶν οὐ παρόντων, Θετταλῶν δὲ Θηβαίοις προσδεμένων, διὰ τὴν ὑμετέραν ἀβουλίαν, καὶ 35
τὴν πρὸς Φωκέας ἔχθραν, ἣ προϋπῆρχε Θετταλοῖς ἐκ παλαιῶν χρόνων, ὅτε αὐτῶν τοὺς ὁμήρους λαβόντες Φωκεῖς κατηλόησαν, Φαλαίκου δὲ, πρὶν ἐμὲ ἐλθεῖν, καὶ Στέφανον,

[1] παραπρεσβεύσαντα

Οὔπω καὶ τήμερον] *Hactenus nunquam ausus es me falsæ legationis accusare.* Wolfius. Immo hodie accusat. Agitur res. Causa παραπρεσβείας nunc dicitur. Hoc cum vidit Scaliger, commentum comminiscitur, οὔπω μέχρι τῆς τήμερον. Commentum sane maximum. Rem, quo pacto se habeat, ex me discite. *Objectare tu in tua oratione non dubitasti, me tertiam istam legationem, sine ulla auctoritate, a populo non constitutum, obiisse. Quod cum* capitale *esset, istud tamen crimen nunquam lege in me intentare ausus es, ne hostis tametsi sis infestissimus, et quæ vel ultimæ forent in legibus pœnæ, lubenter admodum a me exposceres. Nunquam εἰσήγγελκας, nunquam vocasti ad causam capitis dicendam, de legatione injussu populi suscepta, sed (ubi minus erat periculum) ad εὐθύνας solummodo legationis male obitæ.* Fidem faciet Demosthenes §. λθ'. fin. τηνικαῦτα ὁ δεινὸς, καὶ σοφὸς οὗτος, καὶ εὔφωνος, οὔτε βουλῆς, οὔτε δήμου χειροτονήσαντος αὐτὸν, ᾤχετο πρεσβεύων —— οὔτε τὴν ἀῤῥωστίαν ὑποδησάμενος —— οὐδ' ὅτι τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει. Et rursus, §. μ'. fin. οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον, ὃς θάνατον κελεύει τούτων τὴν ζημίαν εἶναι. Porro autem, de Εἰσαγγελίας et Εὐθυνῶν ratione te præmonitum esse volui. Istius unam speciem, plures enim erant, ita describit Harpocratio. Εἰσαγγελία —— ἐπ' ἀδικήμασι μεγίστοις, καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις —— καὶ ἐφ' οἷς τῷ μὲν φεύγοντι, ἐὰν ἁλῷ, μέγιστα ζημία ἐπίκειται etc. Bene est: verum ἐν Εὐθύναις non ita inclementer actum est. Rursum enim Demosthenes §. λε. ad hanc ipsissimam rem, de qua disputamus, alludens, Καὶ εἴγε τι τῶν προσηκόντων ἐγίνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν· νυνὶ δὲ διὰ τὴν ὑμετέραν πραότητα καὶ εὐήθειαν, εὐθύνας δίδωσι, καὶ ταύτας, ὁπηνίκα βούλεται. Jam, lector, securus accede ad meam emendationem. Τολμᾷς με λέγειν, ὡς οὐ χειροτονηθεὶς ᾠχόμην, ἐχθρὸς δ' ὢν οὔπω καὶ τήμερον τεθέληκας (aut τετόλμηκας cum Marklando) με εἰσαγγεῖλαι, ἀλλὰ παραπρεσβεύσασθαι (φῆς sc. aut simili voce subintellecta.) Vocabulum illud ἀλλὰ in fine præcedentis opprimi arbitror. Deinde pergit in eodem enthymemate. *Illud utique voluisti, si modo potuisses: Non enim mihi pepercisses, non invides mihi quod esset ultimum in suppliciis.* Taylor.

μγ'. Ὑμετέραν] Γρ. ἡμετέραν. Scalig.

Ἀβουλίαν] Vertit Interpres *temeritatem.* Potius, *cunctationem.* Jurin.

Ἐκ παλαιῶν χρόνων] Historiæ fides sit penes Æschinem. Wolf.

Κατηλόησαν] Ἐφόνευσαν, a καταλοάω. Unde πατραλοίας καὶ μητραλοίας. Idem. κατηλόησαν *obtriverunt.* Male Wolfius vertit *occiderunt,* quasi ab ἀλοιᾷν, non ab ἀλοᾶν. Hæc Valesius ad Maussac. p. 232. Ea porro historiola continetur in Plutarchi libello de Virtutibus Mulierum, ut admonuit idem Vir eruditus. Ἄσπονδος ἦν Θετταλοῖς πρὸς Φωκέας πόλεμος. οἱ μὲν γὰρ ἄρχοντας αὐτῶν καὶ τυράννους ἐν ταῖς Φωκικαῖς πόλεσι ἡμέᾳ μιᾷ πάντας ἀπέκτειναν, οἱ δὲ πεντήκοντα καὶ διακοσίους ἐκείνων ὁμήρους κατηλόησαν. Recte igitur κατηλόησαν *obtriverunt,* si ita vis verti, *flagris cecideruut.* Sed nugatur Vir celebris, si aliud ἀλοιᾷν, ἀλοᾶν aliud significare suspicetur. Taylor.

καὶ Δέρκυλλον, καὶ τοὺς [1] εἰς Ἀμφικτύονας πρέσβεις, ἀπεληλυθότος ὑποσπόνδου, Ὀρχομενίων δὲ περιφόβων ὄντων, καὶ σπονδὰς τοῖς σώμασιν αἰτησάντων, ὥστε ἀπελθεῖν ἐκ τῆς Βοιωτίας, παρεστηκότων μὲν τῶν Θηβαίων πρέσβεων, ὑπολειπομένης δ' ἔχθρας φανερᾶς Φιλίππῳ πρὸς Θηβαίους, καὶ Θετταλοὺς, τότε ἀπώλοντο αἱ πράξεις, οὐ δι' ἐμὲ, ἀλλὰ διὰ τὴν σὴν προδοσίαν, καὶ τὴν πρὸς Θηβαίους προξενίαν. μεγάλα δ' οἶμαι τούτων ἐγὼ σημεῖα ἐπιδείξειν.

μδ'. Εἰ γάρ τι τούτων ἀληθὲς ἦν, ὧν σὺ λέγεις, κατηγόρουν ἄν μου Βοιωτοὶ, καὶ Φωκέων οἱ φεύγοντες, ὧν τοὺς μὲν ἐξεβεβλήκειν, τοὺς δ' ἐκώλυσα κατελθεῖν. νῦν δ' οὐχὶ 200
47.1 τὰ συμβάντα λογιζόμενοι, ἀλλὰ τὴν εὔνοιαν τὴν ἐμὴν ἀποδεχόμενοι, συλλεγέντες οἱ φεύγοντες Βοιωτῶν, ἤρηνταί μοι συνηγόρους. ἤκουσι δ' ἀπὸ τῶν ἐν Φωκεῦσι πόλεων πρέσβεις, οὓς ἐγὼ τὴν τρίτην πρεσβείαν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβεύων ἔσωσα, Οἰταίων ἐγχειρούντων λέγειν, ὡς δεῖ τοὺς ἡβῶντας ὠθεῖν κατὰ τοῦ κρημνοῦ, καὶ παρήγαγον εἰς τοὺς Ἀμφικτύονας, ὥστε ἀπολογίας τυχεῖν. ὁ μὲν γὰρ Φάλαικος τύραννος ὑπόσπονδος ἀφεῖτο, οἱ δὲ ἀναίτιοι ἀποθνήσκειν ἔμελλον, συναγορεύοντος δέ μου διεσώθησαν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Μνάσωνα τὸν Φωκέα, καὶ τοὺς συμπρέσβεις, καὶ τοὺς ἀπὸ τῆς τῶν Βοιωτῶν φυγῆς ἠρημένους. ἀνάβηθι δεῦρο Λίπαρε, καὶ Πυθίων, καὶ τὴν αὐτὴν ἀπόδοτέ μοι χάριν εἰς τὴν τοῦ σώματος σωτηρίαν, ἣν περ ἐγὼ ὑμῖν.

ΣΥΝΗΓΟΡΙΑ ΒΟΙΩΤΩΝ ΚΑΙ ΦΩΚΕΩΝ.

πῶς οὖν οὐκ ἂν δεινὰ πάθοιμι, εἰ κατηγοροῦντος μὲν Δημο-

[1] Deest εἰς.

Καὶ τοὺς εἰς Ἀμφικτύονας πρέσβεις] Wolf. Aberat Præpositio. Taylor. Restituo καὶ τοὺς πρὸς Ἀμφικτύονας. Brodæus.

Ἀπεληλυθότος ὑποσπόνδου] Unde? a Thessalis, an Thebanis? ab utrisque opinor. Wolf.

Ὑποσπόνδου] Ὑποσπόνδους. Scalig. Et mox pro Φιλίππῳ, τῇ πόλει. Idem.

Ὑπολειπομένης κ. τ. λ.] Videtur hoc παρ' ἱστορίαν εἶναι. Et est hæc narratio ita densa et intricata, ut ad fucum faciendum auditoribus instituta esse videatur. Wolf.

μδ'. Κάλει μοι Μνάσωνα. Et [l. 23.] τοὺς ἀπὸ τῆς τῶν Βοιωτῶν φυγῆς ἠρημένους. Et [l. ult.] πῶς οὖν οὐκ ἄν. Et [p. 140. l. 3.] ἀλοίην; ἐτόλμησε. Et [l. 25.] φανῆναί με δεῖ. [sublatis Aldi erroribus] Idem.

Εἰρημένους] Scribe ἠρημένους. Brodæus.

σθένους τοῦ Θηβαίων προξένου, καὶ πονηροτάτου τῶν Ἑλλήνων, συναγορευόντων δέ μοι Φωκέων, καὶ Βοιωτῶν, ἁλοίην;

μέ. Ἐτόλμησε δ' εἰπεῖν, ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις περιπίπτω. φησὶ γάρ με εἰπεῖν, ὅτ' ἔκρινον Τίμαρχον, ὅτι πάντες κατ' αὐτοῦ τὴν τῆς πορνείας φήμην παρειλήφασι, τὸν δ' Ἡσίοδον ποιητὴν ἀγαθὸν ὄντα, λέγειν, 15

Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
Λαοὶ φημίζωσι, θεὸς νύ τις ἐστὶ καὶ αὐτή.

291 τὴν δ' αὐτὴν ταύτην θεὸν ἥκειν νῦν κατηγοροῦσαν ἐμοῦ· πάντας γὰρ λέγειν ὡς χρήματα ἔχω παρὰ Φιλίππου. εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι πλεῖστον διαφέρει φήμη, καὶ συκοφαν- 20 τία. φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ· διαβολὴ δέ, ἀδελφόν ἐστι, καὶ συκοφαντία. διοριῶ δ' αὐτῶν ἑκάτερον σαφῶς. φήμη μέν ἐστιν, ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινὰ ὡς γεγενημένην πρᾶξιν· συκοφαντία δ' ἐστὶν, ὅταν πρὸς τοὺς πολλοὺς εἷς ἀνὴρ αἰτίαν ἐμβαλὼν, ἔν τε ταῖς ἐκκλησίαις ἁπάσαις πρός τε τὴν βουλὴν διαβάλλῃ τινά. καὶ τῇ μὲν Φήμῃ δημοσίᾳ θύομεν, 25 ὡς θεῷ· τῶν δὲ συκοφαντῶν, ὡς [1]κακούργων δημοσίᾳ προβολὰς ποιούμεθα. μὴ οὖν σύναγε εἰς ταὐτὸν τὰ κάλλιστα τοῖς αἰσχίστοις.

μς'. Ἐπὶ πολλοῖς μὲν οὖν ἔγωγε τῶν κατηγορημένων ἠγανάκτησα, μάλιστα δὲ ἡνίκα ἠτιᾶτο εἶναί με προδότην. ἅμα γὰρ ταῖς αἰτίαις ταύταις φανῆναί [2]με δεῖ θηριώδη, καὶ τὴν ψυχὴν ἄστοργον, καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασι πρότερον ἔνοχον. τοῦ μὲν οὖν ἐμοῦ βίου, καὶ τῆς καθ' ἡμέ- 30 ραν διαίτης ὑμᾶς δοκιμαστὰς ἱκανοὺς εἶναι νομίζω· ἃ δ' ἐστὶ τοῖς μὲν πολλοῖς ἀσύνοπτα, τοῖς δὲ χρηστοῖς τὰς

[1] κακούργων,

[2] μ' ἔδει

μέ. Ἐτόλμησε] Vide Dem. orat. §. ξή. Ex edit. Brook.

Περιπίπτω] *In meos sermones incurro: mihi ipse sum contrarius.* Brodæus.

Παρειλήφασι] An ποιειλήφασι? Markland.

Φημίζωσι] Stephanus excudit φημίξουσι. In Codd. φημίξωσι et φημίζουσι. Taylor.

Διαβολὴ] Lego διαβολὴ δὲ ἀδελφόν ἐστι τῇ συκοφαντίᾳ, quo pacto etiam Scaligerum suspicor legisse. Idem.

Προβολὰς] Προβολαὶ, *actiones quæ intenduntur contra calumniatores.* Auger.

μς'. Ἃ δ' ἐστὶ —] Intelligo, *quæ vero a plerisque ostendi nequeunt.* Idem.

ψυχὰς μέγιστα, τούτων ὑμῖν τὰ [1]πλεῖστα, καὶ καλῶς
ἔχοντα ἐκ τῶν ἐμῶν ὁρᾶν ἀναβιβῶμαι, ἵν' εἰδῆτε τὰς ἐμὰς
παρακαταθήκας, ἃς οἴκοι καταλιπὼν, εἰς Μακεδονίαν
ἐπρέσβευσα. σὺ [2]μὲν, ὦ Δημόσθενες, ταῦτα ἐπλάσω ἐπ'
ἐμέ· ἐγὼ δ' [3]ὡς ἐπαιδεύθην, καὶ δικαίως ἐξηγήσομαι. οὐ- 292
35 τοσὶ μέν μοι ἐστὶ πατὴρ Ἀτρόμητος, σχεδὸν πρεσβύτατος
τῶν πολιτῶν· ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα καὶ τέτ-
ταρα. καὶ συμβέβηκεν αὐτῷ, νέῳ μὲν ὄντι, πρὶν τὴν οὐσίαν
ἀπολέσαι διὰ τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι
δὲ ὑπὸ τῶν τριάκοντα, στρατεύεσθαι μὲν ἐν τῇ Ἀσίᾳ,
ἀριστεύειν δ' ἐν τοῖς κινδύνοις, εἶναι δ' ἐκ φατρίας τὸ γένος,
ἣ τῶν αὐτῶν βωμῶν Ἐτεοβουτάδαις μετέχει, ὅθεν ἡ τῆς
40 Ἀθηνᾶς τῆς πολιάδος ἐστὶν ἱέρεια, συγκατάγειν δὲ τὸν
δῆμον, ὥσπερ καὶ ὀλίγῳ πρότερον εἶπον. ἐλευθέρους δέ μοι
συμβέβηκεν εἶναι, καὶ τοὺς πρὸς μητρὸς ἅπαντας, ἣ νῦν
ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνεται, φοβουμένη περὶ τῆς
ἐμῆς σωτηρίας, καὶ διηπορημένη. καί τοι, ὦ Δημόσθενες,
ἡ μὲν ἐμὴ μήτηρ ἔφυγε μετὰ τοῦ αὐτῆς ἀνδρὸς ἐπὶ τῶν
τριάκοντα εἰς Κόρινθον, καὶ μετέσχε τῶν πολιτικῶν κακῶν.
43.1 σὺ δὲ ἀμφισβητῶν ἀνὴρ εἶναι — [4]καὶ γὰρ ἂν ἀμφισβη-
τήσαιμι εἰπεῖν, ὡς ἀνὴρ εἶ — ἐνεγράφης λειποταξίου, καὶ
τὸν γραψάμενον Νικόδημον τὸν Ἀφιδναῖον χρήμασι πείσας,
ἐσώθης, ὃν ὕστερον μετὰ Ἀριστάρχου συναπέκτεινας, καὶ
οὐ καθαρὸς ὢν τὰς χεῖρας, εἰς τὴν ἀγορὰν ἐμβάλλεις.

[1] πλεῖστα, εὖ καὶ
[2] μὲν οὖν, ὦ
[3] ὡς καλῶς ἐπαιδεύθην καὶ δικαίως,
[4] οὐ γὰρ ἂν τολμήσαιμι εἰπεῖν

Καὶ καλῶς ἔχοντα] An delendum καὶ, vel legendum εὖ καὶ καλῶς? MARKLAND.

Ἐκ τῶν ἐμῶν ὁρᾶν ἀναβιβῶμαι] Ἀναβιβάζω usitatum est. Sed ἀναβιβάω (si scriptura non fallit) thema facit Æschines. WOLF. M. ἀναβιβάσομαι. ὁρᾶν *videre*, i. e. ut videantur. AUGER.

Σὺ μὲν —] Ego hic aliqua deesse arbitror, videatur in versione mea quid supplerverim. IDEM.

Ἐπαιδεύθην] Forte excidit Adverbium aliquod, ὡς καλῶς ἐπαιδεύθην καὶ δικαίως, ἐξηγήσομαι. ut p. 142. l. 7. MARKLAND.

Φατρίας] Lege φρατρίας. BRODÆUS. SCALIG. AUGER.

Φρατρίας] Συγγενείας. Vide Suidam, ut et περὶ τῶν Ἐτεοβουτάδων. WOLF. Adde Herald. Animadv. ad Salmas. II. 3. 4. Nos in vita Lycurgi. Duport. ad Theophrast. Charact. pag. 396. TAYLOR.

Συγκατάγειν] Συγκαταγεῖν. SCALIG.

Ὥσπερ καὶ ὀλίγῳ πρότερον] In hac quidem Oratione nihil de ea re dixisti. WOLF. Nempe §. κδ'. fin. MARKLAND.

Ἣ νῦν ἐμοὶ] *Quæ nunc mihi ante oculos conspicitur.* Videtur potius ad Æschinis phantasian referendum, quam ad præsentiam Glaucotheæ. WOLF.

Ἀμφισβητῶν] *Qui te virum esse profiteris.* Ludit amphibolia verbi ἀμφισβητεῖν, quod et dubitare, et sibi aliquid arrogare significat. IDEM. *Qui an vir sis, nemini exploratum est.* BRODÆUS. An ἀμφισβητούμενος? MARKLAND. Ita emendat σχετης. TAYLOR.

Φιλοχάρης δ' οὗτοσὶ, ὁ πρεσβύτατος ἀδελφὸς ἡμῶν, οὐκ [1]ἀγενεῖς διατριβὰς, ὡς σὺ βλασφημεῖς, ἔχων, ἀλλ' ἐν γυμνασίοις διατριβῶν, καὶ μετὰ Ἰφικράτους συνεστρατευ-
293 μένος, καὶ συνεχῶς ἔτος ἤδη τουτὶ τρίτον στρατηγῶν, ἥκει δεησόμενος ὑμῶν, ἐμὲ σῶσαι. Ἀφόβητος δ' οὗτοσὶ, ὁ νεώτατος ἀδελφὸς ἡμῶν, πεπρεσβευκὼς μὲν ὑπὲρ ὑμῶν ἀξίως τῆς πόλεως πρὸς τὸν τῶν Περσῶν βασιλέα, καλῶς δὲ καὶ δικαίως τῶν ὑμετέρων προσόδων ἐπιμεληθεὶς, ὅτε αὐτὸν ἐπὶ τὴν κοινὴν διοίκησιν εἵλεσθε, καὶ πεπαιδοποιημένος κατὰ τοὺς νόμους, ἀλλ' οὐ Κυωσίωνι τὴν ἑαυτοῦ γυναῖκα παρακατακλίνων, ὥσπερ σὺ, πάρεστι καταφρονῶν τῶν σῶν λοιδοριῶν. τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται.

μζ'. Ἐτόλμησας [2]δὲ κατὰ τῶν ἐμῶν κηδεστῶν εἰπεῖν, οὕτως ἀναιδὴς, καὶ πόρρωθεν ἀχάριστος εἶ, ὃς Φιλόδημον τὸν Φίλωνος πατέρα καὶ Ἐπικράτους, οὐκ ἀγαπᾷς, οὐδὲ προσκυνεῖς, δι' ὃν εἰς τοὺς δημότας ἐνεγράφης, ὡς ἴσασιν οἱ πρεσβύτατοι Παιανιέων. ἐκπέπληγμαι δὲ, εἰ σὺ λοιδορεῖν Φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν τοῖς ἐπιεικεστάτοις Ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι δικάζοντες, ἕνεκα τοῦ βελτίστου τῆς πόλεως, καὶ μᾶλλον προσέχουσι τοῖς βίοις ἡμῶν, ἢ τοῖς λόγοις. πότερα γὰρ ἂν προσδοκᾷς αὐτοὺς εὔξασθαι μυρίους ὁπλίτας ὁμοίους Φίλωνι γενέσθαι, καὶ τὰ σώματα οὕτω διακειμένους, καὶ τὴν ψυχὴν οὕτω σώφρονας, ἢ τρισμυρίους κιναίδους, οἷός περ σύ; καὶ τὴν Ἐπικράτους εὐαγωγίαν, τοῦ Φίλωνος ἀδελφοῦ, ἐπανάγεις

[1] ἀγενεῖς

[2] δὲ * καὶ κατὰ

Οὐκ ἄγεν εἰς] [ut Ald.] Legendum οὐκ ἀγενεῖς. Brodæus. οὐκ ἀγεννεῖς. Wolf. Π. ἀγενεῖς. Stephanus. Quod facile prætulerim. Atque ita legunt cum Stephano et Scalig. Coisl. Regg. 1. 2. 4. Taylor. Et Chrysococcas.

Ἀλλ' οὐκ Κωσίωνι] F. ἀλλ' οὐ Κυωσίωνι. Et [l. 11.] πάρεστι vel παρίστησι. Et [l. pen.] οἷόσπερ σύ. Wolf. Alii οἵουσπερ. Taylor.

μζ'. Ἐτόλμησας] Vide Dem. §. ξή. et §. οά. Ex edit. Brook.

Πόρρωθεν ἀχάριστος] Ex longinquo ingratus, i. e. veteris beneficii immemor. Auctor.

Ὃς Φιλόδημον] Vel ὡς. Brodæus. Π. ὡς. ἵνα ᾖ ἐν παρενθέσει (οὕτως ἀναιδὴς καὶ πόρρωθεν ἀχάριστος εἶ). Stephanus. Belle sane et recte. Confirmant Codd. Coisl. Regg. et Mead. Taylor.

Δικάζοντες] F. δικάσοντες, ut apud Demosth. π. παραπρεσβ. §. μά. et Nostrum c. Ctesiph. §. γ'. Markland.

Τοῦ βελτίστου] *Maximi reipub. commodi:* Demosth. de rebus Chersones. ὅστις δ' ὑπὲρ τοῦ βελτίστου πολλὰ τοῖς ἡμετέροις ἐναντιοῦται ἐκείνοις. Brodæus.

Εὐαγωγίαν] Παιδείαν καὶ σωφροσύνην. Wolf.

εἰς ὀνείδη. καὶ τίς αὐτὸν εἶδε πώποτε ἀσχημονήσαντα, ἢ μεθ' ἡμέραν, ὡς σὺ φῄς, ἐν τῇ πομπῇ τῶν Διονυσίων, ἢ νύκτωρ; οὐ γὰρ ἂν τοῦτό γ' εἴποις, ὡς ἔλαθεν. οὐ γὰρ 294
ἠγνοεῖτο.

μή. Ἐμοὶ δέ, ὦ Ἀθηναῖοι, ἐκ τῆς Φιλοδήμου θυγατρὸς, καὶ Φίλωνος ἀδελφῆς, καὶ Ἐπικράτους, τρεῖς παῖδές εἰσι, μία μὲν θυγάτηρ, δύο δὲ υἱοί. οὓς ἐγὼ ἥκω μετὰ τῶν ἄλλων κομίζων, ἑνὸς ἐρωτήματος ἕνεκα, καὶ τεκμηρίου πρὸς τοὺς δικαστὰς, [1] ὃ νῦν ἤδη χρήσομαι. ἐρωτῶ γὰρ, ὦ Ἀθηναῖοι, εἰ δοκῶ ἂν ὑμῖν πρὸς τῇ πατρίδι, καὶ τῇ τῶν φίλων συνηθείᾳ, καὶ ἱερῶν, καὶ τάφων πατρῴων μετουσίᾳ, τούτους τοὺς πάντων ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι Φιλίππῳ, καὶ περὶ πλείονος τὴν ἐκείνου φιλίαν τῆς τούτων σωτηρίας ποιήσασθαι. ποίᾳ κρατηθεὶς ἡδονῇ; ἢ τί πώποτε ἄσχημον ἕνεκα χρημάτων πράξας; οὐ γὰρ ἡ Μακεδονία κακοὺς ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις. οὐδ' ἐσμὲν ἕτεροί τινες, ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' οἵους ἐξεπέμψατε. συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ καθ' ὑπερβολὴν ἀνθρώπῳ γόητι, καὶ πονηρῷ, ὃς οὐδ' ἂν ἄκων ἀληθὲς οὐδὲν εἴποι, ἡγεῖται δ', ὅταν τι ψεύδηται, τῶν λόγων ὅρκος, κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν. καὶ [2] τὰ γεγενημένα οὐ μόνον, ὡς ἔστι, λέγει, ἀλλὰ καὶ τὴν ἡμέραν ἐν ᾗ φησὶ γενέσθαι. καὶ προστίθησι τινὸς ὄνομα, πλασάμενος ὃς ἔτυχε παρὰν, μιμούμενος τούς τ' ἀληθῆ λέγοντας. Sic scribendus est locus hic Æschinis elegantissimus: quo cum esse nihil queat apertius, miror Interpretem doctissimum tam infeliciter hic esse versatum. Sic autem ille vertit: *Cum mentiur* etc. Num rem acu tetigerit, judicent eruditi." Hactenus Vir summus.

[1] ὃ νῦν δὴ ἐρήσομαι

[2] τὰ * μηδέποτε γεγενημένα

μή. Ἐγὼ ἥκω κ. τ. λ.] Ἐγὼ μετὰ τῶν ἄλλων ἥκω δεῦρο κομίζων. SCALIG.

Ὃ νῦν ἤδη χρήσομαι] Lege. WOLF. BRODÆUS. Aldus ὅ. ὃ νῦν δὴ ἐρήσομαι Coisl. et similiter Mead. a manu 1ma. TAYLOR.

Ἡγεῖται κ. τ. λ.] Ita Casaubonus ὁ μέγας ad Theophrast. Charact. Cap. VIII. "Ἡγεῖται δὲ, ὅταν τι ψεύδηται, τῶν λόγων ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν· καὶ τὰ μὴ γεγενημένα οὐ μόνον ὡς ἔστι, λέγει, ἀλλὰ καὶ τὴν ἡμέραν ἐν ᾗ φησὶ γενέσθαι. καὶ προστίθησι τινὸς ὄνομα, πλασάμενος ὃς ἔτυχε παρὰν, μιμούμενος τούς τ' ἀληθῆ λέγοντας. Sic scribendus est locus hic Æschinis elegantissimus: quo cum esse nihil queat apertius, miror Interpretem doctissimum tam infeliciter hic esse versatum. Sic autem ille vertit: *Cum mentiur* etc. Num rem acu tetigerit, judicent eruditi." Hactenus Vir summus. IDEM.

Ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθ.] Jurare per oculos haud scio an usitatum sit. F. A. ὅρκος καὶ δάκρυα κατὰ τῶν ἀναισχύντων, *impudentes oculi oppleti lacrymis.* Etsi ne hoc quidem placet. WOLF. Aliquanto rectius cum Scaligero, μετὰ τῶν ἀναισχύντων ὀφθαλμῶν. TAYLOR. μετά. AUGER.

Καὶ τὰ γεγενημένα] F. καὶ τὰ μὴ γεγενημένα. MARKLAND. τὰ μὴ γεγ. AUGER.

λέγειν Editi] Λέγει. BRODÆUS. WOLF. Et [p. 144. l. 8.] ὑφ' ὑμῶν ἐξερρίφη. [loco τοῦ, ἐφ' ὑμῶν.] WOLF. Priores habebant λέγειν, quod rite cum Wolfio emendarunt Regg. 1. et 3. Præterea, καὶ τὰ οὐ γεγενημένα, οὐ μόνον ὡς ἔστι γεγενημένα, λεγει, ἀλλὰ κ. τ. λ. Bern. Similia his occurrunt in Orat. c. Ctesiph. §. λδ'. med. TAYLOR.

Προστίθησι τινὸς] Προστίθησι ὄνομα τινός SCALIG.

μενος ὡς ἔτυχε παρὼν, μιμούμενος τοὺς τἀληθῆ λέγοντας.

μθ'. Ἐν δὲ εὐτυχοῦμεν οἱ μηδὲν ἀδικοῦντες, ὅτι πρὸς τῇ τερατείᾳ τοῦ τρόπου, καὶ τῇ τῶν ὀνομάτων συνθέσει, νοῦν οὐκ ἔχει. σκέψασθε γὰρ ἀφροσύνην ἅμα, καὶ ἀπαιδευσίαν ἀνθρώπου, ὃς τοιοῦτον ἔπλασε τὸ περὶ τὴν Ὀλυνθίαν γυναῖκα ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ μεταξὺ μὲν λέγων ὑφ' ὑμῶν ἐξερρίφη. τὸν γὰρ πλεῖστον ἀφεστηκότα τῶν τοιούτων, πρὸς τοὺς εἰδότας διέβαλλε. σκέψασθε δὲ, ὡς πόρρωθεν ἐπὶ τὴν αἰτίαν ταύτην παρεσκευάζετο. ἔστι γάρ τις ἐπιδημῶν [1] ἡμῶν εἰς τὴν πόλιν Ἀριστοφάνης Ὀλύνθιος. τούτῳ συσταθεὶς ὑπό τινων, καὶ πυθόμενος, ὡς εἰπεῖν δύναται, ὑπερεκθεραπεύσας αὐτὸν, καὶ προσαγαγόμενος, [2] τοῦτον ἔπειθεν ἐμοῦ τὰ ψευδῆ καταμαρτυρεῖν πρὸς ὑμᾶς. κἂν παρελθὼν ἐθελήσῃ σχετλιάσαι, καὶ λέγειν, ὡς εἰς οἰκείαν αὐτοῦ γυναῖκα, καὶ αἰχμάλωτον γεγενημένην πεπαρώνηκα, πεντακοσίας μὲν ἤδη δραχμὰς [3] ὑπεσχνεῖτο αὐτῷ δώσειν, πεντακοσίας δ' ἑτέρας, ἐπειδὰν καταμαρτυρήσῃ. ὁ δ' αὐτῷ ἀπεκρίνατο, ὡς αὐτὸς διηγεῖτο, ὅτι τῆς μὲν φυγῆς, καὶ τῆς παρούσης ἀπορίας ἑαυτῷ οὐ κακῶς, ἀλλ' ὡς οἷόν τε ἄριστα στοχάζοιτο· τοῦ δὲ τρόπου πλεῖστον εἴη διημαρτηκώς. οὐδὲν γὰρ ἂν τοιοῦτο πρᾶξαι. ὅτι δὲ ἀληθῆ λέγω, αὐτὸν Ἀριστοφάνην μαρτυροῦντα παρέξομαι. κάλει μοι Ἀριστοφάνην Ὀλύνθιον, καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε, καὶ τοὺς ἀκηκόοτας αὐτοῦ, καὶ πρὸς ἐμὲ ἀγγείλαντας, Δέρκυλλον Αὐτοκλέους Ἀγνούσιον, καὶ Ἀριστείδην Εὐφιλήτου [4] Κηφησιέα.

295 40 49.1 5

[1] [ἡμῶν] [2] Deest τοῦτον. [3] ὑπισχνεῖτο [4] Κηφισιέα. Μαρτυρίαι.

Ὡς ἔτυχε παρὼν] Non displicet ὅς. Brodæus. ὅς. Scalig.

μθ'. Ἀνθρώπου] Γ' ἀνθρώπου. Markland.

Ὃς τοιοῦτον ἔπλασε] Vide Dem. orat. §. κ. Ex edit. Brook.

Ἐφ' ᾧ] Vel ἐφ' ᾧ. Brodæus. Credo hoc præter mentem viro doctissimo excidisse, eumque dictitasse potius juxta cum Wolfio ὑφ' ὑμῶν. Taylor.

Ἡμῶν] F. delendum, utpote repetitum ex præcedenti voce. Markland.

Ὀλύνθιος] Virgula duntaxat post Ὀλύνθιος et punctum infra post δύναται. Deinde adderem οὗτος οὖν ὑπέρ. Auger.

Τοῦτον] Insinuavit hoc Wolfius noster, verum minima necessitate adductus. Taylor. Dele τοῦτον. Auger.

Ὡς εἰς οἰκείαν αὐτοῦ] Utrum uxorem ejus, an cognatam mulierem? Wolf. αὐτοῦ. Markland.

Ἑαυτῷ] Ἑαυτοῦ, et v. 24. τὸν Ὀλύνθιον, et v. pen. τὸν Αὐτοκλέους. Scalig.

Κηφισέα Editi] Scribendum Κηφισιέα. Nam nomen Demi, a quo hoc gentile deducitur, est Κηφισία Erechtheidis tribus,

ΜΑΡΤΥΡΙΑΙ.

10 τῶν μὲν μαρτύρων διομνυμένων, καὶ μαρτυρούντων ἀκούετε,
τὰς δ' ἀνοσίους τῶν λόγων ταύτας τέχνας, ἃς οὗτος πρὸς 296
τοὺς νέους ἐπαγγέλλεται, καὶ κέχρηται νυνὶ κατ' ἐμοῦ,
ἆρα μέμνησθε, ὡς ἐπιδακρύσας, καὶ τὴν Ἑλλάδα κατοδυ-
ράμενος, καὶ Σάτυρον τὸν κωμικὸν ὑποκριτὴν προσεπαι-
νέσας, ὅτι ξένους τινὰς αὐτοῦ αἰχμαλώτους, σκάπτοντας
ἐν τῷ Φιλίππου ἀμπελουργείῳ καὶ δεδεμένους, παρὰ τὸν
15 πότον ἐζητήσατο παρὰ τοῦ Φιλίππου, ταῦθ' ὑποθεὶς,
ἐπεῖπεν, ἐντεινάμενος ταύτην τὴν ὀξεῖαν, καὶ ἀνοσίαν φω-
νὴν, ὡς [1]δεινὸν, εἰ ὁ μὲν τοὺς Καρίωνας, καὶ Ξανθίας ὑπο-
κρινάμενος, οὕτως εὐγενὴς, καὶ μεγαλόψυχός [2]γε γένοιτο,
ἐγὼ δ' ὁ τῆς μεγίστης πόλεως σύμβουλος, ὁ τοὺς μυρίους
Ἀρκάδων νουθετῶν, οὐ κατάσχοιμι τὴν ὕβριν, ἀλλὰ παρα-
θερμανθεὶς, ὅθ' ἡμᾶς εἱστία Ξενόδοκος τῶν ἑταίρων τις τῶν
20 Φιλίππου, ἔλκοιμι τῶν τριχῶν, καὶ λαβὼν ῥυτῆρα μαστι-
γοῖμι τὴν αἰχμάλωτον γυναῖκα; οὐκοῦν εἰ ὑμεῖς αὐτῷ
ἐπιστεύσατε, ἢ Ἀριστοφάνης μου συγκατεψεύσατο, ἐπ'
αἰσχραῖς αἰτίαις ἀδίκως ἀπωλόμην ἄν. ἐάσετε οὖν αὐτὸν
τοιοῦτον [3]ἐμοῦ προστρόπαιον, μὴ γὰρ δὴ τῆς πόλεως, ὥστε

[1] δεινὸν εἴη, εἰ - - - ὑποκρινόμενος [2] Deest γε. [3] αὐτοῦ

a quo fit Κηφισιεὺς, ut Antipho et alii innumeri. PALMER.

Καὶ κέχρηται] Καὶ αἷς κέχρηται. SCALIG. In Codd. Coisl. et Reg. 2. desunt voces καὶ κέχρηται. TAYLOR. καὶ αἷς κεχρ. AUGER.

Σάτυρον] Consule Demosth. περὶ παραπρεσβ. et Diodorum Sic. l. 15. BRODÆUS.

Ὅτι ξένους] Nec hoc est in Demosthene, sed filiæ Apollophanis Pydnæi. Cujus quidem mentiendi licentia vix eum sinit bonum virum existimari, utcunque sit *Alpha Palliatorum*. Nec sine causa Æschines τὰς τῶν λόγων αὐτοῦ τέχνας ἀνοσίους vocat, siquidem tam vere hæc dicit, quam verisimiliter. WOLF. Vid. Harpocr. v. Ὅτι ξένους. TAYLOR.

Παρὰ τὸν πότον] Lege. Et [l. 15.] pro Ξενόδοκος Demosthenes habet Xenophrona Melobii Atheniensis tyranni F. WOLF. πότον similiter Brodæus, Harpocr. et MSS. Bern. et Parisienses. τόπον Aldus. TAYLOR.

Ἀνοσίαν] F. ἀνόσιον, ut modo l. 3. τὰς ἀνοσίους τῶν λόγων ——τέχνας. Et in Timarch. p. 45. l. 19. ἡ δὲ βδελυρὰ φύσις καὶ ἀνόσιος. MARKLAND.

Δεινὸν] Δεινὸν εἴη cum Scaligero MS. Reg. 2. TAYLOR.

Μεγαλόψυχός γε] Dele otiosam istam particulam, quæ ortum debuit incuriæ scribentis, et proximitati vocis γένοιτο. Delet mecum Cod. Mead. IDEM.

Ὁ τοὺς μυρίους Ἀρκάδων] Ὁ τοὺς μυρίους τῆς Ἀρκαδίας ἄρχοντας. Brodæus, exponenti, non emendanti, similis. IDEM.

Παραθερμανθεὶς] Διαθερμανθεὶς, et v. 16. μαστιγοῖν. SCALIG.

Ξενόδοκος] Xenophron hic vocatur a Demosthene παραπρεσβ. §. νθ'. Unde scribendum hic videtur ξενόδοχος, litera minori, ut sit Apellativum, non Proprium, nomen. MARKLAND.

Τοιοῦτον προστρόπαιον] F. A. τοιοῦτον ἐμοῦ πρόστροπαιον, quia sequitur, μὴ γὰρ δὴ τῆς πόλεως. WOLF. Harpocrationi emendando, qui perperam descripsit hunc locum Æschinis, uterque operam impen-

ἐν ὑμῖν ἀναστρέφεσθαι; καὶ τὴν μὲν ἐκκλησίαν καθαίρετε, ἐν δὲ τοῖς ψηφίσμασι διὰ τούτου τὰς εὐχὰς ποιήσεσθε; καὶ στρατιὰν, ἢ πεζὴν, ἢ ναυτικὴν, ἐκπέμψετε; καὶ μὴν ὅ γε Ἡσίοδος λέγει,

Πολλάκι τοι ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
Ὅσκεν ἀλιτραίνῃ, καὶ ἀτάσθαλα μηχανάᾳται.

297 ν'. Ἓν δὲ πρὸς τοῖς εἰρημένοις εἰπεῖν ἔτι βούλομαι. εἰ γάρ που τίς ἐστι κακία κατ' ἀνθρώπους, ἂν μὴ πρωτεύσαντα περὶ ταύτην ἀποδείξω Δημοσθένην, θανάτου τιμῶμαι. ἀλλ', οἶμαι, πολλὰ καὶ χαλεπὰ παρακολουθεῖ τῷ κρινομένῳ, καὶ μετακαλεῖ τὴν ψυχὴν ἀπὸ τῆς ὀργῆς ὁ κίνδυνος ἐπὶ τοὺς ὑπὲρ τῆς σωτηρίας λόγους, καὶ διαλογισμοὺς παρίστησι, μή τι παραλίπῃ τῶν κατηγορημένων. ὥστε ἅμα μὲν ὑμᾶς, ἅμα δὲ ἐμαυτὸν εἰς ἀνάμνησιν τῶν κατηγορημένων ἀγαγεῖν βούλομαι. σκοπεῖτε γὰρ δὴ καθ' ἕκαστον, ὦ Ἀθηναῖοι. ποῖον ἐγὼ ψήφισμα γράψας κρίνομαι, ἢ ποῖον νόμον λύσας, ἢ ποῖον γενέσθαι κωλύσας, ἢ τίνας ὑπὲρ τῆς πόλεως συνθήκας ποιησάμενος, ἢ τί τῶν δεδογμένων περὶ τῆς εἰρήνης ἀπαλείψας, ἢ τί [1] τῶν δοξάντων ὑμῖν μὴ προσγράψας; οὐκ ἤρεσκέ τισι τῶν ῥητόρων ἡ [2] εἰρήνη. ἔπειτα οὐ τότε ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν; ἐπλούτουν τινὲς ἐκ τοῦ πολέμου ἀπὸ τῶν ὑμετέρων εἰσφορῶν, καὶ τῶν δημοσίων [3] προσόδων. νῦν δὲ πέπαυνται. εἰρήνη γὰρ ἀργίαν οὐ τρέφει. ἔπειτα οἱ μὲν οὐκ

[1] τῶν μὴ δοξ. ὑ. προσγράψας; [2] εἰρήνη; [3] προσόδων, νῦν δὲ πέπαυνται;

dit, et Meursius Attic. Lect. IV. 16. et Vales. pag. 164. Not. ad Harpocrat. Quorum hic infelicem illam Wolfii conjecturam improbat, et, siquid supplendum judicaverint eruditi, ἑαυτοῦ προστρίπαιον potius fuisse auguratur, quam ἐμοῦ. Mentem suam de ea re ibidem explicat. TAYLOR.

Ὥστε] Abesse potuit, et, opinor, debuit: natum ex præcedentibus et subsequentibus literis. MARKLAND.

Πολλάκι] γρ. Πολλάκι καὶ, et ἐπαυρεῖ, et ὅστις ἀλιτραίνει. STEPHANUS. Credo, in Hesiodi Codd. MStis. Aldus hic dedit ἀπεῦρα, quod pariter correxit Mor. et Bern. TAYLOR.

Ἀπηύρα] In emendatis Codd. ἐπαυρεῖ reperitur. BRODÆUS. Ἀπαυράω est Thema. WOLF.

ν'. Περὶ] Κατά. SCALIG.

Ἢ τί τῶν δοξάντων ὑμῖν προσγράψας] F. τῶν μὴ δοξάντων ὑ. π. aut quibus, quæ vobis approbata non fuerunt, adscriptis. Possit et παραγράψας legi, ut significet παραβάς. WOLF. τῶν μὴ δοξάντων, Brodæus, Markland. Reg. 2. οὐ δοξάντων Bern. TAYLOR. τῶν μὴ δ. ὑ. προσγράψας. AUGER.

Ἀλλὰ μὴ νῦν] Negatio videtur redundare. WOLF.

Πέπαυται] M. πέπαυνται, S. οἱ ῥήτορες πλουτοῦντες ἐκ τοῦ πολέμου. Et [p. 147. l. 4.] συῃδεν δέ. IDEM. Ubi Editi γάρ. TAYLOR. Emenda πέπαυνται. BRO-

ἀδικούμενοι, ἀλλ' ἀδικοῦντες τὴν πόλιν, τιμωρήσονται τὸν προστάντα τῆς εἰρήνης, οἱ δ' ὠφελούμενοι, τοὺς χρησίμους εἰς τὰ κοινὰ γινομένους ἐγκαταλείψετε;

νά. Συνῆδον [1]δὲ τοὺς παιᾶνας Φιλίππῳ, κατεσκαμμένων τῶν ἐν Φωκεῦσι πόλεων, ὥς φησιν ὁ κατήγορος. καὶ ποίῳ τεκμηρίῳ δύναιτ' ἄν τις σαφῶς τοῦτο ἐπιδεῖξαι; 296
ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν συμπρέσβεων·
50. 1 ἦσαν δ' οἱ κλητοὶ, καὶ συνδειπνοῦντες, σὺν ταῖς ἀπὸ τῶν Ἑλλήνων πρεσβείαις, οὐκ ἐλάττους ἢ διακόσιοι. ἐν δὲ τούτοις, ὡς ἔοικεν, ἐγὼ διαφανὴς ἦν, οὐχ ὑποσιγῶν, ἀλλὰ συνάδων, ὥς φησι Δημοσθένης, οὔτ' αὐτὸς παρὼν, οὔτε τῶν ἐκεῖ παρόντων οὐδένα παρασχόμενος μάρτυρα. καὶ τῳγε δῆλος ἦν, εἰ μή γε, ὥσπερ ἐν τοῖς χοροῖς, προῆδον; οὐκοῦν
5 εἰ μὲν ἐσίγων, ψευδῆ μοῦ κατηγορεῖς· εἰ δὲ ὀρθῆς ἡμῖν τῆς πατρίδος οὔσης, καὶ τῶν πολιτῶν κοινῇ μηδὲν ἀτυχούντων, συνῆδον μετὰ τῶν ἄλλων συμπρέσβεων τὸν παιᾶνα, ἡνίκα ὁ θεὸς μὲν ἐτιμᾶτο, Ἀθηναῖοι δὲ μηδὲν ἠδίκουν, εὐσέβουν, ἀλλ' οὐκ ἠδίκουν, καὶ δικαίως ἂν σωζοίμην. ἔπειτα ἐγὼ μὲν διὰ ταῦτα ἀνηλέητός τις εἰμὶ ἄνθρωπος, σὺ δὲ εὐσεβὴς, ὁ τῶν συσπόνδων, καὶ συσσίτων κατήγορος.

10 νβ'. Ὠνείδισας δέ μοι καὶ πολιτείας ἐμπληξίαν, εἰ πεπρεσβευκὼς πρὸς Φίλιππον πρότερον, παρεκάλουν ἐπ' ἐκεῖνον τοὺς Ἕλληνας. καί τοι ταύτην, εἰ βούλει, τὴν κατηγορίαν, καὶ τῶν ἄλλων Ἀθηναίων δημοσίᾳ κατηγορήσεις. ἐπολεμεῖτε Λακεδαιμονίοις· [2]μετὰ τὴν ἐν Λεύκτροις συμφο-

[1] γὰρ [2] καὶ μετὰ

DÆUS. Ita Regg. 2. 3. TAYLOR. Retinendum γάρ. AUGER.

Γινομένους] F. γενομένους, ut προστάντα. MARKLAND.

νά. Συνῆδον] Vide Dem. orat. §. μ'. Ex edit. BROOK.

Καὶ τῳγε δῆλος ἦν;] *At quo argumento, quibusque indiciis notus eram?* BRODÆUS.

Καὶ τῳγε δῆλος ἦν] *Et quis me nosse potuit?* Wolfius. Potius, *Et qua re innotuit me hoc fecisse? Qua re conspicuus fui?* Sic Demosth. ω. παραπρεσβ. §. ν'. τῳ τοῦτο δῆλον; ubi recte Wolfius, *unde hoc perspicitur?* MARKLAND.

Ὀρθῆς] *Incolumi.* Recte. Vide Suid. in v. qui hunc locum laudat et intrepretatur. TAYLOR.

Εὐσέβουν] Ἠυσέβουν. SCALIG.

Ἀνηλέητος] Μηδενὸς ἐλέου ἄξιος. Apud Homerum est ἀνήλεόν ἐστί σοι ἦτορ. WOLF. Nota diversitatem lectionis in Cod. Bern. ἀνηλεὴς, et ἀνελέητος, et ἀνίλεως, et denique ἀνελεήμων. TAYLOR.

νβ'. Πολιτείας ἐμπληξίαν] Ἐμπληκτον. Hesychius interpretatur non tantum μεμηνότας, sed etiam εὐμεταβέτους, ut ἐμπληξία significet ἄλογον et ἐμπαθῆ μεταβολὴν, ἢ πολιτείαν ἀσταθῆ καὶ οὐχ ὁμολογουμένην ἑαυτῇ. WOLF.

Πρὸς Φίλιππον πρότερον παρεκάλουν] Ita distinguendum docet Historia, πρὸς Φίλιππον, πρότερον παρεκάλουν κ. τ. λ. JURIN.

Μετὰ τὴν] Restitue cum Codd. Coisl.

ρὰν τοῖς αὐτοῖς ἐβοηθεῖτε. κατηγάγετε εἰς τὴν πατρίδα φεύγοντας Θηβαίους· καὶ πάλιν τούτοις ἐμάχεσθε ἐν Μαντινείᾳ. ἐπολεμήσατε Ἐρετριεῦσι, καὶ Θεμίσωνι· καὶ πάλιν ἐσώσατε. καὶ μυρίοις ἄλλοις ἤδη τῶν Ἑλλήνων οὕτω κέχρησθε. τοῖς γὰρ καιροῖς συμπεριφέρεσθαι ἀνάγκη πρὸς τὸ κράτιστον, καὶ τὸν ἄνδρα, καὶ τὴν πόλιν. τὸν δὲ ἀγαθὸν σύμβουλον τί χρὴ ποιεῖν; οὐ τῇ πόλει πρὸς τὸ παρὸν τὰ βέλτιστα συμβουλεύειν; τὸν δὲ πονηρὸν κατήγορον τί χρὴ λέγειν; οὐ τοὺς καιροὺς ἀποκρυπτόμενον, τῆς πράξεως κατηγορεῖν; τὸν δὲ ἐκ φύσεως προδότην πῶς χρὴ θεωρεῖν; ἆρά γε οὐχ ὡς σὺ τοῖς ἐντυγχάνουσι καὶ πιστεύσασι κέχρησαι, λόγους εἰς δικαστήρια γράφοντα μισθοῦ, τούτους ἐκφέρειν τοῖς ἀντιδίκοις; ἔγραψας λόγον Φορμίωνι τῷ τραπεζίτῃ, χρήματα λαβών· τοῦτον ἐξήνεγκας Ἀπολλοδώρῳ τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα. εἰσῆλθες εἰς εὐδαιμονοῦσαν οἰκίαν τὴν Ἀριστάρχου τοῦ Μόσχου· ταύτην ἀπώλεσας. προὔλαβες τρία τάλαντα παρ' Ἀριστάρχου φεύγοντος· τοῦτον τὰ τῆς φυγῆς ἐφόδια ἀπεστέρησας, οὐκ αἰσχυνθεὶς τὴν φήμην, ἣν προσεποιήσω ζηλωτὴς εἶναι τῆς ἡλικίας τοῦ μειρακίου. οὐ γὰρ δὴ τῇ γε ἀληθείᾳ. οὐ γὰρ προσδέχεται δίκαιος ἔρως πονηρίαν. [1] τοῦτ' ἐστὶν ὁ προδότης, καὶ τὰ τούτοις ὅμοια.

νγ'. Ἐμνήσθη δέ που περὶ τῆς στρατείας, καὶ τὸν καλὸν στρατιώτην ἐμὲ ὠνόμασεν· ἐγὼ δὲ οὐχ ἕνεκα τῆς τούτου βλασφημίας, ἀλλὰ τοῦ παρόντος κινδύνου προνοούμενος, καὶ περὶ τούτων ἀνεπίφθονον λέγειν εἶναί μοι νομίζω. ποῦ γάρ, ἢ ποτε αὐτῶν, ἢ πρὸς τίνας, παραλιπὼν τήνδε τὴν ἡμέραν, μνησθήσομαι; ἐκ παίδων μὲν γὰρ ἀπαλλαγεὶς, περίπολος τῆς χώρας ταύτης ἐγενόμην δύο

[1] ταῦτ'

Reg. 2. et Mead. καὶ μετὰ τήν. Ut iin sequentibus recte dicitur, κατηγάγετε — Θηβαίους· καὶ πάλιν τούτοις ἐμάχεσθε. Et, ἐπολεμήσατε Ἐρετριεῦσι — καὶ πάλιν ἐσώσατε. TAYLOR.

Καιροῖς] Κακοῖς. et v. 12. τῷ λόγους. SCALIGER.

Ἐκφέρειν] M. ἐκφέρει. AUGER.

Οὐκ αἰσχυνθεὶς] *Non veritus opinionem quam simulabas, nempe te esse amatorem.* IDEM.

νγ'. Καλὸν στρατιώτην] Vide Dem. §. λς'. sub fin. *Ex edit.* BROOK.

Αὐτῶν] Lego αὔτως. BRODÆUS. αὐτῶν, nempe, *rerum a me bello præclare gestarum.* AUGER.

Περίπολος — δύο ἔτη] Disputationem bene longam de hoc loco instituit Maussacus ad Harpocr. in v. Eundem porro Lexicographum consule in v. Νεμέα Χαράδρα,

ἔτη, καὶ τούτων ὑμῖν τοὺς συνεφήβους, καὶ τοὺς συνάρχοντας ἡμῶν μάρτυρας παρέξομαι. πρώτην δ' ἐξελθὼν στρατείαν τὴν ἐν τοῖς Μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν, καὶ τῶν Ἀλκιβιάδου ξένων, τὴν εἰς Φλιοῦντα παραπομπὴν, κινδύνου συμβάντος ἡμῖν περὶ τὴν Νεμεάδα καλουμένην χαράδραν, οὕτως ἠγωνισάμην, ὥστε ὑπὸ τῶν ἡγεμόνων ἐπαινεῖσθαι, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους, τὰς ἐν τοῖς Ἐπωνύμοις, καὶ τοῖς

in Ἐπώνυμοι, et Στρατεία ἐν τοῖς Ἐπωνύμοις, Petit. Comment. ad LL. Attic. pag. 654. Nov. Edit. et præcipue ornatissimum Corsinium in Fastis Atticis Dissert. XI. §. 5. TAYLOR.

Καὶ τοὺς συνάρχοντας] Τίνι; τῷ Αἰσχίνῃ, ἢ τοῖς δικασταῖς; Mox lego, ὑμῖν μάρτυρας παρέξομαι. WOLF. παράξομαι. SCALIG.

Στρατείαν τὴν ἐν τοῖς μέρεσι] Τὰ μέρη non puto loci nomen esse: neque satis scio, an *vicaria expeditio* recte vertatur, cum per vices alii aliis succedunt, ut sequitur, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους. WOLF. Quid sit στρατεία ἐν τοῖς μέρεσι, non cuivis tam notum est. Olim putaveram quandam expeditionem sic nominatam fuisse, et intelligebam de ea ad Phliuntem, de qua statim loquitur: at ejus appellationis rationem excogitare incassum laborabam. Postea vero ex Suida aliquantum lucis affulsit, unde deprehendi fuisse corpus quoddam militiæ, quod componebant Tirones, qui nuper excesserant ætatem τῶν περιπόλων. Sic enim ille Grammaticus in v. Τερθρεία. Καὶ τὴν ἐν τοῖς μέρεσι καλουμένην μάχην, οἱ δὲ, ὅτι ἔθος ἦν τοὺς ἐφήβους, μετὰ τὸ γενέσθαι περιπόλους τῆς χώρας, στρατεύεσθαι μὲν, εἰ συμβαίη πόλεμος, μὴ μέντοι μετὰ τῶν ἄλλων, ἀλλ' ἰδίᾳ ἐν μέρεσι τοῖς ἀκινδύνοις τῆς μάχης, διὸ τὴν στρατείαν καλεῖσθαι τὴν ἐν τοῖς μέρεσι. Hæc Suidas. Quæ amplecti necesse est, cum nihil alibi inveniatur, et mirum est certe tam raram ejus rei apud auctores factam fuisse mentionem. PALMER. Στρατεία ἡ ἐν τοῖς μέρεσι, erat quædam militandi ratio qua alii aliis succedebant, qua invicem alii remanebant sub armis, alii domum mittebantur. AUGER.

Συμπαραπέμπων ——— τὴν εἰς Φλιοῦντα παραπομπὴν] Παραπέμπειν est comitari et deducere aliquem. Sed qualis ista sive deductio sive comitatus fuerit, equidem ignoro. Nemeam locum Elidis esse, notum est vel ex fabula de Nemæo leone ab Hercule interfecto. Fortassis sacrificia ad Olympicam celebritatem missa deduxerunt. WOLF.

Ἐκ διαδοχῆς] *Per seriem quandam.* Demosth. Philippic. α. Τούτων δὲ Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ἡμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν ἐκ διαδοχῆς ἀλλήλοις. Rursus, c. Mid. μετεπέμπετο τοὺς ἐξ Ἀργούρας ἱππέας ἐπὶ τὴν διαδοχήν. BRODÆUS.

Τὰς ἐν τοῖς Ἐπωνύμοις] *Quæ pro Eponymorum statuis conscriptæ essent.* Demosth. c. Timocrat. Aut τὰς ἐν τοῖς Ἐπωνύμοις, τὰς κατὰ τὰς φυλὰς, quæ per vices ad bellum proficiscebantur. BRODÆUS. Fortasse, cum ante statuas Heroum delectus habebantur. WOLF. Gratias quam maximas Harpocrationi Lexicographo, qui locum Aristotelis ex Atheniensium Rep. nobis servavit, ex quo intelligere possumus, quid fuerit στρατεία ἐν τοῖς Ἐπωνύμοις, et qui fuerint isti Ἐπώνυμοι. Nam hic solus Æschinis locus de iis mentionem fecit, præter illum Aristotelis libri, qui non exstat. Sic igitur Harpocratio: Τίς ἦν ἐν τοῖς Ἐπωνύμοις στρατεία, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, λέγων· Εἰσὶ γὰρ Ἐπώνυμοι δέκα ἐκ τῶν φυλῶν, δύο καὶ τετταράκοντα οἱ τῶν ἡλικιῶν. οἱ δὲ ἐφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ, τε Ἄρχων, ἐφ' οὗ ἐπεγράφησαν, καὶ ὁ Ἐπώνυμος, ὁ τῷ προτέρῳ ἔτει ἐπιδεδημηκώς. νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται. Καὶ μετ' ὀλίγα. Χρῶνται δὲ τοῖς Ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προσγράφουσι, ἀπὸ τινὸς Ἄρχοντος Ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι. Ergo στρατεία ἐν τοῖς Ἐπωνύμοις dicebatur ea, quæ jam computabatur viro utiliter in numerum annorum 42, quibus ex lege tenebatur militare, et sic opponebatur τῇ στρατείᾳ τῇ ἐν τοῖς μέρεσι, et τῶν περιπόλων, et ideo eas conjungit Æschines, ut omne genus militiæ comprehendat. Eponymi igitur Archontes erant unicuique viro XLII. anni ab anno XVIII^vo. usque ad LX^mum. PALMER. Αἱ ἐν τοῖς Ἐπωνύμοις στρατεῖαι, erant etiam quædam militandi rationes, de quibus consulantur Suidas et

Μέρεσιν ἐξῆλθον, καὶ τὴν ἐν Μαντινείᾳ μάχην συνεμαχεσάμην οὐκ αἰσχρῶς, οὐδ' ἀναξίως τῆς πόλεως. καὶ τὰς εἰς Εὔβοιαν στρατείας ἐστρατευσάμην, καὶ τὴν ἐν Ταμύναις 40
μάχην ἐν τοῖς ἐπιλέκτοις οὕτως ἐκινδύνευσα, ὥστε κἀκεῖ στεφανωθῆναι ὑπὸ τῶν ἡγεμόνων, καὶ δεῦρο ἥκων πάλιν ὑπὸ τοῦ δήμου, τήν τε νίκην τῆς πόλεως ἀπαγγείλας, [1] Τεμενίδου τοῦ τῆς Πανδιονίδος ταξιάρχου, καὶ συμπρεσβεύσαντος ἀπὸ στρατοπέδου μοι δευρὶ, καὶ τὰ περὶ τὸν γενόμενον κίνδυνον, οἷος ἦν, ἀπαγγείλαντος. ὅτι δὲ ἀληθῆ λέγω λάβε μοι τοῦτο τὸ ψήφισμα, καὶ κάλει 51.
τὸν Τεμενίδην, καὶ τοὺς συνεστρατευμένους μοι τὰς ὑπὲρ τῆς πόλεως στρατείας, καὶ Φωκίωνα τὸν στρατηγὸν, μήπω συνήγορον, ἂν μὴ τούτοις συνδοκῇ, ἀλλ' ὑπεύθυνον τῷ συκοφάντῃ μάρτυρα, ἐὰν ψεύδηται.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ.

301 ἀπαγγείλας τοίνυν πρῶτος τὴν τῆς πόλεως νίκην ὑμῖν, 5
καὶ τὴν τῶν παίδων τῶν ὑμετέρων κατόρθωσιν, πρώτην ὑμᾶς ἀπαιτῶ χάριν τὴν τοῦ σώματος σωτηρίαν, οὐ μισόδημος ὤν, ὥς φησιν ὁ κατήγορος, ἀλλὰ μισοπόνηρος, οὐ τοὺς Δημοσθένους ὑμᾶς ἐῶν προγόνους μιμεῖσθαι — οὐ γὰρ εἰσιν —, ἀλλὰ τῶν καλῶν τῇ πόλει βουλευμάτων ζηλωτὰς εἶναι παρακαλῶν. νῦν δ' αὐτὰ πόρρωθεν ἀρξάμενος μικρῷ δίειμι σαφέστερον.

νδ'. Πρότερον ἡ πόλις ἡμῶν εὐδόξησε μετὰ τὴν ἐν Σαλα- 10
μῖνι ναυμαχίαν πρὸς τὸν Πέρσην, καὶ τῶν τειχῶν ὑπὸ τῶν

[1] καὶ Τεμενίδου

Harpocratio in v. Ἐπάνυμοι. Auger.

Τὴν ἐν Ταμύναις μάχην] Euboeæ locum esse apparet. Stephanus habet τὴν Ταμύταν, καὶ τὰς Ταμύνας, indeque format Ταμυνία καὶ Ταμυναῖον: et Eretriensis agri oppidum esse dicit. Wolf.

Ἐπαγγείλας καὶ Τ.] F. ἀπαγγείλας, Τεμενίδου, omissa conjunctione. Et [l. 10.] καὶ κάλει τὸν Τεμενίδην. Idem.

Τεμενίδου] Delevit Wolfius conjunctionem καὶ quæ erat ante hanc vocem. Ego utramque tam hanc, tam alteram quæ proxime sequitur, deleo, et totum hunc locum ita restitui volo: τήν τε νίκην τῆς πόλεως ἀπαγγείλας, Τεμενίδου τοῦ τῆς Πανδιονίδος ταξιάρχου, συμπρεσβεύσαντος ἀπὸ στρατοπέδου μοι δευρὶ, καὶ τὰ περὶ τὸν γενόμενον κίνδυνον, οἷος ἦν, ἀπαγγείλαντος. Taylor. Virgula post ἐπαγγείλας, deinde adde καὶ, et dele post δευρί. Auger.

Φωκίωνα] Phocionis advocati non meminit Demosthenes. Wolf.

νδ'. Πρότερον ἡ πόλις κ. τ. λ.] Hasce historias Æschini, quam mihi, fuisse notiores, facile patior. Neque operæ pretium esse duco, severius in hanc narrationem inquirentem, historicorum et oratorum cum ea vel consensionem vel dissensionem indagare, aut rationem temporum inquirere. Wolf.

βαρβάρων πεπτωκότων, εἰρήνης δ' ὑπαρχούσης πρὸς Λακεδαιμονίους, διέμεινεν ἡμῖν τὸ τῆς δημοκρατίας πολίτευμα. συνταραχθέντες δὲ ὑπό τινων, καὶ καταστάντες πρὸς Λακεδαιμονίους εἰς πόλεμον, πολλὰ καὶ παθόντες κακὰ, καὶ ποιήσαντες, Μιλτιάδου τοῦ Κίμωνος προκηρυκευσαμένου πρὸς Λακεδαιμονίους, ὄντος προξένου, σπονδὰς τοῦ πολέμου πεντηκονταετεῖς ἐποιήσαμεν. ἐχρησάμεθα αὐταῖς δὲ ἔτη τριακαίδεκα. ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐτειχίσαμεν τὸν Πειραιᾶ, καὶ τὸ βόρειον τεῖχος ὠκοδομήσαμεν, ἑκατὸν δὲ τριήρεις πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα, τριακοσίους δὲ ἱππέας προσκατεσκευασάμεθα, καὶ τριακοσίους τοξότας Σκύθας ἐπριάμεθα, καὶ τὴν δημοκρατίαν βεβαίως εἴχομεν. παρεμπεσόντων δ' εἰς τὴν πολιτείαν ἡμῶν οὐκ ἐλευθέρων ἀνθρώπων, καὶ τοῖς τρόποις οὐ μετρίων, 302
πάλιν πρὸς Αἰγινήτας εἰς πόλεμον κατέστημεν. κἀνταῦθα οὐκ ὀλίγα βλαβέντες, τῆς μὲν εἰρήνης ἐπεθυμήσαμεν, Ἀνδοκίδην δ' ἐκπέμψαντες πρὸς τοὺς Λακεδαιμονίους, καὶ τοὺς συμπρέσβεις, εἰρήνην ἔτη τριάκοντα ἠγάγομεν, ἣ τὸν δῆμον ὑψηλὸν ἦρε. χίλια μὲν γὰρ τάλαντα ἀνηνέγκαμεν νομίσματος εἰς τὴν ἀκρόπολιν, ἑκατὸν δὲ τριήρεις ἑτέρας ἐναυπηγησάμεθα, καὶ νεωσοίκους ὠκοδομήσαμεν, χιλίους δὲ καὶ διακοσίους ἱππέας κατεστήσαμεν, καὶ τοξότας ἑτέρους τοσούτους, καὶ τὸ μακρὸν τεῖχος τὸ νότιον ἐτειχίσθη, καὶ τὸν δῆμον οὐδεὶς ἐνεχείρησε καταλῦσαι. πάλιν δὲ εἰς πόλεμον [1] πρὸς Μεγαρέας πεισθέντες καταστῆναι,

[1] διὰ

Μιλτιάδου] Hæc et multa quæ sequuntur, transcripsit fere verbatim Pseudo-Andocides in Orationem suam περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης, inter Stephani Rhetoras antiquos, p. 23. MARKLAND. I. Κίμωνος, τοῦ Μιλτιάδου, προκηρυκευσαμένου. AUGER.

Ἐποιήσαμεν] M. ποιησάμενοι, ἐχρησάμεθα αὐταῖς ἔτη - - - IDEM.

Τοῖς τρόποις] Τοὺς τρόπους. SCALIG.

Πρὸς Αἰγινήτας] Δι' Αἰγινήτας Andocides p. 24. Ed. Steph. MARKLAND. διά. AUGER.

Ἦ] Ἦν erat ab Aldo: correctum autem a Brodæo, Stephano, et Bern. Id quod Wolfium video voluisse, si operæ sivissent Typographicæ. TAYLOR.

Χίλια] Δισχίλια. SCALIG.

Ἑτέρους τοσούτους] Πότερον τριακοσίους ἢ ἑξακοσίους? Apud Isocratem in Panegyrico, πεντεκαίδεκα μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν. Postea sequitur: τὴν μὲν γὰρ μετ' Ἀγησιλάου στρατιὰν, ὀκτὼ μῆνας ταῖς ἑαυτῶν δαπάναις διεθρέψαν· τοὺς δ' ὑπὲρ αὐτὰν κινδυνεύσαντας, ἑτέρου τοσούτου χρόνου τὸν μισθὸν ἀπεστέρησαν. Unde apparet, ἑτέρους τοσούτους duplum significare numerum, δὶς τοσούτους. Etsi hoc non est perpetuum. WOLF.

Διὰ Μεγαρέας] F. πρός. IDEM. διὰ Andocides l. c. MARKLAND.

καὶ τὴν χώραν [1]τμηθῆναι προέμενοι, καὶ πολλῶν ἀγαθῶν
στερηθέντες, εἰρήνης ἐδεήθημεν, καὶ ἐποιησάμεθα διὰ Νι- 30
κίου τοῦ Νικηράτου. καὶ πάλιν ἐν τῷ χρόνῳ τούτῳ ἑπτα-
κισχίλια τάλαντα ἀνηνέγκαμεν εἰς τὴν ἀκρόπολιν διὰ τὴν
εἰρήνην ταύτην, τριήρεις δ' ἐκτησάμεθα πλοίμους καὶ ἐν-
τελεῖς οὐκ ἐλάττους ἢ τριακοσίας, φόρος δ' ἡμῖν κατ' ἐνι-
αυτὸν προσῆει πλέον, ἢ χίλια καὶ διακόσια τάλαντα, καὶ
Χερρόννησον, καὶ Νάξον, καὶ τὴν Εὔβοιαν εἴχομεν, πλεί-
στας δ' ἀποικίας ἐν τοῖς χρόνοις τούτοις ἀπεστείλαμεν.
καὶ τοσαῦτα ἔχοντες τἀγαθὰ, πόλεμον δι' Ἀργείους πρὸς 35
Λακεδαιμονίους ἐξηνέγκαμεν, πεισθέντες ὑπ' Ἀργείων· καὶ
303 τελευτῶντες, ἐκ τῆς τῶν ῥητόρων ἀψιμαχίας εἰς φρουρὰν
τῆς πόλεως, καὶ τοὺς τετρακοσίους, καὶ τοὺς ἀσεβεῖς
τριάκοντα ἐνεπέσαμεν, οὐκ εἰρήνην ποιησάμενοι, ἀλλ' ἐκ
προσταγμάτων ἠναγκασμένοι. πάλιν δὲ σωφρόνως πολιτευ-
θέντες, καὶ τοῦ δήμου κατελθόντος ἀπὸ Φυλῆς, Ἀρχίνου, 40
καὶ Θρασυβούλου προστάντων τοῦ δήμου, καὶ τὸ μὴ μνη-
σικακεῖν πρὸς ἀλλήλους ἔνορκον ἡμῖν καταστησάντων, ὅθεν
σοφωτάτην πάντες τὴν πόλιν ἡγήσαντο εἶναι, κἀνταῦθα
ἀναφθέντος τοῦ δήμου, καὶ πάλιν ἐξ ἀρχῆς ἰσχύσαντος,
ἄνθρωποι παρέγγραπτοι γεγενημένοι πολῖται, καὶ τὸ νο-
σοῦν τῆς πόλεως ἀεὶ προσαγόμενοι, καὶ πόλεμον ἐκ πολέ-
μου πολιτευόμενοι, ἐν μὲν εἰρήνῃ τὰ δεινὰ τῷ λόγῳ προορώ- 52.1

[1] νεμεθῆναι

Νεμεθῆναι] F. τμηθῆναι. Fortasse tum, cum Archidamus Atticam invasit. Wolf. Ita Andocides. Taylor.

Ἐν τῷ χρόνῳ] Ἐν τῷ αὐτῷ χρόνῳ. Scaliger.

Τριακοσίας] Τετρακοσίας Andocides. Markland.

Δι' Ἀργείους] Delendum opinor. Andocides p. 24. πάλιν κατέστημεν εἰς πόλεμον πρὸς Λακεδαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων. Idem.

Τετρακοσίους] Τριακοσίους Mor. Parum recte. Porro autem istud ἐνεπέσαμεν minus intelligo, Wolfii emendationem Brodæique similiter corrigentis, tantundem. Taylor.

Ἐνεπέσομεν] Lego. Et [l. antepen.] τὸ νοσοῦν τῆς πόλεως. Wolf. Brodæus.

Πολιτευθέντες] Πολιτευθέντων. Scalig. Hic nominativus pendet, ut sæpius fit apud oratores cum phrasis est longior. Auger.

Τοῦ δήμου κατελθόντος ——— προστάντων τοῦ δήμου] Posteriora f. delenda, ex sententia Cl. Marklandi. Taylor. Supervacuum videtur et delendum. Auger.

Ἀναφθέντος] *Plebe, quasi ab Inferis suscitata.* Brodæus. Ἀναφύντος Mor. Coisl. Mead. Varia Lectio nata fortasse ex scholiolo. Taylor.

Ἄνθρωποι παρέγγραπτοι] Quos hic perstringit, illo tempore noti fuerunt: a nobis ignorari nihil refert. Wolf.

Καὶ τὸ νοσοῦν] *Et partem ægram civitatis sibi conciliantes*, i. e. pravissimos quosque cives. Auger.

Τὰ δεινὰ τῷ λόγῳ προορώμενοι] Suspecta mihi lectio est: nec tamen quicquam occurrit melius. Wolf.

μενοι, καὶ τὰς ψυχὰς τὰς φιλοτίμους καὶ λίαν ὀξείας ἐρεθίζοντες, ἐν δὲ τοῖς πολέμοις ὅπλων οὐχ ἁπτόμενοι, ἐξεταστὰ δὲ καὶ ἀποστολεῖς γινόμενοι, παιδοποιούμενοι δὲ ἐξ ἑταιρῶν, ἄτιμοι δὲ ἐκ συκοφαντίας, εἰς τοὺς ἐσχάτους ἡμῶν κινδύνους τὴν πόλιν καθιστᾶσι, καὶ τὸ μὲν τῆς δημοκρατίας ὄνομα οὐ τοῖς ἤθεσιν, ἀλλὰ τῇ κολακείᾳ θεραπεύοντες, καταλύοντες δὲ τὴν εἰρήνην, [1] ᾗ δημοκρατία σώζεται, συναγωνιζόμενοι δὲ τοῖς πολεμίοις, ἐξ ὧν ὁ δῆμος καταλύεται· οὗτοι νῦν ἐπ' ἐμὲ συστραφέντες ἥκουσι. καί φασι μὲν τὸν Φίλιππον τὴν εἰρήνην πρίασθαι, καὶ προλαβεῖν ἐν ταῖς συνθήκαις ἡμῶν ἅπαντα· ἣν δ' αὐτὸς εὗρεν εἰρήνην αὐτῷ
304 συμφέρουσαν, ταύτην παραβεβηκέναι. ἐμὲ δ' οὐχ ὡς πρεσβευτὴν κρίνουσιν, ἀλλ' ὡς ἐγγυητὴν Φιλίππου, καὶ τῆς εἰρήνης· καὶ τὸν [2] μηδὲ τῶν ὅλων λόγων κύριον, τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι. τὸν αὐτὸν δὲ ἐν μὲν τοῖς ψηφίσμασιν ἐπαινέτην ἐπιδείκνυμι, ἐν δὲ τῷ δικαστηρίῳ κατηγόρῳ κέχρημαι. δέκατος δ' αὐτὸς πρεσβεύσας, μόνος τὰς εὐθύνας δίδωμι.

νέ. Καὶμοὶ μὲν οἱ συνδεησόμενοι πάρεισιν ὑμῶν· πατὴρ μὲν, οὗ τὰς τοῦ γήρως ἐλπίδας μὴ ἀφέλησθε, ἀδελφοὶ δὲ,

[1] ᾗ ἡ δημοκρατία

[2] Deest μηδέ.

Τοῖς πολεμίοις] Frigidum hoc, præter ea quæ memini esse frigidissima! Quid enim novum, quid magnificum, si *hostes hostilem* animum gererent, et Remp. æmulam pessundarent? Tu amplecteris, credo, πολέμοις. Annon id exspectares ab homine, qui pacis beneficia jam enumeret? Ecce autem, quam belle procedant omnia! καταλύοντες εἰρήνην, ᾗ δημοκρατία σώζεται, et συναγωνιζόμενοι πολέμοις, ἐξ ὧν ὁ δῆμος καταλύεται. *Ii qui bellis pernam navant.* Ita demum sentio voluisse quoque Brodæum. TAYLOR. M. τοῖς πολέμοις. AUGER.

Προσλαβεῖν] Περολαβεῖν lego. Et [l. 14.] καὶ τὸν μηδὲ τῶν ὅλων λόγων. Et [l. pen.] πάρεισιν ὑμῶν. Et [l. ult.] μὴ ἀφέλησθε. Et [p. 154. l. 1.] ζῆν οἰκ ἂν προέλοιντο. Et [l. 5.] καὶ μὴ τοῖς ἐχθροῖς αὐτά. Mox [sc. ibid.] γυναικείῳ τὴν ὀργὴν conjunge. Fœminea enim ira est implacabilis. WOLF. Περολαβεῖν similiter emendavit Brodæus. Steph. et Bern. Vulgo προσλαβεῖν. TAYLOR.

Συμφέρουσαν] Miror si *talem* pacem vel optaret παραβῆναι. Cod. Bern. præfert αὐτῷ μὴ συμφέρουσαν. IDEM.

Τὸν τῶν ὅλων] Τὸν μηδὲ τῶν ὅλων, Wolfius. Hæreo autem. Nam in iis, in Oratione sc. Legatus dominatur maxime. Vide omnino §. λς'. fin. Et, si Demosthenes istius munia et officia recte descripsit, ab eo potissimum ratio erat exigenda et ὧν ἔπεισεν, et ὧν ἀπήγγειλεν. Wolfianis igitur Cod. Mead. utique præstat, τὸν τῶν λόγων κύριον, τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι. Quo quidem in casu insinuaverit se ceteris Codd. τὸ ὅλων ex similitudine et vicinitate τοῦ λόγων. Sed alia omnino res est. Lege enim, præeunte aliquatenus Cod. Bern. καὶ τὸν τῶν λόγων μόνον κύριον, τὰς τῶν ἔργων etc. Hic autem porro τὰς τῶν ἔργων εὐθύνας ἀπαιτοῦσι Id. Bern. IDEM. τὸν μηδὲ τῶν μόνων ὅλως. SCALIG.

Εὐθύνας ἀπαιτοῦσι] Sic lego juxta Scalig. etsi alii omnes cod. habeant προσδοκίας. *Ex edit.* BROOK.

νέ. Ἀφέλησθε] Ita quoque Brodæus ex fæce Aldina, et proxime προέλοιντο, pro προσέλοιντο, quemadmodum etiam restituit Stephanus. Deinde, quod hic p. 154. l. 5.

οἳ διαζυγέντες ἐμοῦ, ζῆν οὐκ ἂν προέλοιντο, κηδεσταὶ δὲ, καὶ ταυτὶ μὲν τὰ μικρὰ παιδία, καὶ τοὺς κινδύνους οὕτω 15 συνιέντα, ἐλεεινὰ δ', εἴ τι συμβήσεται ἡμῖν παθεῖν. ὑπὲρ ὧν ἐγὼ δέομαι, καὶ ἱκετεύω, πολλὴν πρόνοιαν ποιήσασθαι, καὶ μὴ τοῖς ἐχθροῖς [1] αὐτὰ, μηδ' ἀνάνδρῳ, καὶ γυναικείῳ ἀνθρώπῳ τὴν ὀργὴν, παραδοῦναι.

νς'. Παρακαλῶ δὲ, καὶ ἱκετεύω, σῶσαί με πρῶτον μὲν τοὺς θεοὺς, δεύτερον δὲ ὑμᾶς τοὺς τῆς ψήφου κυρίους, οἷς ἐγὼ πρὸς ἕκαστον τῶν κατηγορημένων, εἰς μνήμην [2] οὖν τὴν ἐμὴν, ἀπολελόγημαι. καὶ δέομαι σῶσαί με, καὶ μὴ 20 τῷ λογογράφῳ, καὶ Σκύθῃ κακῷ ὄντι παραδοῦναι. ὅσοι μὲν ὑμῶν πατέρες εἰσὶ παίδων, ἢ νεωτέρους ἀδελφοὺς περὶ πολλοῦ ποιεῖσθε, ἀναμνησθέντες, ὅτι τὴν τῆς σωφροσύνης παράκλησιν διὰ τῆς περὶ Τίμαρχον κρίσεως [3] ἀειμνήστως παρακέκληκα· τοὺς δ' ἄλλους ἅπαντας, οἷς ἐμαυτὸν ἄλυ-
305 πον παρέσχημαι, τὴν μὲν τύχην ἰδιώτης ὤν, καὶ τοῖς μετρίοις ὑμῶν ὅμοιος, ἐν δὲ τοῖς πολιτικοῖς ἀγῶσι μόνος τῶν ἄλλων ἐφ' ὑμᾶς οὐ συνεστηκώς, αἰτῶ παρ' ὑμῶν τὴν σω- 25 τηρίαν, μετὰ πάσης εὐνοίας τῇ πόλει πεπρεσβευκώς, καὶ μόνος ὑπομείνας τὸν τῶν συκοφαντῶν θόρυβον, ὃν ἤδη πολλοὶ τῶν τὰς ψυχὰς ἐν τοῖς πολέμοις λαμπρῶν, οὐχ ὑπέστησαν. οὐ γὰρ ὁ θάνατος δεινὸν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά.

νζ'. Πῶς δὲ οὐκ οἰκτρὸν βλέπειν ἐχθροῦ πρόσωπον ἐπεγγελῶντος, καὶ τοῖς ὡσὶ τῶν ὀνειδῶν ἀκοῦσαι; ἀλλ' ὅμως τετόλμηται, δέδοται τὸ σῶμα τῷ κινδύνῳ. παρ' ὑμῖν 30 ἐτράφην, ἐν ταῖς ὑμετέραις διατριβαῖς βεβίωκα, οὐδεὶς

[1] αὐτοὺς [2] οὖν] εἶναι [3] ἀειμνήστως αὐτοὺς παρακέκληκα

τοῖς ἐχθροῖς αὐτοῖ, ill legendum arbitratur αὐτοὺς, παῖδας sc. in v. παιδία, quod non infrequens est. TAYLOR.

νς'. Εἰς μνήμην εἶναι] M. εἰς μνήμην οὖν τὴν ἐμὴν, ἀπολελόγημαι. WOLF. F. εἰς μνήμην γοῦν. MARKLAND. L. εἰς μνήμην [illegible] quantum potui recordari. Ibidem, ita [illegible] : καὶ δέομαι - - - παραδοῦναι, ὅσοι μὲν - - - hoc μὲν exspectare facit alterum phraseos membrum quod cohæreat cum priore ; est quidem δέ, τοὺς δ' ἄλλους, sed incipit nova phrasis quæ non pendet a priori membro. Pro ἀναμνησθέντες deberet legi grammatice ἀναμνησθέντας. Deinde, τοὺς ἄλλους est accusativus pendens et ad nihil referendus, sed hic est affectata et artificiosa verborum perturbatio. AUGER.

Σκύθῃ κακῷ ὄντι] Potius, opinor, fuisset Σκύθῃ συκοφάντῃ, ut p. 155. l. 7. συκοφάντῃ βαρβάρῳ. Vel Σκύθῃ κακοπαθοῦντι. Nam κακῷ ὄντι frigidum videtur. MARKLAND. Abest a Mead. TAYLOR.

Εἰσὶ παῖδων] Vel Bern. vel Scalig. ita : ὅσοι μὲν ὑμῶν πατέρες ὄντες, παῖδας ἢ νεωτέρους ἀδελφοὺς περὶ πλείστου ποιεῖσθε, ἀναμνησθέντας κ. τ. λ. Et deinde αὐ-

ὑμῶν διὰ τὰς ἐμὰς ἡδονὰς κάκιον οἰκεῖ, οὐδὲ ἐστέρηται τῆς πατρίδος, κατηγόρου τυχὼν ἐν τοῖς δήμοις, ὅτ᾽ ἦσαν αἱ διαψηφίσεις, οὐδ᾽ ὑπεύθυνος ὢν ἀρχῆς, [1] ἐκινδύνευσα. μικρὰ δ᾽ εἰπὼν ἤδη καταβαίνω.

νή. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ μὲν μηδὲν ἀδικεῖν ὑμᾶς, κύριος ἦν· τοῦ δὲ μὴ ἔχειν αἰτίαν ἡ τύχη, ἣ
35 συνεκλήρωσέ με ἀνθρώπῳ συκοφάντῃ, βαρβάρῳ, ὃς οὔτε ἱερῶν, οὔτε σπονδῶν, οὔτε τραπέζης φροντίσας, ἀλλὰ τοὺς εἰς τὸν μέλλοντα [2] αὐτῷ χρόνον ἀντεροῦντας ἐκφοβῶν, ἥκει ψευδῆ συντάξας καθ᾽ ἡμῶν κατηγορίαν. ἐὰν οὖν ἐθελήσητε σώζειν τοὺς τῆς εἰρήνης, καὶ τῆς ὑμετέρας ἀδείας συναγωνιστὰς, πολλοὺς βοηθοὺς λήψεται τὸ τῆς πόλεως συμφέρον, καὶ κινδυνεύειν ὑπὲρ ὑμῶν ἑτοίμους.

νθ΄. Παρακαλῶ δὲ Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ 306
40 σωφρόνων ἀνδρῶν συνήγορον, Φωκίωνα δ᾽ ἐκ τῶν στρατηγῶν, ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα πάντων, ἐκ δὲ τῶν φίλων καὶ τῶν ἡλικιωτῶν τῶν ἐμαυτοῦ, Ναυσικλέα, καὶ τοὺς ἄλλους ἅπαντας οἷς τισιν ἐγὼ κέχρημαι, καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων μετέσχηκα. ὁ μὲν οὖν ἐμὸς λόγος εἴρηται· τὸ δὲ σῶμα τοὐμὸν ἤδη παραδίδωσιν ὑμῖν, καὶ ἐγὼ, καὶ ὁ νόμος.

[1] ἐκινδύνευσε

[2] αὐτῷ

τοὺς παρακέκληκα. Idem.

νζ΄. Ἐκινδύνευσα] F. ἐκινδύνευσε. Markland. Recte. Ita Coisl. et Mead. et Brodæus. Taylor. L. ἐκινδύνευσε. Auger.

νθ΄. Ἅμα δὲ καὶ] Quærendum annon hic desit vox νίκαις, vel μάχαις, vel τίμαις. Phocionem νίκαις ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα πάντων. Markland. F. ἐκ τῶν στρατηγικῶν, ἀνδρείᾳ ἅμα δέ. Auger.

Παραδίδωσιν] F. παραδίδομεν, ut vitetur solœcismus. Markland. Γρ. παραδίδωμεν. γρ. παραδίδωσιν ὑμῖν καὶ ὁ νόμος. Scalig. M. παραδίδομεν. Auger.

ΑΙΣΧΙΝΟΥ

Ο ΚΑΤΑ

ΚΤΗΣΙΦΩΝΤΟΣ

ΛΟΓΟΣ.

EX LIBRO

M. TULLII CICERONIS

DE

OPTIMO GENERE ORATORUM.

CUM esset lex Athenis, NE QUIS POPULI SCITUM FACERET UT QUISQUAM CORONA DONARETUR IN MAGISTRATU PRIUSQUAM RATIONES RETULISSET: et altera lex, EOS QUI A POPULO DONARENTUR IN CONCIONE DONARI DEBERE QUI A SENATU IN SENATU: Demosthenes curator muris reficiendis fuit, eosque refecit pecunia sua. de hoc igitur Ctesipho scitum fecit, nullis ab ipso rationibus relatis, ut corona aurea donaretur: eaque donatio fieret in theatro, populo convocato, qui locus non est concionis legitimæ: atque ita prædicaretur, EUM DONARI VIRTUTIS ERGO BENEVOLENTIÆQUE QUAM ERGA POPULUM ATHENIENSEM HABERET. hunc igitur Ctesiphontem in judicium adduxit Æschines, quod contra leges scripsisset, ut et rationibus non relatis corona donaretur; et ut in theatro; et quod de virtute ejus et benevolentia falsa scripsisset, quoniam Demosthenes nec vir bonus esset, nec bene meritus de civitate. Causa ipsa abhorret illa quidem a formula consuetudinis nostræ, sed est magna. habet enim et legum interpretationem satis acutam in utramque partem, et meritorum in rempublicam contentionem sane gravem. itaque causa fuit Æschini, quoniam ipse a Demosthene esset capitis accusatus, quod legationem ementitus esset, ut ulciscendi inimici causa, nomine Ctesiphontis, judicium fieret de factis, famaque Demosthenis. non enim tam multa dixit de rationibus non relatis, quam de eo, quod civis improbus, ut optimus, laudatus esset. hanc mulctam Æschines a Ctesiphonte petiit quadriennio ante Philippi Macedonis mortem: sed judicium factum est aliquot annis post, Alexandro jam Asiam tenente. ad quod judicium concursus dicitur e tota Græcia factus esse. quid enim aut tam visendum, aut audiendum fuit, quam summorum oratorum in gravissima causa, accurata et inimicitiis incensa contentio?

Optime huic conjungetur Plutarchus in Demosthene: Τῶν δὲ Κωμικῶν ὁ μέν τις αὐτὸν καλεῖ ῥαψοπερπερήθραν, ὁ δὲ παρασκώπτων, ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησίν, οὕτως ἀπέλαβεν, ὥσπερ ἔλαβεν. ἠγάπησε γὰρ τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης. ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἁλονήσου λόγον ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαικεν, ἵν' Ἀθηναίοις Δημοσθένης συνεβούλευε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου. Vir sollers et ingeniosus P. Bartonus, Oxoniensis, primus subodoratus est Iambos Antiphanis latere in ista, quæ diutius prosa videbatur Oratio Plutarchi. Athenæus vero pergit: Ἄλεξις δ' ἐν τῷ Στρατιώτῃ,

Ἀπέλαβες. τουτὶ δ' ἔστι τί; ὁ παρ' ὑμῶν ἐγὼ
Παιδάριον ἔλαβον ἀπωρέρων ἔκω πάλιν.
Πῶς οὐκ ἀρέσκει σοι τρέφειν; οὐκ ἔστι γὰρ
Ἡμετερον. οὐδ' ὑμέτερον. ἀλλ' ἔδόκατε
Ὑμεῖς ἐμοὶ τοῦτ'. οὐ δεδώκαμεν. τί δέ;
Ἀπεδώκαμεν τὸ μὴ προσῆκον ἐμοὶ λαβεῖν.

Καὶ ἐν Ἀδελφοῖς,

Ἐγὼ δέδωκα γάρ τι ταύταις, εἰπέ μοι.
Οὐκ, ἀλλ' ἀπέδωκας, ἐνέχυρόν που λαβών.

Ἀναξίλας δὲ ἐν Εὐανθρείᾳ,

Καὶ τὰς παλάθας ἐμοί, μὰ γῆν, μὴ σύγε δῷς
Ἀλλ' ἀποδὸς καὶ δὴ τὰς φέρουσ' ἐξέρχομαι.

Τιμοκλῆς δ' ἐν Ἥρωσι,

Οὐκοῦν κέλευε νῦν τὰ πάντων μᾶλλον ἢ
Τὰ πρέσσοντα φράζειν. Πᾶν γε δράσω τοῦτό σοι.

Καὶ πρῶτα μέν σοι παύσεται Δημοσθένης
Ὀργιζόμενος, ὁποῖος ὁ Βριάρεως,
Ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων
Μισῶν λόγους ἄνθρωπος. οὐδεπώποτε
Ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ' Ἄρη βλέπων.

Add. Ælian. XII. V. H. 53. virosque eruditos ad loc. Eustath. ad Homer. Iliad. A. pag. Edit. Flor. 118. 128. et notas virorum doctorum, iterumque Salvinii ad Iliad. Γ. exeuntem, Leopard. XII. Emend. 6. Οὕτω καὶ ὁ Δημοσθένης κατασκευάσαι βουληθεὶς μὴ δεῖν χάριν ἔχειν Φιλίππῳ, ὑπὲρ ὧν ἔδωκεν, μετέλαβε (Annon. μετέβαλε?) τὸ ἔδωκεν εἰς τὸ ἀποδέδωκεν. Suid. v. Ἐγκράτεια. De hoc *grammatico* bello inter Athenienses et Philippum, utrum *daret* Halonesum Philippus an *redderet*, an beneficii titulo, an juris exigentia, plura in ea Oratione, quæ inscribitur περὶ Ἁλονήσου. Libanius in Argumento istius Orationis, si Libanius est qui scripserit, Demosthenem, περὶ συλλαβῶν διαφερόμενον, ut hic ait Æschines, imitari videtur in eadem causa: Φίλιππος ἀπαιτοῦσι μὲν τοῖς Ἀθηναίοις τὴν νῆσον οὐκ ἀποδίδωσιν ——— αἰτοῦσι δὲ ὑπισχνεῖται δώσειν. TAYLOR.

Ἀριστοδήμου] Forte, Χαριδήμου, S. τοῦ στρατηγοῦ, de quo multa in Aristocratea. Ὁ γὰρ Ἀριστόδημος, ὑποκριτὴς μέν, οὐχὶ δὲ στρατηγός. Nisi forte fuerit alius quispiam hic Aristodemus, quem in Philippicis exagitat: pro quo Aristomedes apud Ulpianum legitur. Et [l. 6.] παρεσκεύασε. WOLF.

ὡς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν [1]Εὐβοῶν καὶ Θηβαίων συμμαχίᾳ. Ἀλλ', ὦ Ἀθηναῖοι, περὶ ταῦτα
35 [2]τρία μέγιστα ἠδίκησθε καὶ μάλιστα ἠγνοήκατε. σπεύδων δ' εἰπεῖν περὶ τῆς [3]θαυμαστῆς συμμαχίας τῆς τῶν Θηβαίων, ἵν' ἐφεξῆς εἴπω, περὶ τῶν [4]Εὐβοῶν πρῶτον μνησθήσομαι. Ὑμεῖς γάρ, ὦ Ἀθηναῖοι, πολλὰ καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ Ταυροσθένους πατρός, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ
40 [5]Ἐρετριῶς, ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο, τούτων ἑκόντες [6]ἐπιλαθόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι, καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πένθ' ἡμέραις ἐβοηθήσατ' αὐτοῖς καὶ ναυσὶ καὶ πεζικῇ δυνάμει, καὶ πρὶν τριάκονθ' ἡμέρας διελθεῖν, ὑποσπόνδους Θηβαίους [7]ἀφήκατε, καὶ κύριοι τῆς Εὐβοίας γενόμενοι 398
τάς τε πόλεις αὐτοῖς καὶ τὰς πολιτείας ἀπέδοτε, ὀρ-
66.1 θῶς καὶ [8]δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι.

λβ'. Καὶ τηλικαῦθ' ὑφ' ὑμῶν εὖ πεπονθότες οἱ [9]Χαλκιδῆς οὐ τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας, ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς
5 μὲν πρώτους χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι,

[1] Εὐβοέων T. R. [2] τρία * τὰ μέγιστα R. [3] μεγίστης T. [4] Εὐβοέων T. R. [5] Ἐρετριέως, ὃς ἡμῶν T. R. [6] ἐπιλανθανόμενοι T. R. [7] ἀφ., κύριοι τ. Ε. γενόμενοι, καὶ τὰς π. αὐτοῖς T. ἀφ., κύριοι τ. Ε. γενόμενοι, καὶ τάς τε π. αὐτὰς R. [8] δικαίως αὐτοῖς παρακαταθεμένοι T. R. [9] Χαλκιδεῖς T. R.

Περὶ] Περὶ τῆς τῶν Εὐβοέων lege. TAYLOR.

Μνησάρχου] Calliam et Taurosthenem fratres, Mnesarchi filios fuisse puto: non Mnesarchum Calliæ filium, Taurosthenis patrem. Etsi quid id nostra refert? WOLF.

Ἀθηναίους εἶναι τολμᾷ γράφειν] Πρῶτον μὲν γὰρ Νόμος ἐστὶ τῷ δήμῳ κείμενος, μὴ ἐξεῖναι ποιήσασθαι Ἀθηναῖον, ὃν ἂν μὴ δι' ἀνδραγαθίαν εἰς τὸν δῆμον τῶν Ἀθηναίων, ἄξιον ᾖ γενέσθαι πολίτην. Demosth. κατὰ Νεαίρας. STOCK.

Ὑποσπόνδους] Aretinus, *victis Thebanis*. Melanchtho, *repressis*. Perionius, *Thebanos fœderatos dimisistis*. WOLF.

Τὰς πόλεις αὐτὰς] [uti Ald.] Lego αὐτοῖς. S. τοῖς Εὐβοεῦσι. Et [p. 203. l. 3.] ὅτε ἀδελφός. IDEM. Γρ. αὐτοῖς, καὶ τὰς πολιτείας ἀπέδοτε, ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις. STEPHANUS. καὶ τὰς πόλεις αὐτῆς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως αὐτοῖς παρακαταθεμένοις. σχ. τοῖς Εὐβοεῦσι δηλονότι. Cod. Bern. TAYLOR. ἀφήκατε· καὶ κύριοι τῆς Εὐβοίας γενόμενοι, τὰς πόλεις αὐτοῖς καὶ τὰς πολιτείας ἀπέδοτε, ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις. Vid. Demosth. de Cor. §. κθ'. τὸ, καταστάντες κύριοι καὶ τῶν σωμάτων, καὶ τῶν πόλεων, ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν ἠδίκησθε, ἐν οἷς ἐπιστεύθητε, ὑπολογισάμενοι. MARKLAND. Post ἀφήκατε punctum pono, et post γενόμενοι virgulam duntaxat; lego deinde ut est in vulgatis καὶ τὰς πόλεις αὐτάς. AUGER.

ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν, καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεύς, ὃν Δημοσθένης [1] μισθαρνῶν ἐνεκωμίαζεν, ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως εἰς τινὰς δυςχωρίας κατακεκλεισμένον, ὅθεν μὴ νικήσασι μάχην οὐκ ἦν ἀναχώρησις [2] οὐδὲ βοηθείας ἐλπὶς οὔτ' ἐκ γῆς οὔτ' ἐκ θαλάττης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον, καὶ παρὰ Φιλίππου δύναμιν προςμεταπεμψάμενος, ὅ τ' ἀδελφὸς [3] αὐτοῦ Ταυροσθένης, ὁ νυνὶ πάντας δεξιούμενος καὶ προςγελῶν, τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ' [4] ὑμᾶς ὡς ἀναιρήσοντες. καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται οἱ ὑμέτεροι καὶ πεζοὶ καὶ [5] ἱππῆς ἄνδρες ἀγαθοὶ ἐγένοντο, καὶ παρὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες [6] ἀφεῖσαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν [7] ἡμῶν ἡ πόλις αἴσχιστα παθεῖν. οὐ γὰρ τὸ δυςτυχῆσαι κατὰ πόλεμον μέγιστόν ἐστι κακόν· ἀλλ' ὅταν τις πρὸς ἀνταγωνιστὰς ἀναξίους ἑαυτοῦ διακινδυνεύων ἀπατύχῃ, διπλασίαν εἰκὸς εἶναι τὴν συμφοράν. Ἀλλ' ὅμως ὑμεῖς τοιαῦτα πεπονθότες πάλιν διελύσασθε πρὸς αὐτούς.

399

λγ'. Τυχὼν δὲ παρ' ὑμῶν συγγνώμης Καλλίας ὁ Χαλκιδεύς, [8] σμικρὸν διαλιπὼν χρόνον πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' [9] αὐτῷ τυραννίδα περιποιούμενος. καὶ ταύτης ἐλπίζων συναγωνιστὴν Φίλιππον

[1] μισθὸν λαβὼν ἐνεχυρίαζεν T. μισθὸν λαβὼν ἐνεκωμίαζεν R. [2] οὔτε T. R. [3] αὐτοῦ T. R. [4] ἡμᾶς T. [5] ἱππεῖς T. R. [6] ἀφίεσαν T. R. [7] ἡμῶν T. R. [8] μικρὸν T. R. [9] αὐτῷ T. R.

λβ'. Ταμύνας — Κοτύλαιον] Harpocr. in utraque voce. TAYLOR.

Ἐνεχυρίαζεν] Ἐνεκωμίαζεν MSS. Steph. et Bern. Simile pene occurrit infra, et quod auctoritatem quandam conferre videatur, §. λδ'. ante med. τόν τε Καλλίαν ὑπερεπῄνει. IDEM. L. ἐνεκωμίαζεν. AUGER.

Προςγελῶν] Priscianus aut in exemplaria incidit inhonesta, aut auctorem nostrum perfunctorie legit, qui ex his verbis talem canonem elicere potuit: Προςγελᾷ με, καὶ Προςγελᾷ μοι. Αἰσχίνης κατὰ Κτησιφῶντος· ἐμὲν Ἀμύντας προςγελῶν τοῖς φωκικοῖς ξένοις. Sed neque Amyntæ nomen, si bene memini, usquam occurrit per totam hanc Orationem. Ut existimaret aliquis potius errasse Priscianum in *titulo* Orationis quam in *loco* describendo. Attamen qui leget hanc paginam, iterari reperiet εἰς Ταμύνας, τὸν ἐν Ταμύναις. Unde literarum similitudine infaustus ille emicuit Ἀμύντας. En quanta incuria describuntur Membranæ! Cujusmodi est Materia ex qua Cruces aliquando edolantur Criticorum filiis! Proxime ἦλθον ἐφ' ὑμᾶς, MSS. fere omnes, Steph. Mead. Coisl. Reg. 2. TAYLOR.

Αὐτῷ] L. αὐτῷ. MARKLAND.

λήψεσθαι, ἀπῆλθεν εἰς Μακεδονίαν, καὶ περιῄει μετὰ Φι-
25 λίππου, καὶ τῶν ἑταίρων εἷς ὠνομάζετο. ἀδικήσας δὲ
Φίλιππον, κἀκεῖθεν ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων Θη-
βαίοις. ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους τραπό-
μενος τροπὰς τοῦ Εὐρίπου, παρ' ὃν ᾤκει, εἰς μέσον
[1]ἐμπίπτει τῆς τε Θηβαίων ἔχθρας καὶ τῆς Φιλίππου.
ἀπορῶν δ' ὅ τι χρήσαιθ' αὑτῷ, καὶ παραγγελλομένης ἐπ'
αὐτὸν ἤδη [2]στρατείας, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτη-
30 ρίας, ἔνορκον λαβεῖν τὸν Ἀθηναίων δῆμον, σύμμαχον ὀνο-
μασθέντα βοηθήσειν, [3]ἐάν τις ἐπ' αὐτὸν ἴῃ, ὃ πρόδηλον ἦν
ἐσόμενον, εἰ μὴ ὑμεῖς [4]κωλύσαιτε. Ταῦτα [5]δὴ διανοηθεὶς
ἀποστέλλει δεῦρο πρέσβεις Γλαυκέτην καὶ Ἐμπέδωνα καὶ
Διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας τῷ [6]μὲν δήμῳ 400
ἐλπίδας κενάς, Δημοσθένει δ' ἀργύριον καὶ τοῖς περὶ αὐ-
τόν. τρία δ' ἦν, ἃ ἅμα ἐζωνεῖτο. πρῶτον μὲν μὴ διασφα-
35 λῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας· οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ
μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος μὴ προσδέξαιτο
τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν [7]αὐτῷ ἢ φεύγειν ἐκ Χαλκί-
δος ἢ [8]τεθνάναι ἐγκαταληφθέντι· τηλικαῦται δυνάμεις ἐπ'
αὐτὸν ἐπεστράτευον, ἥ τε Φιλίππου καὶ [9]ἡ Θηβαίων.
δεύτερον δ' ἦκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν
ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας· τρίτον δ'
40 ὥστε μὴ τελεῖν συντάξεις. Καὶ τούτων τῶν προαιρέσεων
οὐδεμιᾶς ἀπέτυχε Καλλίας, ἀλλ' ὁ μισοτύραννος Δημο-

[1] πίπτει τῆς Θηβαίων T. πίπτει τῆς τε Θ. R. [2] στρατιᾶς T. [3] εἴ τις T. R.
[4] κωλύσετε T. [5] δὲ T. R. [6] μὲν τῷ T. [7] αὐτῷ T. R.
[8] τεθνᾶναι ἐγκαταλειφθέντι T. R. [9] Deest articulus. T.

Λήψεσθαι] Α λαμβάνω, non λείψεσθαι [quæ erat lectio Aldina] a Λείπω. Wolf.

Ἔνορκον —— βοηθήσειν] Ὀμόσαντα ὅτι βοηθήσει. Aretinus: *auxilium ferre jurejurando cogeretur.* Idem.

Εἴ τις ἐπ' αὐτὸν ἴῃ] *Siquis eum invaderet ac lacesseret.* Demosthenes κατὰ Φιλίπ. δ. Ἀλλ' ἐπειδὰν ἐφ' ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε; Rursus, π. Στεφ. Καὶ βοηθήσετε ἂν τις ἐπ' αὐτοὺς ἴῃ. Brodæus.

Κωλύσετε] Κωλύσαιτε. Markland. Ita Bern. Taylor.

Δολιχοδρομήσαντα] Vide Poll. III. 30. Idem. Explicat Potter. Archæol. II. 28. Stock.

Πρῶτον μὲν μὴ διασφαλῆναι] [Negativa enim in Aldo deerat]. Et [l. 16.] εἰ μνησθείς. Et [p. 210. l. 6.] τὰς δὲ συνεδρίας, ut ante μὴ συνεδρεύειν Ἀθήνησι. Wolf. μὴ διασφαλῆναι Bern. similiter. Διασφαλῆναι Brodæus explicat *muniri*, abreptus loci impuritate, ita ut interpretando adjuvare vellet, quod debuisset emendare. Taylor.

Ἐγκαταλειφθέντι] H. Stephanus lectore non admonito, se contra Codd. niti, dedit ἐγκαταληφθέντι. Quod tamen habet Cod. noster Bern. et Ego præfero. Vegetatur Oppositio, ἢ φεύγειν —— ἢ τεθνᾶναι ἐγκαταληφθέντι. *Aut* aufugere *aut* captum *emori.* Aliter Italus. *O fuggirsi da Chalcide, o morire* abbandonato. Solus Lambinus auctoritatem Stephani sequitur. Idem.

σθένης, ὡς αὐτὸς προσποιεῖται, ὃν φησι Κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς πόλεως, ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος, ἀντὶ τούτων εὐφημίας ἕνεκα προσγράψας Χαλκιδέας βοηθεῖν, ἐάν τις ἴῃ ἐπ' Ἀθηναίους· τὰς δὲ [1]συνεδρίας καὶ τὰς συντάξεις, ἐξ 67.1
ὧν ἰσχύσειν ὁ πόλεμος ἤμελλεν, ἄρδην ἀπέδοτο, καλλίστοις ὀνόμασιν αἰσχίστας πράξεις γράφων, καὶ τῷ λόγῳ προσβιβάζων ὑμᾶς, τὰς μὲν βοηθείας ὡς δεῖ τὴν πόλιν πρότερον ποιεῖσθαι τοῖς ἀεὶ δεομένοις τῶν Ἑλλήνων, τὰς δὲ συμμαχίας ὑστέρας ποιεῖσθαι μετὰ τὰς εὐεργεσίας.
401 Ἵνα δ' εὖ εἰδῆτε, ὅτι ἀληθῆ λέγω, [2]λαβέ μοι τὴν Καλλίου γραφὴν καὶ τὴν συμμαχίαν, καὶ ἀνάγνωθι τὸ ψήφισμα. 5

ΨΗΦΙΣΜΑ.

λδ'. Οὔπω τοίνυν τοῦτ' ἐστὶ δεινόν, εἰ οἱ καιροὶ πέπρανται τηλικοῦτοι καὶ συνεδρίαι καὶ συντάξεις, ἀλλὰ πολὺ τούτου δεινότερον [3]ὑμῖν φανήσεται, ὃ μέλλω λέγειν. Εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως καὶ πλεονεξίας, Δημοσθένης δέ, ὃν ἐπαινεῖ Κτησιφῶν, δωροδοκίας, ὥστε τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ 10
Ἐρετρίας, τὰ δέκα τάλαντα, ὁρώντων φρονούντων βλεπόντων ἔλαθον [4]ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων [5]τούτων συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δ' εἰς

[1] πρεεδρίας T. [2] λάβε T. R. [3] ὑμῖν T. R. [4] ὑμᾶν T. R. [5] τούτους T.

βέλτιστα λέγειν] Accuratius, ut mihi videtur, hoc loco scripsisset Æschines βέλτιστα λέγειν καὶ πράττειν. Nam totum hoc de Callia negotium ad Demosthenis πρᾶξιν, magis quam ad λόγον ejus spectat. Sic §. λδ'. fin. MARKLAND.

Συνεδρίας] Πρ. γρ. προεδρίας [ut MSS. quoque quam plurimi] Ἀλλὰ καὶ ἀρτίως εἶπε, μὴ συνεδρεύειν Ἀθήνησι. Καὶ ἐν τοῖς μετὰ ταῦτα, πάντας ἥκειν συνεδρεύοντας Ἀθήναζε. Λέγει δὲ καὶ συνεδρίας, ἔτι δὲ συνέδρους. STEPHANUS. Συνεδρίας. Bern. TAYLOR. F. συνεδρίας, ut l. 17. nuper pag. 209. l. antepen. MARKLAND. Imo συνεδρίας. AUGER.

Ὁ πόλεμος] An ἡ πόλις? MARKLAND.

Γράφων] An ἐπιγράφων? IDEM.

Προσβιβάζων] Γρ. ται προβιβάζων. MSS. Steph. Eamque lectionem amplecti videtur Budæus. Vid. H. Steph. Thes. L. Gr. Tom. I. col. 656. TAYLOR.

Μετὰ τὰς εὐεργεσίας] Exponi possit vel *post collata*, vel *post accepta beneficia*. Verum magnificentius erat, magisque adeo ad indolem accommodatum Atheniensium, gloriæ cupidorum, si cum iis potius societatem inirent, quos ipsi sibi beneficiis prius devinxerant, quam si hanc illis tantum concederent, a quibus beneficia acceperant. *Francis.* STOCK.

Γραφὴν] Ἐπιστολὴν, ἢ γράμμα; οὐχὶ δὲ κατηγορίαν, ὡς ἄλλοτε πολλάκις. WOLF.

λδ'. Τούτους] Forte, τούτων. MARKLAND. AUGER.

Χαλκίδα καὶ τὸ καλούμενον Εὐβοϊκὸν συνέδριον συνήγαγον. ὃν δὲ τρόπον καὶ δι' οἵων κακουργημάτων, ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι. Ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς [1]οὐκέτι δι' ἀγγέλων ἀλλ' αὐτὸς ὁ Καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν λόγους διεξῆλθε κατεσκευασμένους ὑπὸ Δημοσθένους. Εἶπε γὰρ ὡς [2]ἥκοι ἐκ Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ Φίλιππον, καὶ διελογίζετο, ὅσον ἑκάστους ἔδει συντελεῖν, Ἀχαιοὺς μὲν πάντας καὶ Μεγαρέας ἑξήκοντα τάλαντα, τὰς δ' ἐν Εὐβοίᾳ πόλεις ἁπάσας τετταράκοντα· ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν καὶ ναυτικὴν καὶ πεζικὴν δύναμιν· εἶναι δὲ πολλοὺς ἄλλους τῶν Ἑλλήνων, οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως, ὡς οὔτε χρημάτων 402
οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν. καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ πράξεις πράττειν ἑτέρας δι' ἀπορρήτων, καὶ τούτων εἶναί τινας μάρτυρας τῶν [3]ὑμετέρων πολιτῶν, καὶ τελευτῶν ὀνομαστὶ παρεκάλει Δημοσθένην, καὶ συνειπεῖν ἠξίου. Ὁ δὲ σεμνῶς πάνυ παρελθὼν τόν τε Καλλίαν ὑπερεπῄνει, καὶ τὸ ἀπόρρητον προσεποιήσατο εἰδέναι· τὴν δ' εἰς Πελοπόννησον πρεσβείαν, ἣν ἐπρέσβευσε, καὶ τὴν ἐξ Ἀκαρνανίας [4]ἔφη βούλεσθαι [5]ὑμῖν ἀπαγγεῖλαι. ἦν δ' αὐτῷ κεφάλαιον τῶν λόγων, πάντας μὲν Πελοποννησίους ὑπάρχειν, πάντας δ' Ἀκарνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ· εἶναι δὲ τὸ σύν-

[1] οὐκ ἔτι T. R. [2] ἥκει T. ἥκοι R. [3] ἡμετέρων T. R. [4] ἔφη δὴ βούλεσθαι R. [5] ὑμῖν T. R.

Ἐπὶ Φίλιππον] *Ad bellum contra Philippum gerendum.* Brodæus.

Ὡς] Ita Codd. ὥστε exaravit typis suis H. Stephanus. Taylor. M. ὥστε. Auger.

Δι' ἀπορήτων] [Ita Ald.] Scr. δι' ἀπορρήτων. Brodæus. Wolf.

Ἡμετέρων] Forte, ὑμετέρων. Markland.

Κεφάλαιον] *Orationis ejus hæc* summa *erat.* Recte. Sic supra §. κέ. δόγμα —— οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. Ad istum sane locum allusit Suidas, v. Κεφάλαια. Verum videamus primo, quid ille Scriptor in articulo præcedente, sc. κεφάλαιον. Nempe, Ἔνιοι τῶν ῥαδύμως ἐντετυχηκότων τοῖς ὑπὸ τῶν δέκα ῥητόρων γραφεῖσι λόγοις τὸ Κεφάλαιον οἴονται παρειλῆφθαι ἐπὶ πράγματος, καὶ λόγου μόνον —— παρείληπται δὲ καὶ ἐπ' ἀργυρίου. Jam accede ad ea quæ sequuntur. Κεφάλαια παραλαμβάνεται ἐπὶ γράμματος, καὶ λόγου καὶ ἀργυρίου. οὕτως Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ubi tamen juxta mentem Lexicographi, quatenus ex priore articulo ea colligi potest, pro γράμματος legendum est πράγματος. Aliquantum adstipulatur Photii Cod. MS. qui habet ἐπὶ ἐπιγράμματος. Id erat ἐπὶ γράμματος. Sed cum emendare voluerint alii, in alium mendum inciderunt. Sed γράμματος bene stare potest cum textu et mente Æschinis. Taylor.

Συντεταγμένους] *Ad pecunias conferendas ordine descriptos.* Brodæus. Recte vidit Vir doctissimus. Ita etiam alii: *erano*

ταγμα χρημάτων μὲν εἰς ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα καὶ εἰς πεζοὺς στρατιώτας μυρίους καὶ [1]ἱππέας χιλίους· ὑπάρξειν δὲ πρὸς τούτοις [2]καὶ τὰς πολιτικὰς δυνάμεις, ἐκ Πελοποννήσου μὲν [3]πλείους ἢ δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δ' ἑτέρους τοσούτους· δεδόσθαι δ' [4]ὑπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν· πραχθήσεσθαι δὲ [5]ταῦτ' οὐκ εἰς μακράν, ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα τοῦ Ἀνθεστηριῶνος μηνός· εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν [6]ὑφ' αὐτοῦ καὶ παρηγγέλθαι, πάντας ἥκειν συνεδρεύσοντας Ἀθήναζε εἰς τὴν [7]πανσέληνον. Καὶ γὰρ τοῦτ' ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ. οἱ μὲν γὰρ ἄλλοι
403 ἀλαζόνες ὅταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν

[1] ἱππεῖς T. R. [2] Deest καί. T. [3] πλείονας T. R. [4] ἀπὸ T. R.
[5] Deest ταῦτ'. T. [6] ὑπ' αὐτοῦ T. R. [7] σελήνην T. R.

stati descritti da lui a contribuire contro Filippo. Italus. Minus bene Wolfius, cujus interpretationem Tu corriges. TAYLOR.

Χρημάτων] Ita Membranæ præter Bern. nostram. Stephanus rursus silenti pede, χρήματα. IDEM.

Πληρώματα] *Socios navales et propugnatores: remiges et milites classiarios.* Demosth. c. Midiam, εἶτα τὰ πληρώματα ἡ πόλις παρέχει. BRODÆUS.

Πολιτικὰς] *Ex singulis civitatibus.* Infra, §. μς'. χαρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν, χαρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγανίσασθαι. MARKLAND. Πρὸς τούτοις καὶ τὰς πολιτικὰς δυνάμεις Bern. TAYLOR.

Ἐξ Ἀκαρνανίας δὲ ἑτέρους τοσούτους] Aretinus: *ex Peloponneso quidem super duo millia armatorum, ex Acarnania vero alios totidem.* Sic et Meletus. Melanchtho: *ex Acarnania totidem milites.* Perionius: *armatorum ex Acarnania totidem.* Hic ἑτέρους τοσούτους non est δὶς τοσούτους, ut apud Isocratem, loco supra citato [pag. 302. l. 8. ed. T.] WOLF.

Ἀπὸ] Τοῦ §. μβ'. ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας. MARKLAND.

Ἀνθεστηριῶνος] Παρὰ τὸ τοῖς ἄνθεσι στέφεσθαι τὴν γῆν, qui a Choniate, ὁ φυλλορόας μὴν appellatur. Alii per ι in secunda syllaba scribentes, παρὰ τὴν ἑορτὴν τὴν τοῦ Ἀνθεστηρίου, περὶ ὃν παρεμμιγνύμενοί φασιν, Ἔξω κάρης, κἀκτὸς Ἀνθεστήρια. WOLF.

Εἰς τὴν σελήνην] Εἰς πανσέληνον. BRODÆUS. Nescio an emendans, an exponens. Sed in Bern. *adnotatur*, sc. *pro* εἰς πανσέληνον. Volebant Athenienses ut Menses sui ordirentur a Novilunio. TAYLOR. Aretinus: *Omnes convenire debere Athenas in plenilunio.* Melanchtho: *Ut civitates in plenilunio conveniant Athenis.* Perionius: *Ut omnes Athenas conveniant consilii capiundi causa ad XVII. Cal. ejusdem mensis.* Meletus: *Venturos se esse Athenas ad concilium tempore plenilunii.* Τὴν σελήνην paulo post ipse interpretatur τὴν πανσέληνον. Hoc me loco lapsum esse fateor, cum verti, *ad Lunam.* Nam peculiarem hanc et non communem homo ille formulam usurpat. Neque enim Æschines lunam, sed mendacem linguam Demosthenis exagitat. Etsi quid vetat, insolentem locutionem Græcam æque insolenti Latina vertere? præsertim cum ejus sequatur interpretatio. WOLF. εἰς τὴν πανσέληνον, (ut pag. 214. l. 12.) edidit H. Stephanus. TAYLOR. Legendum certe πανσέληνον. quod omisi volens in interpretatione mea. AUGER.

Πανσέληνον] *Plenilunium* semper incidit in diem decimum quintum mensis Attici; quia menses iis erant lunares. Singuli autem mensis tres dies a Lunæ phasibus nomina mutuati sunt: primus νουμηνία vocabatur, XV^tus. ἡ πανσέληνος, ultimus seu trigesimus ἕνη καὶ νέα, luna vetus et nova. *Tourellius.* STOCK.

Καὶ γὰρ τοῦτο] Forte, καὶ γὰρ τοῦθ' ὁ ἄνθρωπος. MARKLAND.

ἐπαρώμενος αὐτῷ, δεύτερον δέ, ἃ εὖ οἶδεν οὐδέποτ' ἐσόμενα,
40 τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπόσ' ἔσται, καὶ ὧν τὰ σώματ'
οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει, κλέπτων τὴν
ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας. διὸ καὶ
μάλιστ' ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς ὢν καὶ τὰ τῶν
χρηστῶν σημεῖα διαφθείρει. Ταῦτα δ' εἰπὼν δίδωσιν
ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ [1] μακρότερον μὲν τῆς
Ἰλιάδος, κενώτερον δὲ τῶν λόγων, οὓς εἴωθε λέγειν, καὶ
τοῦ βίου, ὃν βεβίωκε, μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ
68. 1 στρατοπέδων οὐδέποτε συλλεγησομένων. ἀπαγαγὼν δ'
[2] ὑμᾶς ἀπὸ τοῦ κλέμματος, καὶ ἀνακρεμάσας ἀπὸ τῶν
ἐλπίδων, ἐνταῦθα δὴ συστρέψας γράφει, κελεύων ἑλέσθαι
πρέσβεις εἰς Ἐρέτριαν, οἵτινες δεήσονται τῶν [3] Ἐρετριῶν —
πάνυ γὰρ ἔδει δεηθῆναι [4] αὐτῶν — μηκέτι διδόναι τὴν
5 σύνταξιν ὑμῖν, τὰ πέντε τάλαντα, ἀλλὰ Καλλίᾳ, καὶ πάλιν
ἑτέρους αἱρεῖσθαι εἰς Ὠρεὸν [5] πρὸς τοὺς Ὠρείτας πρέσβεις, οἵτινες [6] δεήσονται καὶ αὐτοί, τὸν αὐτὸν Ἀθηναίοις
φίλον καὶ ἐχθρὸν νομίζειν [7] εἶναι. Ἔπειτ' ἀναφαίνεται,

[1] μακρότερον T. R. [2] ὑμᾶς ἄπωθεν ἀπὸ T. R. [3] Ἐρετριέων T. R. [4] αὐτῶν T. R.
[5] [πρὸς τοὺς Ὠρείτας] R. [6] δεήσονται, αὐτοῖς τὸν T. [7] [εἶναι] R.

Μιμεῖσθαι] [Ita erat in Ald.] Legendum μωμεῖσθαι. BRODÆUS. ἄξιός ἐστι μισεῖσθαι lege. WOLF. Ita restituerunt Bern. Ask. Steph. Γράφε μισεῖσθαι ἢ μωμεῖσθαι, ὡς ἐν ἄλλοις. marg. Exemplaris Aldini in Biblioth. Col. Eman. Cant. TAYLOR.

Καὶ τοῦ βίου] Deest forte aliud Adjectivum, Comparativi gradus, ut κενώτερον. MARKLAND.

Συστρέψας] Vim vocis non assequitur Wolfius. Laudo, neque satis prædicare possum, bellissimam versionem Italicam, *Mettendo in questo tutte le sue forze.* Similiter scribit Xenopho Anab. l. 1. circa finem. Οἱ μὲν Ἕλληνες συστραφέντες παρασκευάζονται ὡς ταύτῃ προσιόντες καὶ δεξόμενοι. Quem locum contra Cl. Hutchinsonum explicare non debuit Spelmannus, in politissima et fideli pariter Interpretatione quam dedit Xenophontis. Demetrius Phalereus §. 8. Ὥσπερ τὰ θηρία συστρέψαντα ἑαυτὰ μάχεται, τοιαύτη τὶς ἂν εἴη συστροφὴ καὶ λόγου, καθάπερ ἐσπειραμένου (vel συσπειραμένου) πρὸς δεινότητα. Cui locum similem adduxit ex Platone Pet. Victorius in *commentario.* Verba illa Demetrii scio aliter laudari in fine, sc. neque ἐσπειραμένου, neque συσπειραμένου, verum συστειλαμένου. Quod licet æque faveat meæ Interpretationi τοῦ συστρέφεσθαι, attamen laudo eam lectionem quæ reperitur in vulgatis. Ita Plutarch. Sympos. ἐν τῷ χειμῶνι συστρεφόμενον καὶ συσπειράμενον διὰ τὸ ῥιγοῦν. Illum morem Feræ se colligentis ad vim vel sustentandam vel inferendam egregie describit Homerus Iliad. M. 41.

Ὡς δ' ὅταν ἔν τε κύνεσσι καὶ ἀνδράσι θηρευτῆσι
Κάπριος ἠὲ λέων στρέφεται, σθένεϊ βλεμεαίνων,
Οἱ δέ τε πυγηδὸν σφέας αὐτοὺς ἀρτύναντες
Ἀντίοι ἵστανται.

Porro. Occurrunt exempla apud nostros Scriptores, Æschinem volo et Demosthenem, ubi συστρέφεσθαι dicitur de *globo* aut *agmine* facto, ad majorem vim aut impetum. In hoc loco, *se totum collegit, summam vafritiem in ea re exseruit* Demosthenes, ut ait adversarius. TAYLOR.

Δεήσονται αὐτοῖς] Deerat [sc. αὐτοῖς] in Steph. αὐτῶν Ask. Quod præstat. IDEM. L. αὐτῶν. AUGER.

Εἶναι] Otiosum sane vocabulum, neque

[1] πρὸς τῷ περὶ ἁπάντων τῶν ἐν τῷ ψηφίσματι κλέμματι, γράψας καὶ τὰ πέντε τάλαντα τοὺς πρέσβεις [2] ἀξιοῦν
404 τοὺς Ὠρείτας μὴ ὑμῖν ἀλλὰ Καλλίᾳ διδόναι. Ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν ἐκ τοῦ ψηφίσματος ἀνάγνωθι, καὶ τοῦ κλέμ- 10
ματος ἅψαι, ὃ ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος, ὃν φησι Κτησιφῶν καὶ ἐν τῷδε τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων.

ΨΗΦΙΣΜΑ.

Οὐκοῦν τὰς μὲν τριήρεις καὶ τὴν πεζὴν [3] στρατιὰν καὶ τὴν πανσέληνον καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε, τὰς δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ ἀπωλέσατε.

λέ. Ὑπόλοιπον δέ μοί ἐστιν εἰπεῖν, ὅτι λαβὼν τρία 15

[1] περὶ ἁ. ἐπὶ τῷ ψ. πρὸς τῷ κλέμματι γράψας, T. R. [2] ἀξιῶν T. R.
[3] στρατείαν T.

desiderari vides: *eundem hostem et amicum judicare, perinde uti Atheniënses.* Dele ergo, nam enatum est ex fine præcedentis, τοῦ, νομίζειν. TAYLOR.

Ἔπειτα ἀναφαίνεται] Aretinus et hanc et plures clausulas omisit. Melanchtho: *cetera in decreto recitantur: ascribit etiam de furto, ut Oritæ quinque talenta non tolis, sed Calliæ penderent.* Perionius: *Deinde eum apparet in decreto ad furtum addidisse, ut legati peterent ab Oritanis,* etc. Meletus: *deinde vero post has insidias orationis, rursus decernit.* Τὸ, περὶ ἁπάντων nemo horum expressit: pro quo, etsi περιαγαγὼν, ἢ προαπαντῶν, ἢ προαπατῶν legas, non satis placet. Mox, [l. 2.] τοὺς πρέσβεις ἀξιοῦν. Cohærent enim γράψας ἀξιοῦν, id est, ὅπως ἀξιῶσιν οἱ πρέσβεις. WOLF. *Poscia egli mostra havere scritto ogni cosa nel decreto per ingannare.* Etruscus. *Deinde videtur ad hac omina in decreto peculatus causa adjecisse.* Anon. Venetus. Hi quidem expresserunt τὸ, περὶ ἁπάντων, sed nihil promovemus. TAYLOR.

Περὶ ἁπάντων ἐπὶ τῷ ψηφίσματι] Depravata hæc esse opinor. MARKLAND. Ἐν τῷ ψηφίσματι, MSS. Steph. et Ask. et Plin. IX. Epist. 26. ubi locum hunc laudat. TAYLOR. Interpretatus sum quasi legeretur, ἐν τῷ ψηφίσματι ὑπὲρ τοῦ κλέμματος γράψας. καὶ subsequens non significat *et*, sed *etiam*. AUGER.

Πρὸς τῷ κλέμματι γράψας] Ἤγουν, προσγράψας τῷ κλέμματι. Marg. Eman. TAYLOR.

Πρὸς τῷ κλέμματι] Hanc clausulam depravatam, indeque obscuram factam esse arbitratur Marklandus. Non sensit hoc loco vir doctiss. inusitatam significationem præpositionis Πρὸς. Πρὸς τῷ κλέμματι est *furto deditus, in peculatum effusus:* ut liquet conferenti perquam huic similem sententiam in oratione Demosthenica de fals. leg. §. λθ'. fin. ἀλλ' οὕτως ἔκφρων ἦν, καὶ ὅλως πρὸς τῷ λήμματι καὶ τῷ δωροδοκήματι, ὥστε πάντα τὰ ἄλλα ἀνελὼν καὶ παριδὼν ᾤχετο: *ita penitus erat quæstui et largitioni deditus,* etc. STOCK.

Ἀξιῶν] Sincera Lectio, ἀξιοῦν. BRODÆUS. Ita Steph. et Bern. TAYLOR.

Ἐκ] Abest §. πζ'. ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος. MARKLAND.

Τοῦ κλέμματος ἅψαι] *Istud membrum decreti attinge, ubi continetur fraus et impostura hominis, cæteris omissis.* Particulam scil. ex psephismate excerpi, non totum continuo recitari jubet. *Taylor.* ad orat. Dem. de fals. leg. [§. ιδ'.] STOCK.

Στρατείαν] Στρατιὰν (Vid. ad §. μγ'. fin.) excudi fecit Stephanus. TAYLOR.

τάλαντα μισθὸν τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δ' ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δ' ἐξ Ὠρεοῦ· διὸ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν, καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. [1]Ἐξαναλωμένοι γὰρ ἐν τῷ πρὸς Φίλιππον πολέμῳ, καὶ
20 παντελῶς ἀπόρως διακείμενοι, πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον τὸν Χαριγένους υἱόν, τοῦ δυναστεύσαντός ποτ' ἐν Ὠρεῷ, δεησόμενον [2]αὔτου, τὸ μὲν τάλαντον ἀφιέναι τῇ πόλει, ἐπαγγελλόμενον δ' αὐτῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν Ὠρεῷ. ὁ δ' ἀπεκρίνατο τῷ Γνωσιδήμῳ, ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο, τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου [3]εἰςέπραττεν. ἀναγκαζόμενοι δ' οἱ Ὠρεῖται καὶ
25 οὐκ εὐποροῦντες ὑπέθεσαν [4]αὔτῳ τοῦ ταλάντου τὰς δημο- 405
σίας προςόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν. καὶ ταῦτ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. Ὅτι δ' [5]ἀληθῆ λέγω, [6]λαβέ μοι τὸ ψήφισμα τῶν Ὠρειτῶν.

[1] ἐξαναλωμένοι T. R. [2] αὐτοῦ T. R. [3] εἰσπράττειν T. R. [4] αὐτῷ T. R. [5] τάληθῆ T. [6] λάβε T. R.

λέ. Διὸ] Malim δι' οὗ. Wolf. F. δι' οὗ, scil. ταλάντου. Markland.

Δημοκρατουμένων τῶν Ὠρειτῶν] *Cum populari republica Oritæ regerentur.* Wolfius. Incaute. Non enim *semper* ea forma imperii utebantur. Quod tamen sequeretur eam interpretationem Wolfii, ceterorumque. Ecce enim Charigenes non ita pridem (nam ejus filius Gnosidemus cum Æschine et Demosthene vixit,) summum in ea civitate imperium tenuit, ut discimus ex tertia abhinc linea. Verte igitur, *cum tandem populari Rep.* regi cœperint. ὅταν ἐδημοκρατοῦντο. Taylor.

Ἐλαχίστου χαλκοῦ] Videtur alludere ad nomisma vilissimum, qui χαλκοῦς dicitur: quasi dicat, οὐκ ἂν ἀντικαταλλάξαιμι χαλκοῦ τάλαντον. Wolf. Non ad Nomisma, mi homo. Cui quid cum Statua commune? Ad Metallum, quod erat vile et tenue, ad Æs, alludit potius. Et meminerit lector ἐλάχιστον non semper de *magnitudine*, verum aliquando etiam de *pretio* et *valore* dici posse: ut hic, et pariter apud Aristophanis σχ. scil. Ἐδόκει τὸ τῶν Βυζαντίων νόμισμα ἐλάχιστον εἶναι πάντων καὶ φαυλότατον, ἅτε σιδηροῦν ὑπάρχον. Nub. 248. Nam qui *ferreis* utuntur nummis, non in *minutissimas* laminas secare solent. Taylor.

Εἰσπράττειν] S. δέοιτο. Wolf. Scil. αὐτὸν ἐθέλειν εἰσπράττειν. Alioqui legendum foret εἰσπράξειν. Markland. Γρ.ται εἰσέπραττεν. MSS. Steph. γρ. εἰσέπραττε et εἰσέπραξε. Cod. Bern. Taylor. Malim εἰσπράξειν, subaudiendo ἑαυτόν. Auger.

Δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς] *Menstruam drachmam in singulas minas.* τῆς μνᾶς, ἀντὶ τοῦ, ἐφ' ἑκάστῃ μνᾶς. Brodæus. Centesimis ergo usuris duxit fœnus. Mina enim 100 drachmas continet. Wolf. Nos dicimus 12 *per cent. per ann.* Stock.

Κεφάλαιον] Jam alia, et diversa ab ea quam explicavi ad §. λδ'. med. occurrit notio τοῦ, Κεφάλαιον, et hæc verba Æschinis eapropter a Suida recitantur in articulo Κεφάλαιον. Taylor.

Ὅτι τάληθῆ λέγω] [Aldus] ὅτι δ' ἀληθῆ λέγω. Wolf.

ΨΗΦΙΣΜΑ.

Τοῦτ' ἐστὶ τὸ ψήφισμα, ὦ Ἀθηναῖοι, αἰσχύνη μὲν τῆς πόλεως, ἔλεγχος δ' οὐ [1]σμικρὸς τῶν Δημοσθένους πολιτευμάτων, φανερὰ δὲ κατηγορία Κτησιφῶντος. τὸν γὰρ 30 οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν ἄνδρα γεγονέναι ἀγαθόν, ὃ τετόλμηκεν οὗτος γράψαι ἐν τῷ ψηφίσματι.

λς'. Ἐνταῦθ' ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων [2]πικρώτατος χρόνος, ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις, ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας. 35 Ἄρξομαι δ' ἀπὸ τῶν εἰς τοὺς θεοὺς [3]αὐτου πλημμελημάτων λέγειν. Ἔστι γάρ, ὦ Ἀθηναῖοι, τὸ Κιρρᾶιον [4]ὠνομασμένον πεδίον καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. Ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιρρᾶιοι καὶ [5]Κραυαλλίδαι, γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ [6]περὶ τὰ ἀναθήματα ἠσέβουν, ἐζημάρτανον δὲ καὶ εἰς τοὺς Ἀμφικτύονας. Ἀγανακτήσαντες δ' ἐπὶ τοῖς [7]γιγνομένοις μάλιστα μέν, ὡς λέγονται, 40 οἱ πρόγονοι οἱ ὑμέτεροι, ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύονες,
406 μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ, τίνι χρὴ τιμωρίᾳ

[1] μικρὸς T. R. [2] πικρότατος T. R. [3] αὐτοῦ T. R. [4] ἀνομασμένον R. [5] Ἀκραγαλλίδαι T. R. [6] Deest περί. T. [7] γενομένοις T. R.

Οὗτος] S. ὁ Κτησιφῶν. IDEM.

λς'. Κιρρᾶιον] Κιρρᾶιον πεδίον Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Κίρρα πόλις ἐστὶν ἀπέχουσα Δελφῶν σταδίους τριάκοντα. ἔοικεν οὖν Κιρρᾶιον πεδίον καλεῖν ὁ ῥήτωρ τὸ ταύτῃ παρακείμενον τῇ πόλει. Harpocr. in v. Suid. in Κίρρα. Contendit Vir doctissimus I. Meursius II. Attic. Lect. 2. vocem numeralem, τριάκοντα, esse minus sinceram, et pro 30 reducit 80. Plura ibidem habet de Cirrha urbe consulenda. TAYLOR.

Ἐξάγιστος ——— ἐπάρατος] Aretinus: *nefastus et exsecratus.* Melanchtho: *pollutus et exsecratus.* Perionius: *scelestus et maledictus.* WOLF. Addam etiam et nostros. Venetus: *detestabilis et exsecrandus.* Ferrus: *iscommunicato et maledetto.* Vid. Harpocr. Suid. v. Ἐξάγιστος, et Etymol. M. 346. 36. TAYLOR.

Κιρρᾶιοι] Cirrha oppidum Phocidis ad Parnassi radices, ubi cultus fuit Apollo. WOLF.

Ἀκραγαλλίδαι] Fortassis hi reliquiæ fuerunt excercitus Brenni, et in editis locis consederunt. IDEM. Ingeniose satis. Verum nomen istud gentile male describitur in Æschinis Exemplaribus. Harpocratio: Κραυαλλίδαι. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Δίδυμός φησι δεῖν γράφεσθαι (in Æschinis loco, præ manibus) Κραυγαλλίδαι. οὕτω γὰρ λέγεσθαι τὴν ἐν Φωκεῦσι πλησίον Κίρρας χώραν Κραυγάλλιον, ὡς καὶ Ξεναγόρας ἐν τετάρτῳ χρόνων ἱστορεῖ. Vides, mi lector, utcunque exaretur, sive Κραυαλλίδαι, uti repperit Harpocratio, sive Κραυγαλλίδαι, ut correxit Didymus, nullam omnino lectionem favere Etymo isti Wolfiano. Vide Valesium ad istum locum Harpocrationis. TAYLOR.

Τοὺς Ἀμφικτύονας] Omnia quæcunque ad celeberrimum hoc Concilium pertinent, cura fideque optima congessit, ac Vitæ Philippicæ præmisit Lelandus. STOCK.

Ἔπειτα] Forte, ἔπειτα δὲ καὶ οἱ ἄλλοι. MARTLAND.

Τίνι χρὴ τιμωρίᾳ] WOLF. Aldi corrigens

τοὺς ἀνθρώπους τούτους μετελθεῖν. καὶ [1] αὐτοις ἀναιρεῖ ἡ Πυθία, πολεμεῖν Κιρραίοις καὶ [2] Κραυαλλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας καὶ αὐτοὺς ἀνδραποδισαμένους ἀναθεῖναι τῷ
69.1 Ἀπόλλωνι τῷ Πυθίῳ καὶ τῇ Ἀρτέμιδι καὶ Λητοῖ καὶ Ἀθηνᾷ Προνοίᾳ ἐπὶ πάσῃ ἀεργίᾳ, καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι μήτ' ἄλλον ἐᾶν. Λαβόντες δὲ τὸν χρησμὸν οἱ Ἀμφικτύονες ἐψηφίσαντο, Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ καὶ
5 περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότος, ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν μαντείαν τοῦ θεοῦ. καὶ συναθροίσαντες δύναμιν ἱκανὴν ἐκ τῶν Ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους, καὶ τοὺς λιμένας ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν, καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρόν, μήτ' αὐτοὶ τὴν ἱερὰν γῆν [3] ἐργάσεσθαι
10 μήτ' ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει. καὶ οὐκ

[1] αὐτοῖς T. R. [2] Ἀκραγαλλίδαις T. R. [3] ἐργάσασθαι T.

σφάλμα typographicum. TAYLOR.

Ἀθηνᾷ Προνοίᾳ] Pausanias in Phocicis Ἀθηνᾶν Πρόνοον recenset, quasi quæ sit in vestibulo ædis dedicata, quod fortasse rectius est, quam *Providentiæ* vel *Providæ*. WOLF. Egi de ea re copiosius, infra ad Orat. I. c. Aristogit. §. ή. fin. TAYLOR.

Ἀεργίᾳ] *Ut Deo sacer atque incultus permaneret hic ager.* BRODÆUS. *Ut scilicet neque compascuus esset hic ager, nec coleretur, neque cœdificaretur.* WOLF.

Ἐναγεῖς] Occurrit etiam §. λή. med. et fin. §. λθ'. et §. μά. Vide Harpocr. in Ἀναγεῖς. Suid. etiam ibid. et in Ἐναγεῖς διὰ τ. ε. TAYLOR.

Καὶ συναθροίσαντες κ. τ. λ.] In hac Expeditione narranda dissentiunt Strabo et Pausanias. Ille enim lib. 9. hujus expeditionis ducem facit Eurylochum Thessalum: Pausanias vero in Phocicis Clisthenem Sicyoniorum tyrannum cum Solone Atheniensi, nulla Eurylochi facta mentione. Polyænus vero Stratagem. l. 6. Eurylocho tribuit stratagema, quod ab aliis Soloni tribuitur, hellebori scil. mixturam aquæ, qua utebantur obsessi. Sic variant in rebus tam antiquis auctorum testimonia. PALMER. Conjungo Plutarchum in vita Solonis. Ἐθαυμάσθη δὲ [Σόλων] καὶ διεβόηθη μᾶλλον ἐν τοῖς Ἕλλησιν, εἰπὼν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς, ὡς χρὴ βοηθεῖν, καὶ μὴ περιορᾶν Κιρραίους ὑβρίζοντας εἰς τὸ μαντεῖον, ἀλλὰ προσαμύνειν ὑπὲρ τοῦ Θεοῦ Δελφοῖς. πεισθέντες γὰρ ὑπ' ἐκείνου πρὸς τὸν πόλεμον ὥρμησαν οἱ Ἀμφικτύονες, ὡς ἄλλοι τε μαρτυροῦσι, καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Πυθιονίκων ἀναγραφῇ, Σόλωνι τὴν γνώμην ἀνατιθείς. οὐ μέντοι στρατηγὸς ἐπὶ τοῦτον ἀπεδείχθη τὸν πόλεμον, ὡς λέγειν φησὶν Ἔμπιπρος Εὐάνθη τὸν Σάμιον. οὔτε γὰρ Αἰσχίνης ὁ ῥήτωρ τοῦτ' εἴρηκεν, ἓν τε τοῖς τῶν Δελφῶν ὑπομνήμασιν Ἀλκμαίων, οὐ Σόλων, Ἀθηναίων στρατηγὸς ἀναγέγραπται. TAYLOR.

Ἐξηνδραποδίσαντο] Vide hac de re πρεσβευτικὸν Thessali filii, in Hippocratis operibus Græcis, Frobenianæ Editionis, folio 537. ubi excidium Crisæorum, aqua infecta, eleganter describitur. WOLF.

Τοὺς λιμένας] Forte, τὸν λιμένα. Vid. p. 216. l. 14. §. λζ'. init. λή. med. λθ'. med. MARKLAND.

Τὴν χώραν αὐτῶν] Abesse potuit αὐτῶν, vel scribi αὐτήν. IDEM.

Καὶ χειρὶ, καὶ ποδὶ] Vid. Victor. XIV. Var. Lect. 19. TAYLOR. καὶ ποδὶ, καὶ φωνῇ infra §. λή. et π. Παραπρεσβ. p. 280. l. 1. ed. T. MARKLAND.

ἀπέχρησεν [1] αὐτοις τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ· εἴ τις τάδε φησὶ παραβαίνοι, ἢ πόλις ἢ ἰδιώτης ἢ ἔθνος, ἐναγής φησιν ἔστω τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος
407 καὶ Λητοῦς καὶ Ἀθηνᾶς Προνοίας· καὶ ἐπεύχεται [1] αὐτοις [2] μήτε γῆν καρπουὺς φέρειν, μήτε γυναῖκας τέκνα 15 τίκτειν γονεῦσιν ἐοικότα ἀλλὰ τέρατα, μήτε βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἤτταν δ' αὐτοῖς εἶναι πολέμου καὶ δικῶν καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς καὶ οἰκίας καὶ γένος τὸ ἐκείνων· καὶ μήποτέ φησιν ὁσίως [3] θύσειαν τῷ Ἀπόλλωνι μηδὲ τῇ Ἀρτέμιδι μηδὲ τῇ Λητοῖ μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο [4] αὐτων τὰ ἱερά. Ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν. Ἀκούσατε τῆς ἀρᾶς, 20 ἀναμνήσθητε τῶν ὅρκων, οὓς [5] ὑμων οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν.

ΜΑΝΤΕΙΑ.

Οὐ πρὶν τῆδε πόληος ἐρείψετε πύργον ἑλόντες,

[1] αὐτοῖς T. R. [2] μηδὲ T. [3] θύσαιεν T. R. [4] αὐτοῖς T. R. [5] ὑμῶν T. R.

Μόνον] Vid. H. Steph. de Dialect. Attic. pag. 105. Taylor.

Προστροπὴν] Hinc fit προστροπαῖος. Melanchtho: *addiderunt religionem et imprecationem.* Perionius: *sed diris etiam devoverunt, exsecratique sunt eum qui contra faceret.* Meletus: *sed pro his etiam se insuper devoverunt, ac diris imprecationibus obstrinxerunt.* Wolf. Προστρόπαιον, ἄγος, μίασμα. οὕτως Αἰσχίνης. καὶ Προστροπὴ δὲ λέγεται. ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. Suidas. Plenius Harpocratio: Προστρόπαιον Αἰσχίνης ἐν τῷ περὶ τῆς Παραπρεσβείας. Ἐάσατε οὖν αὐτὸν τὸ τοιοῦτον προστρόπαιον, [Vide not. ad §. μθ'. fin.] ἀντὶ τοῦ ἄγος καὶ τὸ μίασμα. Καὶ Προστροπὴ δὲ παρὰ τοῦτο λέγεται. ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. Inedita Glossa Photii insignis est. Προστρόπαιον. Δαίμων ἐπὶ τῶν ἐναγῶν· ἐπεὶ οἱ μετὰ τὸ σταθῆναι ἤδη τὸ τρόπαιον οἱ ἀναιρεῦντες τινὰ τῶν πολεμίων, προστροπὶ καὶ ἐναγεῖς εἰσὶν, προστρόπαιον παρακαλῶν. Quod Etymon non laudo, licet Glossam istam adducam. Taylor.

Τέκνα τίκτειν κ. τ. λ.] Ex Hesiodo sumptum. Wolf.

Καὶ ἀγορῶν] Ἐκκλησιῶν καὶ βουλευτηρίων ut opinor, potius quam ἐμπορίων. Idem.

Αὐτοῖς] Castiga αὐτούς. Brodæus. Pro αὐτῶν, usitata Græcis ἀντιπτώσει. Wolf. L. αὐτῶν, ut §. λή. fin. Markland. Ita MSS. Regg. Paris. 1. et 2. Taylor. M. αὐτῶν. Auger.

Οὐ πρὶν κ. τ. λ.] Occurrit etiam hoc Oraculum apud Pausan. in Phocicis, cap. 37. qui multa ibi complectitur ad hanc Historiam cognoscendam utilia. Vide autem quo pacto ab isto Scriptore citetur:

Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,
Πρὶν καὶ ἐμῷ τεμένει κυανώπιδος Ἀμφιτρίτης
Κῦμα ποτικλύζῃ, κελαδοῦν ἐπὶ οἶνοπα πόντον.

Hic etiam πρίν κεν ἐμῷ τεμένει MS. Steph. Taylor.

[1] Πρίν κεν ἐμῷ τεμένει κυανώπιδος Ἀμφιτρίτης
25 Κῦμα [2] ποτικλύζῃ, κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.

ΟΡΚΟΙ. ΑΡΑ.

λζ'. Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ [3] Ἀμφισσῆς, μᾶλλον δ' οἱ προεστηκότες αὐτῶν ἄνδρες παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν,
30 καὶ τέλη τοὺς [4] καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς [5] Πυλαγορῶν ἐνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης. Χειροτονηθεὶς γὰρ ὑφ' ὑμῶν Πυλαγόρας λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων 408
ὑπὲρ τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι. διωμολογήθη δ' αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου
35 μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧ τε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθηνῆσι κατὰ πάντα τρόπον. ὅθεν [6] ἔτι μᾶλλον ἢ πρότερον συμβέβηκεν [7] αὐτῷ, ὅτου ἂν προσάψηται ἀνδρὸς [8] ἢ ἰδιώτου ἢ δυνάστου ἢ πό-

[1] Πρίν γε θεοῦ τεμένη T. R. [2] ποτικλύζει T. [3] Ἀμφισσεῖς T. R.
[4] παραπλέοντας T. [5] Πυλαγόραν T. [6] Deest ἔτι. T. [7] αὐτῷ T. R.
[8] Deest ἤ. T.

Κέλαδον] [ut Ald.] κελαδοῦν lego a Κελαδέω. His versibus demum *subjiciendum* [nam in Ald. præcedebant] ΟΡΚΟΙ. ΑΡΑ. Sententia autem oraculi est, eum agrum Apollini consecrandum, qui ager maritimus cum esset, et Deo dicatus: post consecrationem, mare utique lucum Apollinis alluebat, invidi scil. dæmonis, qui instar canis in præsepi jacentis, nec ipse illo frueretur, nec alios frui sineret. WOLF.

Ἱεραῖσιν ἐπ' ἀκταῖς] Agrum Cirrhæum alluentibus. BRODÆUS.

λζ'. Λοκροὶ οἱ Ἀμφισσεῖς] Inter varios Locros, quos recenset Mattius I. Opin. 10. non occurrunt Amphissenses. Pertinebant hi ad Locros Ozolas, quorum Metropolis erat Amphissa. Vid. Steph. Byzant. Ita Philippus in Epistola apud Demosth. de Coron. §. νά. Λοκροὶ οἱ καλούμενοι Ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ. TAYLOR.

Καὶ τέλη τοὺς παραπλέοντας ἐξέλεγον] *Portoria ab adnavigantibus exigebant.* Anonymus. *Riscuotevano le gabelle da i passaggieri naviganti.* Ferrus. Wolfius prætermisit. IDEM.

Πυλαγόραν] Quasi esset a Πυλάγορος. Nam Πυλαγόρας, Πυλαγορῶν facit. Paulo post [§. λή.] Πυλαγόρους ὑμεῖς εἵλεσθε. WOLF. Credo cum *hoc* modo exaretur, uti §. λή. §. λθ'. etc. male exarari. Nam ab antiquis Lexicographis, Πυλαγόραι solummodo nominantur: quorum fuisset admonere, si *utroque* modo scribere liceret. TAYLOR.

Ὑφ' ὑμῶν] [Alii ἡμῶν] Et [l. antepen.] τοῖς Ἀμφισσεῦσιν. Et [l. pen.] συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἀνδρὸς ἰδιώτου ἢ δυνάστου. WOLF. Quæ incorrecte impresserat Aldus. TAYLOR.

Χιλίας] Forte, δισχιλίας. Vide seqq. MARKLAND.

Ποιήσασθαι] F. ποιήσεσθαι. IDEM.

Ἀμφισσεῦσιν] [ut Ald.] Lege, Ἀμφισσεῦσιν. BRODÆUS. et Bern. TAYLOR.

λεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν.

λή. Σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, [1] ὅσῳ περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας. Ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, [2] Πυλαγόρας ὑμεῖς εἵλεσθε Μειδίαν τ' ἐκεῖνον τὸν Ἀναγυρράσιον, ὃν [3] ἠβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν Λέσβιον, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. Συνέβη δ' ἡμῖν ἀρτίως μὲν ἐς Δελφοὺς ἀφῖχθαι, παραγρῆμα δὲ τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο συνεπεπτώκει καὶ τῷ Μειδίᾳ. οἱ δ' ἄλλοι συνεκάθηντο Ἀμφικτύονες. Ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ 70.1
[4] Ἀμφισσῆς, ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες

[1] ὡς T. [2] Πυλαγόρους T. [3] ἐβουλόμην T. R. [4] Ἀμφισσεῖς T. R.

λή. Ἀσεβείας] Forte, τῇ τῶν Ἀμφισσέων ἀσεβείᾳ. Aretinus: *Considerabitis enim sive dæmonium sive fortunam, quæ ex impietate Locrorum effluxit.* Melanchtho: *Considerate autem quas pœnas Deo Amphissenses pro impietate dederint.* Perionius: *Attendite igitur quæ calamitas et fortuna Amphisseorum scelus impietatemque oppresserit.* Meletus pro ὃς περιεγένετο, legisse videtur ὡς, et genitivum retinuit. *Considerate igitur ut vicerit Amphissanorum impietatem divinum numen et fortuna.* Wolf. Recte omnino Meletus, quicunque fuerit. Recte Lambinus. Recte etiam Etrusca Versio: *Hora state a vedere, come la sorte e la fortuna potette piu, che l' impietà de gli Anfissei.* Hominem Græcanicum, Wolfium, in ea literatura enutritum et excreitatissimum, fugit suus Hellenismus, qui ita vertere potuerit, *fortunam, quæ Amphissensium impietatem secuta est.* Perperam etiam ille Anonymus, *fortuna, quæ evaserit ex impietate Amphiseorum.* ὃς περιγίνεται habuit Aldus, ὅ Cod. Coisl. Stephanus vero et Bern. uti Ego exhibui. Taylor. P. ὡς περιεγένοντο. Auger.

Ἱερομνήμονος] Libanius, Ἱερομνήμων δὲ ἐλέγετο ὁ πεμπόμενος σύνεδρος εἰς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως. Aristophanis enarrator, τοὺς Πυλαγόρας, καὶ τὸν ἱερομνήμονα, καὶ εἰσὶν οὗν ἱερεῖς γραμματεῖς· μνήμονας γὰρ τούτους ἐκάλουν. Diodor. l. 15. οἱ μὲν ἱερομνήμονες ἐν Ἀμφικτύσι, κατηγορούν-

των Φωκέων —— Brodæus.

Ἐκεῖνον] *Nobilem illum civem.* Idem. Dubito. Taylor.

Λέσβιον] Quid est, quod latet sub voce Λέσβιον? aliquis δημότης, opinor, ut Ἀναφλύστιος et Ἀναγυράσιος. Vid. Demosth. de Cor. §. κγ'. Ep. Phil. Markland. Vid. not. F. A. Wolfii, p. 421. vol. II. Dem.

Τοῦτον] [Ald. ita] μετὰ τούτων. Brodæus. Wolf. Markland.

Ἱερομνήμονα] Suidas: Ἱερομνήμονες, οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν, ἢ, οἱ εἰς Πυλαίαν ἐκπεμπόμενοι γραμματεῖς. Ex hoc autem Æschinis loco apparet, Athenienses unum ἱερομνήμονα, tres Πυλαγόρους misisse. Dicitur autem ἱερομνήμων παρὰ τὴν μνήμην τῶν ἱερῶν, fortasse quod acta sacra in literas retulit. Aretinus: *Diognetum sacratorem.* Melanchtho: *scriba Diogneto.* Meletus: *sacrorum præfectus, Diognetus.* Wolf. Erudite de his rebus tractant Cel. Prideauxius nostras ad Marmora Arundelliana, et Antonius Van Dale de Concilio Amphictyonico. Commode hic applicari potest Inscriptio Vetus, quam ex Cyriaci Anconitani et Apiani schedis produxerunt Gruterus CCXXIX. 15. et MXXI. 7. Reinesius I. 241. Idem Van Dale l. c. et Muratorius DXX. 3. novissime autem omnium et emendatissime Cel. Gorius in Symbolis Literariis:

ΘΕΟΙΣ
ΕΠΙ ΑΡΙΣΤΑΓΟΡΑ ΑΡΧΟΝΤΟΣ ΕΝ ΔΕΛΦΟΙΣ
ΠΥΛΑΙΑΣ ΗΡΙΝΗΣ ΙΕΡΟΜΝΗΜΟΝΟΣ ΤΩΝ ΑΙΤΩΛΩΝ
ΠΟΛΕΜΑΡΧΟΥ ΛΑΕΞΑΜΕΝΟΥ ΔΑΜΩΝΟΣ.

τοὺς Θηβαίους, εἰσέφερον δόγμα κατὰ τῆς [1] ἡμετέρας πόλεως, πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τῶν Ἀθηναίων, ὅτι τὰς χρυσᾶς ἀσπίδας ἀνέθεμεν πρὸς τὸν 409
καινὸν νεὼν πρὶν [2] ἐξαράσασθαι, καὶ ἐπεγράψαμεν τὸ
5 προσῆκον ἐπίγραμμα, Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο.
[3] Μεταπεμψάμενος δ' ἐμὲ ὁ ἱερομνήμων ἡξίου εἰσελθεῖν εἰς τὸ συνέδριον, καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν οὕτω προῃρημένον. Ἀρχομένου δέ
10 μου λέγειν, καὶ προθυμότερόν πως εἰσεληλυθότος εἰς τὸ συνέδριον, τῶν ἄλλων [4] Πυλαγορῶν μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος καί, ὡς ἐμοὶ ἐφαίνετο, οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου, ἀρχὴν δέ γ' ἔφη, ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ' ἂν [5] ὠνομάζετε τοὔνομα τοῦ δήμου τῶν Ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέραις, ἀλλ' ὡς ἐναγεῖς [6] ἐξείργετ' ἂν ἐκ τοῦ ἱεροῦ. ἅμα δ' ἐμέμνητο
15 τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ Κρώβυλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυςχερῆ κατὰ τῆς πόλεως διεξῄει, λέγων ἃ ἐγὼ οὔτε τότ' ἐκαρτέρουν ἀκούων, οὔτε νῦν

[1] ὑμετέρας T.
[2] ἐξειργάσθαι T. R.
[3] πεμψάμενος δὲ ὁ ἱ. ἡ. με εἰσελθεῖν T. μεταπεμψάμενος δέ με ὁ ἱ. ἡ εἰσ. R.
[4] Πυλαγόρων T.
[5] ὠνομάζετο T. R.
[6] ἐξήγετε ἐκ T. R.

Ἐξειργάσθαι] Ἐξαρᾶσθαι MSS. Steph. aut forte, ἐξαράσασθαι. Ut Bern. Audi Harpocrat. Ἐξαράσασθαι, Αἰσχίνης κατὰ Κτησιφῶντος, ὅτι χρυσᾶς ἀσπίδας ἀνέθηκε πρὸς τὸν καινὸν νεών. ἐξαράσασθαι ἐστι τὸ ἐκπελέσαι τὰς ἀρὰς, τουτέστι τὰς εὐχὰς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν, αἳ εἰώθασι ποιεῖσθαι. Vide Valesium, et σχ. ad hunc locum. TAYL.

Προσῆκον] *Rei gestæ conveniens.* BRODÆUS.

Πεμψάμενος] Μεταπεμψάμενος dedit H. Steph. et recte. Consentit Bern. μεταπεμψάμενος δέ με ὁ ἱερομνήμων ἠξίου εἰσελθεῖν κ. τ. λ. Deerat μὲ in Ald. et in Mead. Quod in eo loco [sc. post ἠξίου] quo vides reponit Wolfius. TAYL.

Καὶ αὐτὸν] *Cum ipse tamen hoc facere statuissem.* BRODÆUS.

Καὶ προθυμότερον] Quære an ita distinguendum —— λέγειν (καὶ προθυμότερον —— μεθεστηκότων) ἀναβοήσας κ. τ. λ. MARKLAND. Recte omnino mihi videtur clausulam distinxisse vir eruditus: καὶ προθυμότερόν πως εἰσεληλυθότος —— μεθεστηκότων: *paulo majori studio ingressus, quod collegis meis absentibus, mihi soli reip. causa commissa erat.* Eoque ritu interpretatur Tourellius. STOCK.

Μεθεστηκότων] Forte, παρεστηκότων, ἢ μεθειεικότων. Melanchtho: *cunctantibus aliarum civitatum legatis.* Perionius: *ceteris Pylagoris concedentibus.* Meletus: *egressis aliis Pylagoris.* Ego nihil certi cum haberem, verti, *ceteris nostris Pylagoris absentibus.* WOLF. Πυλαγορῶν nempe τῶν ἡμετέραν. AUGER.

Ἐξήγετε] Ἐξείργετ' ἂν τοῦ ἱεροῦ. Ita Membranæ, scil. MSS. Steph. Mor. Reg. 1. et Bern. Vid. pag. 224. l. 6. TAYLOR.

Κράβυλος] Is est Hegesippus. Vid. Harpocr. v. Κράβυλος, Libanium, Photium, Suidam, Æschinem c. Timarch. Hujus dicitur esse Oratio de Haloneso, quæ Demostheni attribuitur. BROM.

Ἐκαρτέρουν] Ὑπέμενον, ἠδυνάμην, ἠνειχόμην ἀκούων. WOLF.

ἡδέως μέμνημαι [1] αὐτων. Ἀκούσας δ' [2] ἐγὼ οὕτω παρωξύνθην ὡς [3] οὐδὲ πώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ. καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι· ἐπῆλθε δ' οὖν μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν Ἀμφισσέων [4] περὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς ἐδείκνυον τοῖς Ἀμφικτύοσιν. ὑπόκειται γὰρ τὸ Κιρρᾶϊον πεδίον τῷ ἱερῷ, καὶ
410 ἔστιν εὐσύνοπτον. Ὁρᾶτε, ἔφην ἐγώ, ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τοῦτο τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων, καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ [5] αὔλια. ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον. ἴστε τούτους αὐτοί, καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος. Ἅμα δ' [6] ἀναγιγνώσκειν ἐκέλευον αὐτοις τὴν μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν γενομένην, καὶ διωριζόμην, ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τῶν Ἀθηναίων καὶ τοῦ σώματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν [7] τῶν προγόνων ὅρκον καὶ τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δ' ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύσασθε. ἐνῆρκται μὲν τὰ κανᾶ, παρέ-

[1] αὐτῶν T. R. [2] Deest ἐγώ. T. [3] οὐδεπώποτ' T. R. [4] ἐπὶ T. R. [5] ἐπαύλια T. [6] ἀναγινώσκειν ἐκέλ. αὐτοῖς T. R. [7] Desunt τῶν προγόνων. T. R.

Κεραμεῖα] Melanchtho: *et officinas ibi ædificatas esse et villas.* Perionius: *et figulinas stabulaque exædificata.* Meletus: *figulinas et casas.* Idem.

Ἐπαύλια] Lexicographi videntur legisse αὔλια. Ita Harpocratio. Αὔλια. Λυσίας ἐν τῇ κατὰ Διοδότου, καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος. ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ, τὰς μικρὰς αὐλάς. Conjunge Suid. v. Αὔλεια θύρα. Taylor.

Ἐπαύλια] De hujus vocab. significatione lis est inter Interpp. Alii *stabula*, alii *casas* seu *villas* exponunt. Derivatum quippe ab αὔλις, τουτέστι κοίτη, *cubile* (Suid.) æque vel pro *hominum* vel pro *pecorum* diverticulo possit usurpari. Stock.

Καὶ διωριζόμην] Lege. Brodæus. Wolf. Incuriosius excudit Aldus. Taylor.

Ἀφοσιῶ] Harpocr. in v. Maussac. pag. 128. Suid. v. Ἀφοσιούμεθα. Idem.

Κανᾶ] *Pro universa Græcia sacrificia* [Ald. enim κοινᾶ]. Vel si κοινῇ legendum, eodem sensu explicandum est. Brodæus.

Ἐνῆρκται μὲν τὰ κανᾶ] Melanchtho: *Sacra quæ de more fiunt, inchoata sunt.* Perionius τὰ κοινὰ [sive κοινᾶ Aldi] retinuit, [annon et Melanchtho retinuit quoque?] *cœpta jam ea sunt quæ ad omnes pertinent.* Meletus: *primum collocabantur sacri calathi.* Wolf. Euripid. Iphig. Aul. 1471.

κανᾶ δ' ἐναρχέσθω τις.

Videtur esse mos loquendi Atticus, et significare, *Sacrificium auspicetur aliquis,*

στηκε δὲ τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε δή, ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους. οὐ γὰρ δι' αἰνιγμάτων ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ
35 κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται· [1] ΜΝΔ' ΟΣΙΩΣ ΘΥΣΕΙΑΝ ΟΙ ΜΗ ΤΙΜΩΡΟΥΝΤΕΣ φησι ΤΩΙ ΑΠΟΛΛΩΝΙ [2] ΜΗΔΕ ΤΗΙ ΑΡΤΕΜΙ- 411
ΔΙ [2] ΜΗΔΕ ΤΗΙ ΛΗΤΟΙ ΜΗΔ' ΑΘΗΝΑΙ ΠΡΟΝΟΙΑΙ, ΜΗΔΕ ΔΕΞΑΙΝΤΟ [3] ΑΥΤΩΝ ΤΑ ΙΕΡΑ.

λθ'. [4] Ταῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτ' ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυό-
40 νων, καὶ λόγος ἦν [5] οὐκέτι περὶ τῶν ἀσπίδων, ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. Ἤδη δὲ πόρρω τῆς ἡμέρας οὔσης, [6] προελθὼν ὁ κήρυξ ἀνεῖ-

[1] μήθ' ὁσίως θύσαιεν T. R. [2] μήτε T. R. [3] αὐτῶν T. R. [4] τοιαῦτα T. R. [5] οὐκ ἔτι T. R. [6] προσελθὼν T. R.

sumendo in manus canistrum. Euripid. Electr. 1142.

Κανοῦν δ' ἐνῆρκται, καὶ τεθηγμένη σφαγίς.

Hæc verba Æschinis in Edit. Oxon. ita vertuntur, *aguntur jam canistrorum feriæ*, etc. neque magis perite Lambinus ante, *Canistrorum dies festus agi jam cœptus est*, etc. pro, *sacrificium jam cœptum est.* In hoc Canistro servabantur res sacrificio maxime necessariæ, *secespita*, sive *cultellus*, *mola salsa*, *et coronæ.* Hoc canistro, et simul χέρνιβι, sive *aquali*, in manus sumpto, currebat aliquis circum aram, versus dextram. Hoc officium præstitit Achilles Eurip. Iphig. Aul. v. 1568. Vide luculentam rei descriptionem apud Aristophan. Εἰρην. v. 956. ubi Scholiastes ad v. 957. notat τοῦτο πρῶτον ἐποίουν, καθαίροντες τὸν βωμόν. *Hoc* primum *faciebant*, *mundantes*, (vel *dum mundabant*) *aram.* Unde explicatur, quare ἐνάρχεσθαι dicitur. Idem Avib. 851. τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα: ubi Schol. addit locum ex Demosthene: quem locum, ut hoc obiter observem, sumpsit ex Harpocratione, v. Χερνίβων. Ceterum quod ἐνάρχεσθαι κανᾶ hic, ἐξάρχεσθαι καναῖ vocatur etiam ab Euripide, Iphig. Aul. v. 435. de cujusmodi locutionibus dixi ad v. 394. ibidem. MARKLAND. Adde Vales. ad Harpocr. pag. 102. (qui legit ἐνῆρται aut ἐπῆρται hoc posterius probante Tourrellio) Poll. VIII. 83. σχ. Aristoph. Av. v. 851. Abresch. ad Æschyl. II. 36. TAYLOR. Imo ἐνῆρται, *sublata sunt*, ab ἐναίρω. AUGER.

Ἐν τῇ ἀρᾷ] Ad has voces Vir doctissimus, atque amicissimus in suo exemplari nigrum θῆτα adposuit. Nam, si elegantiam spectes, eam utique pessundabit tam subita repetitio. Legebamus enim intra duarum lineolarum spatium γέγραπται ἐν τῇ ἀρᾷ. TAYLOR.

θ'. Ἐμοῦ] Ita Aldinam mendam ἐμὰ sustulerunt Bern. BRODÆUS. STEPHANUS. WOLF.

Προσελθὼν] F. προελθὼν, ut §. μή. πρωϊόντα τὸν κήρυκα. Eadem tamen sectione occurrit προσελθὼν ὁ κήρυξ. MARKLAND. Verum et ibi corriges προ-

πε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, καὶ δούλους καὶ ἐλευθέρους, ἥκειν ἅμα τῇ ἡμέρᾳ ἔχοντας [1]ἅμας καὶ δικέλλας πρὸς τὸ θυτεῖον ἐκεῖ καλούμενον. καὶ πάλιν ὁ αὐτὸς κῆρυξ ἀνηγόρευε, τοὺς ἱερομνήμονας καὶ [2]Πυλαγόρας ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ 71.1
ἱερᾷ· ἥτις δ' ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ ἱεροῦ, καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ ἔνοχος. Τῇ δ' ὑστεραίᾳ ἥκομεν ἔνθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιρραῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν. ταῦτα δ' ἡμῶν πραττόντων, οἱ Λοκροὶ οἱ [3]Ἀμφισσῆς, ἑξήκοντα στάδια ἄπω- 5
θεν οἰκοῦντες Δελφῶν, ἧκον πρὸς ἡμᾶς μεθ' ὅπλων [4]πανδημεί, καὶ εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν [5]ἂν ἀπολέσθαι. Τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Κόττυφος ὁ τὰς γνώμας ἐπιψηφίζων ἐκκλησίαν ἐποιεῖ τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσιν, ὅταν μὴ

[1] ἅμας T. R. [2] Πυλαγόρους T. [3] Ἀμφισσεῖς T. R. [4] πανδημεῖ R. [5] Deest ἄν. T.

ελθών. Uti similiter §. ξή. ἐπειδὰν προελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς —— non προσελθών. TAYLOR.

Ἐπὶ διετὲς] Aretinus: *Edixit omnibus, qui in ætate forent.* Melanchtho: *Ut Delphi omnes puberes.* Perionius: *Qui ætate processissent.* Meletus: *Quicunque inter Delphos viderint, se attigisse pubertatis annos.* Retinuit vitiosam lectionem [Aldi] ἐπιδίντες, pro ἐπὶ διετὲς, quod est frequens in forensibus Demosthenis. Ego Suidam secutus sum, qui τὸ ἐπὶ διετὲς ἡβῆσαι exponit ἐπὶ ἔτων γεγονέναι. Etsi ex loco quamvis corrupto colligitur, apud Athenienses τὴν ἐφηβίαν usque ad XVIII^vum annum durasse, ac tum demum εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῆναι. WOLF. Lego, ἐπιδημοῦντες, id est, *quotquot erant tunc in urbe puberes.* PALMER. Vid. Harpocr. v. Ἐπιδίετες. Vales. ad loc. ἐπὶ διετὲς habent etiam Mor. et Bern. γρ. etiam in posteriori ἐπι διετεῖς (sic) quasi voluisset ἐπιδιετεῖς. Quod non laudo. Scripsit Hesiodus, si fas sit hos versus Hesiodo adjudicare (consule Plutarch. in Amator.)

Ὥραῖος δὲ γυναῖκα τεὴν ποτὶ οἶκον ἄγεσθαι,
Μήτε τριηκόντων ἐτέων μάλα πολλὸν ἀπολείπων,
Μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ἥβης οὕνεκα.

Ἡ δὲ γυνὴ τέτορ' ἡβώῃ, πέμπτῳ δὲ γαμοῖτο.

Opp. et Dies v. 695. *quinto anno post pubertatem:* ut hic, ἐπὶ διετὲς ἡβῶν, *biennio supervixisse pubertati.* TAYLOR.

Ἐπὶ διετὲς ἡβῶσι] Ephebi censebantur Athenis, qui *octodecim* annos nati erant: per duos deinde annos περίπολοι nominabantur: tum vero impleto viginti annorum spatio, et ἐπὶ διετὲς ἡβῶντες, in tabulas referebantur *lexiarchicas*, et jure Attico hæreditatum suarum domini fiebant. Pollux. STOCK.

Θυτεῖον] Παρὰ τὸ θύειν, quasi Macellum dicas, aut Victimarium. WOLF. Scribitur et θύστιον quoque, atque etiam θύτιον, Harpocratione teste, qui h. l. laudat. TAYLOR.

Τῷ θεῷ] Apollini Delphico. Ita BRODÆUS, qui hunc locum similiter ac Stephanus, Wolfiusque, ex sordibus primævæ Editionis expurgavit. TAYLOR.

Ἀπολέσθαι] Ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι excudebat Stephanus. IDEM.

Κόττυφος] Forte deest ὁ Φαρσάλιος, ὁ τὰς γν. ut §. μά. Sed non necessarium est. Vid. Demosth. de Cor. §. γ'. MARKLAND.

Ὁ τὰς γνώμας ἐπιψηφίζων] Aretinus: *Qui præerat.* Melanchtho: *Cujus summa erat auctoritas.* Perionius: *Qui sententias decreto suo confirmabat.* Meletus: *Qui his*

μόνον τοὺς [1]Πυλαγόρας καὶ τοὺς ἱερομνήμονας συγκαλέ- 412
10 σωσιν, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. ἐνταῦθ' ἤδη πολλαὶ μὲν ἐγίγνοντο [2]τῶν Ἀμφισσέων κατηγορίαι, πολὺς δ' ἔπαινος ἦν κατὰ τῆς ὑμετέρας πόλεως. τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται, ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης Πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα, [3]καθ' ὅτι δίκας δώσουσιν οἱ [4]Ἀμφισσῆς ὑπὲρ ὧν εἰς τὸν θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον. Ὅτι δ' ἀληθῆ λέγω,
15 ἀναγνώσεται [5]ὑμιν ὁ γραμματεὺς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

μ'. Τοῦ δόγματος οὖν τούτου ἀποδοθέντος ὑφ' ἡμῶν ἐν τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ, καὶ τὰς πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος, καὶ ἐμοῦ
20 φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν [6]ὁ ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον καὶ μεταστησάμενος τοὺς ἰδιώτας ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι καὶ γενέσθαι τοῦ δήμου τὸ ψήφισμα, ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπελ-

[1] Πυλαγόρους T. [2] τῶν Ἀμφισσέων ἐγίνοντο T. R. [3] καθότι T. R. [4] Ἀμφισσεῖς T. R. [5] ὑμῖν T. R. [6] Deest articulus. T. R.

decretis suffragatus fuerat. WOLF.

Χρωμένους τῷ θεῷ] Τοὺς τὸ χρηστήριον ἐπερωτῶντας. ὁ μὲν γὰρ Ἀπόλλων ἀποκρινόμενος χρᾷ· οἱ δὲ συνθανόμενοι χρῶνται. IDEM.

Κατὰ] Ἀντὶ τῆς, περί. IDEM.

Πρὸ τῆς ἐπιούσης Πυλαίας] Τῆς ὡρισμένης, καὶ τεταγμένης ὑπὸ τῶν προγόνων. IDEM.

Ἐν ῥητῷ χρόνῳ] Ea fuit σύγκλητος Πυλαία. IDEM.

Ἔχοντας δόγμα] S. οἴκοθεν ἐπενεγκόντες. IDEM.

Καθότι] Legendum divisim καθ' ὅ,τι. TAYLOR.

μ'. Ἐν τῇ ἐκκλησίᾳ] Lege ——— ἐν τῇ βουλῇ, καὶ πάλιν ἐν τῷ δήμῳ. Nam Voces ἐν τῇ ἐκκλησίᾳ ex margine irrepsere, siquid certi habeat Diva Critice. Vide notata ad Demosthenem, in Orat. π. Παραπρεσβ. §. ογ'. med. IDEM. Hæ voces tollendæ mihi videntur. AUGER.

Μεσεγγυήματος] *Ob pactam illam et apud sequestrem depositam mercedem.* Budæus. STOCK.

Ἄνθρωπος] F. ὁ ἄνθρωπος. Sic §. μθ'. τῷ ἀνθρώπῳ, de Demosthene. Adde §. οδ'. fin. §. ζγ'. med. MARKLAND.

Μεταστησάμενος τοὺς ἰδιώτας] Iis scil. qui non erant ex Senatoribus, remotis: nostrates dicerent, *having cleared the House.* Τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν. Dem. π. παραπρ. §. ζ'. STOCK.

Προσλαβὼν] F. προλαβών. Vid. §. μέ. init. MARKLAND.

ηλυθότος ἐμοῦ — οὐ γὰρ ἄν ποτ' ἐπέτρεψα —, καὶ τῶν [1]πολλῶν διαφειμένων· οὗ τὸ κεφάλαιόν ἐστι· τὸν δ' 25
413 ἱερομνήμονά φησι τῶν Ἀθηναίων καὶ τοὺς [2]Πυλαγόρας τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων, εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις ἁπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος [3]ἤμελλε χρόνου γίγνεσθαι. Καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ [4]πικρότερον σύγγραμμα γράφει. τὸν ἱερομνήμονά φησι τῶν Ἀθηναίων καὶ τοὺς [5]Πυλαγόρας τοὺς ἀεὶ πυλαγοροῦντας μὴ μετέχειν τοῖς ἐκεῖ συλλεγομένοις [6]μήτε λόγων μήτ' ἔργων μήτε δογμάτων μήτε πράξεως μηδεμιᾶς. Τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἴπω, ἢ τὸ ἥδιστον ἀκοῦσαι; [7]Τἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον οὕτωσὶ τὴν πόλιν διατέθεικεν. Οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς [8]ὑμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς οὐδὲ τῆς τοῦ θεοῦ μαντείας. 30 35

μά. Ἡμεῖς μὲν οὖν, ὦ Ἀθηναῖοι, κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἰ-

[1] πολλῶν δὲ ἀφειμέναν T. R. [2] Πυλαγόρους τοὺς εἰσαεὶ T. R. [3] ἔμελλε χρόνου γίνεσθαι T. R. [4] πικρότερον T. R. [5] Πυλαγόρους T. [6] μὴ T. R. [7] τὸ ἀληθὲς T. R. [8] ὑμῶν T. R.

Πολλῶν δὲ ἀφειμέναν] *Multisque omissis ejus sermonibus, quorum quidem sermonum hæc summa est.* Brodæus. *Essendo stata licentiata la moltitudine.* Ferrus. *Ac plerique alii dimissi fuissent a concione.* Interpres Venetus sine nomine. Annon hi longe Wolfium, Brodæumque exsuperant in vertendo? Profecto Wolfius utroque modo vertere videtur ——— *populus dimissus esset, et, cujus ut pleraque omittam.* Et parum attentus, utrasque admisit. Taylor.

Ἀνάλογον] [Ald.] σύλλογον. Wolf. Bern. quoque. Quod silens etiam correxit H. Stephanus. Taylor.

Ἀεὶ] Τὸ ἀεὶ peculiarem habet usum hic; nec significat perpetuum tempus, sed refertur ad personas, quæ certis temporibus munus aliquod obeunt. Οἱ ἀεὶ ὑπατεύοντες, ii, qui suis quique temporibus consulatum gerunt. Aretinus: *Pylagoras qui perpetuo fuerint.* Melanchtho: *Legati, qui perpetuo ad concilium Amphictyonicum mittuntur.* Perionius: *Pylagoras, qui perpetuo hunc magistratum gererent.* Meletus: *perpetuos Pylagoras.* Wolf. *The Pylagoræ always for the time being.* Stock.

Μὴ μετέχειν κ. τ. λ.] Sycophantice prætermittit, quarum rerum non debeant esse participes, belli Phocensis scilicet. Wolf. Nihil prætermittitur. Decrevit Demosthenes, eos non participare cum consiliis vel actis Senatus Amphictyonici qui *extra ordinem* cogebatur, juxta §. λθ'. fin. Taylor.

Οὕτωσὶ] *Perperam* scilicet. Brodæus.

μά. Πλὴν μιᾶς πόλεως] Τῶν Θηβῶν, quas Alexander everterat. Wolf.

ποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο [1]αὐτοις μηδενὶ τῶν Ἑλλήνων. καὶ συνελθόντες ἐψηφίσαντο ἐπι-
40 στρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον, τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μα- 414
κρὰν ἀπόντος, ὃν αὐτίκα [2]μάλα τολμήσει λέγειν Δημοσθένης ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας ἐπήγαγον. Καὶ παρελθόντες τῇ πρώτῃ [3]στρατείᾳ καὶ μάλα μετρίως ἐχρήσαντο
72.1 τοῖς Ἀμφισσεῦσιν. ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων χρήμασιν [4]αὐτους ἐζημίωσαν, καὶ ταῦτ' ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ θεῷ καταθεῖναι, καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο, τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον. Ἐπειδὴ δ' [5]οὔτε τὰ χρήματα ἐξέτινον τῷ θεῷ, τούς τ' ἐναγεῖς κατήγαγον, καὶ
5 τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ἐξέβαλλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς [6]Ἀμφισσέας στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον, [7]ἐπανεληλυθότος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης.

μβ'. Ἀλλ' οὐ προύλεγον, οὐ [8]προυσήμαινον ἡμιν οἱ θεοὶ φυλάξασθαι, [9]μόνον οὐκ ἀνθρώπων φωνὰς [10]προηκά-
10 μενοι; Οὐδεμίαν τοι πώποτ' ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. Οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν

[1] αὐτοῖς T. αὐτῆς R. [2] μάλιστα T. [3] στρατιᾷ T. [4] αὐτοὺς T. R. [5] οὐδὲ T. R. [6] Ἀμφισσεῖς T. R. [7] ἐπανελθόντος T. R. [8] προεσήμαινον ἡμῖν T. R. [9] μονονοὺκ T. R. [10] προσκτησάμενοι T. R.

Αὐτοῖς] Annon multo satius, quod in MSS. Steph. Reg. 1. Bern. et Mead. reperitur, αὐτῆς scil.? TAYLOR. M. αὐτῆς. AUGER.

Μάλιστα] Γρ. μάλα Reg. 1. ut divinarunt summi viri Stephanus et Marklandus. Proxime, sc. §. μή. ἐθελήσεις αὐτίκα μάλα ἕλέπων εἰς τὰ τούτων πρόσωπα. Atque ita passim, §. νβ'. TAYLOR.

Στρατιᾷ] Στρατείᾳ, ut infra. MARKLAND. AUGER.

Χρήμασιν αὐτοὺς ἐζημίωσαν. [Ita Ask. etiam, Bern. et Brodæus, cum Ald. habuit αὐτοῦ] Et [l. 17.] ἐπὶ τοὺς Ἀμφισσεῖς [Quod pariter corruptum]. WOLF.

Προεσήμαινον] Quantum profecerit Cicero ex lectione Græcorum Oratorum, patebit ex Mureto VIII. Var. Lect. 10, 11. ubi et hunc locum præ manibus, aliosque a Romano Oratore descriptos et expressos esse ostendit. TAYLOR.

Προσκτησάμενοι] Προηκάμενοι. Cod. Bern. Optime. IDEM.

Ὑπὸ δὲ τῶν κ. τ. λ.] M. ἀνάρθρως, ὑπὸ δὲ ῥητόρων ἐνίων, aut, ὑπὸ δ' ἐνίων τῶν ῥητόρων. WOLF.

σημεῖον φυλάξασθαι, ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμυνιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι, καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεόν, ὅ τι χρὴ πράττειν· Δημοσθένης δ' ἀντέλεγε, φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας; οὐ τὸ τελευταῖον ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν [1] ὄντων ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; Καίτοι γε πρώην ἀπετόλμησε λέγειν, ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. τίνος οὖν ζημίας ἄξιος εἶ τυχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι, πρὶν καλλιερῆσαι τοὺς στρατιώτας ἐξέπεμψας, πότερον στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις ἢ [3] ὑπερωρίσθαι;

μγ'. Τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν! οὐ γὰρ βίον γ' ἡμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν. Οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεύς, ὁ τὸν [4] Ἄθων διορύξας καὶ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου

[1] Deest ὄντων. T. [2] ἡμῶν T. R. [3] ὑπερορίζεσθαι T. R.
[4] Ἄθω διορύξας, ὁ τὸν Ἑ. T. R.

Ἡ τῶν μυστῶν τελευτὴ] Μύσται οἱ μυηθησόμενοι. Fortassis aliqui ex istis subito mortui sunt. ἡ τελετὴ non placet, quod antecessit τοῖς μυστηρίοις. Wolf. Ea tamen fuit Divinatio Scaligeri. Taylor. Addo καὶ ante ἡ. Auger.

Φιλιππίζειν] Plutarch. in Demosthene. M. Tullius de Divin. II. 57. *Demosthenes quidem, qui abhinc annos prope CCC fuit, jam tum* Φιλιππίζειν *Pythiam dicebat, id est, quasi cum Philippo facere. Hoc autem eo spectabat, ut eam a Philippo corruptam diceret.* Brodæus.

Ἀθύτων καὶ ἀκαλλιερήτων] Ἄθυτα appellat ἱερὰ, τὰ μὴ καλὰ γενόμενα, sicut dicitur ἄγαμος γάμος, ταφὴ ἄταφος (quam et Cicero *insepultam sepulturam* dixit), πάρθενος ἀπάρθενος, βίος ἄβιοτος, et similia. Καλλιερεῖν est *litare*, unde ἱερὲν ἀκαλλιέρητον, *hostia quæ non litavit.* Scribit Plutarchus, Demosthenem, fretum copiis et alacritate militum, nec oraculis, nec extis quicquam tribuisse, τοῖς λογισμοῖς ἀντὶ χρησμῶν χρησάμενον. Idque exemplo Periclis et Epaminondæ, qui superstitiones illas velamenta ignaviæ judicarint. Wolf. Codd. Mead. et Bern. adjiciunt ὄντων. ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν. Ita infra legitur, §. μή. ἀθύτων, καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν· vel, ἀκαλλιερήτων τῶν ἱερῶν ὄντων. Tayl.

Πρώην] Πρότερον Bern. Sive Scholion sit, sive Varia Lectio. Idem.

Κρατουμένων] Κεκρατουμένων MS. Mead. Id erat proculdubio κεκρατημένων. Idem.

Σὺ δ' οὐδὲν προειδὼς ——] Wolf. Ald. enim οὐδέ. Taylor.

μγ'. Ἐφ' ἡμῶν] *Hac ætate.* Brodæus.

ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ
30 τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς 416
ἱερὸν [1]ἠλευθέρωσαν. Θῆβαι δέ, [2]Θῆβαι, πόλις ἀστυγείτων, μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ [3]καὶ δικαίως, περὶ τῶν ὅλων [4]οὐδὲν ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως ἀλλὰ δαιμονίως [5]κτησάμενοι. Λακεδαιμόνιοι δ' οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμά-
35 των ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτ' ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρίς, ὅ τι ἂν ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθήσονται. Ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο
40 πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι κατὰ πόλεις ἕκαστοι παρ' ὑμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν [6]οὐκέτι περὶ

[1] ἠλευθέρωσαν; T. R. [2] Deest Θῆβαι. T. [3] καὶ μὴ δικαίως T.
[4] οὐδ' T. οὐδὲν de suo R. [5] κτησάμενοι; T. R. [6] οὐκ ἔτι T. R.

Σωτηρίας] Εὐτυχίας Cod. Mead. Quod nihili est. Suspicor autem potius, istud τῆς σωτηρίας esse ex marginali nota. Solent enim Græci scribere ἀγωνίζεσθαι —— κινδυνεύειν —— etc. περὶ τοῦ σώματος, id est, *de salute*, περὶ σωτηρίας: non utrumque. TAYLOR.

Ἠλευθέρωσαν] Hoc egit Philippus victis Phocensibus. BRODÆUS.

Θῆβαι] Γρ. Θῆβαι δὲ, Θῆβαι, πόλις ἀστυγείτων Codd. Mor. et Bern. cum planctu quodam et lamentatione. Ita laudat Demetrius Phalereus §. 280. exemplum τῆς Ἀναδιπλάσεως. Ceterum de hoc loco consule eruditissimum Wesselingium ad Diod. Sic. XIII. 56. TAYLOR. Θῆβαι iteratum, ut est in Dem. Phaler. AUGER.

Μεθ' ἡμέραν μίαν] *Post diem unum.* An, ἐν μιᾷ ἡμέρᾳ, *uno die*, ut νύκτωρ καὶ μεθ' ἡμέραν, *noctu atque interdiu?* Aretinus *una die.* Sic et ceteri. WOLF.

Εἰ καὶ δικαίως] [Uti ante Wolfium exarari solebat] F. εἰ καὶ μὴ δικαίως περὶ τῶν ὅλων, οὐδ' ὀρθῶς ξουλευσάμενοι, scil. οἱ Θηβαῖοι. Præcedit enim, Θῆβαι δέ. Melanchtho: *Thebæ vero, urbs vicina, uno die funditus eversa, et e Græcia sublata est. Nec injuria. Ideo enim retinere imperium non potuerunt, quia divinitus in furorem acti pœnas violatæ religionis dederunt.* Perionius: *Quarum incolæ, si minus de summa rerum recte consultaverunt, at certe non humano consilio, sed divinitus deorum negligentiam amentiamque habuerunt.* Meletus: *Id quanquam merito eis contigit, quia de summa reip. non bene consultarint, sed tamen illum temeritatem ac stultitiam divinitus non humana ratione sibi compararunt.* Æschinis hæc ratiocinatio est, Thebanos amentia sua periisse: quæ amentia divinitus eis sit immissa ob violatam religionem. IDEM.

Ὁμηρεύσοντες] Hunc locum respexit Harpocratio, v. Ὁμηρεύοντας, et post eum Suidas. Consule quæ annotavit Maussacus. TAYLOR.

Τῆς συμφορᾶς] De pugna illa infaustissima loquitur, qua Alexandri M. legatus Antipater, cæsis Lacedæmoniorum quinque millibus, una cum rege ipsorum Agide, Spartam sociosque ejus omnes, qui prostratam jam Græciæ libertatem sublevare nisi sunt, contrivit. Vide Q. Curtium, l. 6. initio. STOCK.

τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος [1]ἐδάφους. Καὶ ταῦθ' ἡμῖν συμβέβηκεν, ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν [3]προσελήλυθεν. εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. λέγει γάρ που, παιδεύων τὰ πλήθη, καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι, — λέξω δὲ κἀγὼ τὰ ἔπη. διὰ τοῦτο γὰρ οἶμαι 73.1
[4]ἡμᾶς παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

417 Πολλάκι [6]καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς [6]ἐπαυρεῖ,
Ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων, 5
[7]Λιμὸν ὁμοῦ καὶ λοιμόν, ἀποφθινύθουσι δὲ λαοί·
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅ γε τεῖχος,
Ἢ νέας ἐν [8]πόντῳ ἀποτίνυται εὐρύοπα Ζεύς.

Ἐὰν δὲ περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον τὰς γνώμας ἐξετάζητε, οἶμαι [9]ὑμιν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, 10
ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν. καὶ γὰρ ναυτικὴ καὶ πεζὴ [10]στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.

μδ'. Ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας οὔτ' Εὐρύβατος οὔτ' ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος

[1] ἐδάφους; T. R. [2] ἐξότου T. R. [3] εἰσελήλυθεν T. [4] ἡμᾶς T. R. [5] δὲ T. R.
[6] ἀπηύρα T. R. [7] Λοιμὸν ὁ. κ. λιμὸν T. R. [8] πόντω Κρονίδης ἀποτίνυται αὐτῶν. T. R.
[9] ὑμῖν T. R. [10] στρατεία T.

Πολλάκι δὲ] Πολλάκι καὶ ξύμπασα MS. Steph. ut habent Hesiodi Editi. Vid. Opp. et Dies v. 240. TAYLOR.

Ἀπηύρα] Γρ. ἐπαυρεῖ MS. Steph. et Ask. Vide quæ de hac re scripsit optimus Graevius ad Hesiodi locum. IDEM.

Ἀλιτραίῃ] Ὅστις ἀλιτραίνει MS. Steph. cum Editis Hesiodi. Ἀλιταίνῃ Mor. IDEM.

Λιμὸν] Id. MS. Mead. λιμὸν ὁμοῦ καὶ λοιμόν, ut vulgatur apud Hesiodum. IDEM.

Ἢ ὅ γε τεῖχος] Rectius hoc quam in Impressis, ἢ τό γε τεῖχος. IDEM.

Οἶμαι ὑμῖν δόξειν. BRODÆUS. WOLF. Aldum corrigentes. TAYLOR.

Ποιήματα] Ποίημα. MARKLAND.

Στρατιὰ] Lege στρατιὰ, ut ξ. νῆ. ναυς. —— καὶ πεζῇ στρατιᾷ. Et, περὶ Πολιτείας pag. 146. l. 3. καὶ στρατιαν, ἢ πεζὴν, ἢ ναυτικὴν, ἐκπέμψετε; MARKLAND. AUGER.

Φρυνώνδας —— Εὐρύβατος] Horum nomina, ob insignem morum pravitatem, diu est quod in proverbium abiere. Familiare illud et pervulgatissimum, ut qui infamiæ alicujus labe præ ceteris innotesceret, utputa adulterii, ut Clodius, furti, ut Verres, prostitutæ pudicitiæ, ut Timarchus, fraudis et nequitiæ, ut Eurybatus, nomen suum quasi commodaret ceteris ex eadem disciplina, ut scribit Harpocratio, infra a me adducendus. Legitur in Excerpt. Valesianis pag. 241. Κρεῖσος ὁ τῶν Λυδῶν βασιλεὺς πρεσσπαισάμενος εἰς Δελφοὺς πέμπειν, ἔπεμπεν εἰς Πελοπόννησον Εὐρύβατον τὸν Ἐφέσιον, δοὺς αὐτῷ χρυσίον, ὅπως ὡς πλείστους ξενολογήσῃ τῶν Ἑλλήνων. ὁ δὲ πεμφθεὶς, πρὸς Κῦρον τὸν Πέρσην ἀποχωρήσας τὰ κατὰ μέρος ἐδήλωσε. διὸ καὶ παρὰ τοῖς

καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι, ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ! τολμᾷ λέγειν,

Ἕλλησιν ἐπισήμου γενομένης τῆς περὶ τὸν Εὐρύβατον πονηρίας, μέχρι τοῦ νῦν, ὅταν τις ὀνειδίσαι τινὶ βούληται μοχθηρίαν, Εὐρύβατον ἀποκαλεῖ. Scripsit Aristophanes in Comœdia deperdita, quæ Amphiareus inscribebatur,

Ὦ μιαρὲ, καὶ Φρυνώνδα, καὶ πονηρὲ σύ.

Apuleius Apolog. *Quis Palamedes, quis Sisyphus* (non Syphax, ut vulgo, quod emendat quoque Brodæus in Notis ad Antholog.) *quis denique* EURYBATUS (ita lege, non Eurybates, quod etiam vidit I. Bapt. Pius Annot. Posterior. cap. CXCVI. apud Gruter. Tom. I.) *aut* PHRYNONDAS *talem fraudem excogitasset?* Lucianus in Alexand. seu Pseudomant. §. 4. Αὐτίκα μάλα τῶν ἐπὶ κακίᾳ διαβοήτων ἀκρότατος ἀπετελέσθη, ὑπὲρ τοὺς Κέρκωπας, ὑπὲρ τὸν Εὐρύβατον, ἢ Φρυνώνδαν, ἢ Ἀριστόδημον, ἢ Σώστρατον. Harpocratio ita: ΕΥΡΥΒΑΤΗΝ (Codd. MSS. Cant. et Reg. Biblioth. Iacob. emendant) Αἰσχίνης κατὰ Κτησιφῶντος. Ἔφορος ἐν τῇ ὀγδόῃ Εὐρυβάτην (iterum) φησὶν ἄνδρα Ἐφέσιον, λαβόντα χρήματα παρὰ Κροίσου, ὥστε στρατείαν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, εἶτα προδότην γενόμενον, ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ, καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτας καλεῖσθαι. Iterum: Φρυνώνδας. Αἰσχίνης κατὰ Κτησιφῶντος. ἦν δὲ Ἀθηναίοις περιβόητος ἐπὶ πονηρίᾳ, οὐδὲν ἧττον Εὐρυβάτου. Suidas: Εὐρύβατος πονηρός. ἀπὸ τοῦ περιφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλλομένου πρὸς Κῦρον. ἦν δὲ οὗτος Ἐφέσιος. οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους ἄθλοις·

Κέρκωπές τοι πολλὰ κατὰ τρίδους πατέοντες
Βοιωτῶν σίνοντο· γένος δ' ἔσαν Οἰχαλιῆες,
Ὤλός τ' Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρες.

Νίκανδρος, Αἰγίνεον Εὐρύβατον πανουργότατον· οὗ μνημονεύει Ἀριστοτέλης ἐν ᾱ περὶ Δικαιοσύνης. Δοῦρις δὲ ἐν δ τῶν περὶ Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου, καὶ Ἀριστοφάνης Δαιδάλῳ, ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα, καὶ πλουτοῦντα, καὶ πανουργοῦντα,

Εἰ δή τις ὑμᾶν εἶδεν Εὐρύβατον Δία.

Iterum ille de Phrynonda: Φρυνάνδας τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων. ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν —— ἐκ τούτου τοὺς πονηροὺς Φρυνάνδας καλοῦσι. Κακοήθης ὁ Φρυνάνδας οὗτος, καὶ πανοῦργος, μισθοῦ τινὰς μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθεὶς, ὥς φησιν Εὔδημος. καὶ αὖθις, ἀλλ', οἶμαι, οὔτε Φρυνώνδας, οὔτ' Εὐρύβατος, οὐδ' ἄλλος πώποτε τῶν πάλαι πονηρῶν, τοιοῦτος μάγος καὶ γόης. Lectorem meum admonere puderet, hæc postrema non esse Eudemi, ut in Lexicographo nostro perperam repræsentantur, sed Æschinis verba. Aristophanes Thesmoph. 866.

ΜΝ. Ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη· πατὴρ δὲ Τυνδάρεως. ΓΥ. Σοί γ' ὦ Λεδρε
Πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.

Aristides T. II. pag. 310. Ὥσπερ ἂν εἰ ὁ Φρυνώνδας ἐκεῖνος Αἰακὸν αὐτὸν μετέθετο —— Ubi σχ. ὁ Φρυνώνδας καὶ ὁ Εὐρύβατος ἐπὶ πονηρίᾳ μεγίστῃ διεβάλλοντο. Rursus idem Aristid. pag. 199. Ἄτοπον δέ μοι φαίνεται, εἰ μὲν συμμάχους τινὰς ἢ προὔρριον προὔδοσαν, ἢ ναῦν μίαν ἢ δύο, ἢ φυγῆς αἰτιοί τισιν ἢ θανάτου κατέστησαν, πολλοῖς ἂν καὶ πυκνοῖς ἐλαύνειν αὐτοὺς τοῖς ῥήμασι, καὶ μετ' Εὐρυβάτου καὶ Φρυνώνδου καταλέγειν. Demosthenes de Corona, §. ή. Εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν ἄλλους Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ παρὰς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πραῦγμα, οὐ πόλεως ἔργον, οὐδὲ χρηστῶν ἀνδρῶπων διεπράττεσθε. Dio Chrysostom. Orat. 52. Καὶ οἱ λόγοι οὐ μόνον ἀσχημονέστερον ἢραὶ πρέποντες, ἀλλ' οὐδ' Εὐρυβάτου ἢ Παταικίωνος. Plato in Protagora, pag. 327. Ἀλλ' εἶεν ἄγριοί τινες, οἷοίπερ οὓς πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ· ἢ σφόδρα ἐν τοῖς τοιούτοις ἀνδρώποις γενόμενος, ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνδρωποι, ἀγαπήσαις ἂν, εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ. Libanius Epist. 535. Ὁ Εὐρύβατος ἐκεῖνος, ἢ Φρυνώνδας, μᾶλλον δὲ πάντας τοὺς ἐπὶ πονηρίᾳ βεβοημένους Αἰακοὺς ἀποφήνας. Sed jam tempus est ut promissa exsequar. Cum enim admonui ad initium hujus Orationis, Suidam Lexicographum vocem Φιλουργὸς ex ea excitasse, et de ea re Lectorem meum aliquid a me exspectare jussi, aio hic esse reponendam, si bona fide nobiscum egerit Suidas. Quem enim Eurybato et Phrynondæ potiorem comitem adjungemus, præsertim cum ab aliis conjungi solent, quam Philurgum? Φιλουργός. οὗτος ἄσωτος ὢν ἐφωράθη ἐν Ἀθήναις τὰ ἱερὰ συλήσας, καὶ τὸ Γοργόνειον ὑφελόμενος, ὡς Ἰσοκράτης λέγει. μέμνηται τούτου Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Alibi tamen iste Lexicographus hominem

βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν 15
συμμαχίαν ὑμῖν ἐποιήσαντο οὐ διὰ τὸν καιρόν, οὐ διὰ τὸν
φόβον τὸν περιστάντα αὐτούς, [1] οὐ διὰ τὴν ὑμετέραν δόξαν,
ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας. Καίτοι πολλὰς
μὲν τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ
μάλιστ' οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος μὲν οὗτος
στρατηγὸς Θρασύβουλος ὁ Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις
πιστευθεὶς ὡς οὐδεὶς ἕτερος· πάλιν Θράσων ὁ Ἐρχιεύς, 20
418 πρόξενος ὢν Θηβαίοις· [2] εἶτα Λεωδάμας ὁ Ἀχαρνεύς, οὐχ
ἧττον Δημοσθένους λέγειν δυνάμενος, ἀλλ' ἔμοιγε καὶ ἡδίων
ῥήτωρ· καὶ οὗτος [3] Ἀρχέδημος ὁ Πήληξ, καὶ δυνατὸς εἰ-
πεῖν καὶ πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θη-
βαίους· δημαγωγὸς Ἀριστοφῶν ὁ Ἀζηνιεύς, πλεῖστον
χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν· ῥήτωρ [4] Πύρ-
ρανδρος ὁ Ἀναφλύστιος, ὃς ἔτι καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδ-

[1] οὐδὲ T. R. [2] Deest εἶτα. T. [3] Ἀρχίδημος T. [4] Πύρανδρος T.

vocat non Philurgum, sed Phileam. Φιλέας Ἀνδοκίδην ἱερεσυλίας ἐγράψατο, ὥσπερ οὐκ αὐτὸς ὤν, ὁ τῆς θεοῦ τὸ Γοργόνειον ἐκ τῆς ἀκροπόλεως ὑφελόμενος. v. Φιλαίας. Quas voces etiam repetit in Ὅμοιον. Jam vero Isocrates, quem laudavit Suidas, neque Phileam vocat, neque Philurgum, sed tertio nomine, Philergum, et, quod plurimum confert ad ea quæ scribimus, Phrynondæ addidit comitem. Ita Ille contra Callimachum: Ὥσπερ ἂν εἴ τῳ Φρυνώνδας πανουργίαν ὀνειδίσειεν, ἢ Φιλεργὸς ὁ τὸ Γοργόνειον ὑφελόμενος. Diu est quod ad Lysiam, pag. 103. adnotaveram, corrigendum esse Isocratem ad normam Suidæ, Φιλέας nempe. Potius enim est cognomen quod frequentius. Post ea a me adnotata repperi Synesium quoque id confirmare. Nam ejus sunt Verba in Encom. Calvit. pag. 57. Edit. Turneb. 1553. quæ laudavit Suidas in v. Ὅμοιον. Taylor. De Phrynonda, licet ejus quoque nomen in proverbium cesserit, nihil tamen memoratu dignum scriptum reliquerunt Glossographi. Suidas advenam fuisse ait, qui tempore belli Peloponnesiaci Athenis vixit, quique improbus et malitiosus cum esset, pretio accepto fraudes technasque in aliorum perniciem prompte excogitabat. Stock.

Οὐ διὰ τὸν φ.] Rescribe, οὐδὲ διὰ τὸν φόβον. Markland.

Κολλυτεὺς] Rectius, quam ut sæpe exaratur apud Auctorem nostrum, aliosque, Κολυττεύς. Et confirmant Marmora. Taylor.

Ἀρχιεὺς] [Uti in exemplaribus exaratur Aldi Stephanique] Alias Ἐρχιεὺς apud Demosthenem per E subinde legitur. Et Suid. Ἐρχία, δῆμος τῆς Ἀττικῆς. Unde Ἐρχιάδαι et Ἐρχιεῖς, quod est usitatius. Et fortasse Ἐρχιάθεν legendum. Wolf. Lege Ἐρχιεύς. Nam Ἐρχία, vel Ἐρχεία demus fuit Atticæ tribus Ægeidis, multis auctoribus memoratus. Palmer. γρ. Ἐρχιεὺς in MSS. Steph. et Bern. Et illud bene se habet. Erratum est sæpissime in hac voce describenda, ut liquet ex Meursio de Populis Attic. Nimium liberalis est Wolfius præter æquum bonumque, qui postquam Ἐρχιεὺς commendasset, et recte, nobis etiam Ἐρχιάθεν propinavit. Non solet hoc fieri, ut utroque modo alicujus demi populares describerentur, si bene istam rem teneo. Certo hic non est necessarium. Taylor.

Πρόξενος] *Procurator.* Wolf. *hospes.* Markl. Vide supra §. ιζ'. not. Stock.

Ἀρχίδημος] Ἀρχέδημος Mor. Ille demo erat Πήληξ. Vid. Harpocr. Suid. Meursium, et quæ adnotavimus ad illam Æschineam, quæ est π. Παραπρεσβ. pag. 117. l. 3. Taylor.

Πύρανδρος] Idem forte, qui vocatur Πύρρανδρος, in Or. c. Timarch. pag. 41. Markland.

25 εἰς πώποτ' αὐτοὺς [1]ἠδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν· τὸ δ' αἴτιον οἶδα μέν, λέγειν δ' οὐδὲν δέομαι διὰ τὰς ἀτυχίας αὐτῶν. Ἀλλ', οἶμαι, ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νικαίαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον, ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον
30 Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν ἤπτετο [2]αὐτῶν, μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσήειτε εἰς τὰς Θήβας, ἐν τοῖς ὅπλοις διεσκευασμένοι καὶ οἱ [3]ἱππῆς καὶ οἱ πεζοί, πρὶν περὶ συμμαχίας μίαν [4]μόνον συλλαβὴν γράψαι [5]Δημοσθένην· ὁ δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης.

35 μέ. Ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε. Πρῶτον μέν, ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ' ἔρ- 419
γῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί [6]δεῖ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, [7]προσποιούμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιροὺς
40 ἀλλὰ διὰ τὰς [8]αὐτοῦ πρεσβείας, πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι ἐπὶ τίσι δεῖ ποιεῖσθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον εἰ [9]γίγνεται· τοῦτο δὲ προλαβὼν ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥς-
71.1 περ εἴωθεν, ὡς τοὺς Βοιωτούς, ἔργῳ κακῶς πάσχοντας, τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσον-

[1] ἐδυνήθη T. [2] αὐτῶν T. R. [3] ἱππεῖς T. R. [4] μόνην T. R. [5] Δημοσθένη T. [6] δεῖ τὰ πλείω R. [7] προσποιησάμενος T. R. [8] αὐτοῦ T. R. [9] γίνεται T. R.

Τὸν πόλεμον ——— τὸν αὐτὸν πόλεμον] Desunt tria ultima vocabula in exemplari MSto D. Mead. TAYLOR.

μέ. Ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε] Quia præsidium cis est impositum, ob ingratos, ut opinor, animos, et Athenienses Philippo prælatos: cum is ante animum ab illis alienum non haberet. WOLF.

Κλέπτων] Κρύπτων Bern. Ni sit scholiolum. TAYLOR.

τας· δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν [1] ἀπώτεροι οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ [2] θάλατταν ἐποίησε κοι- 5
νήν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις, ὥστε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα τὸν ὑμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς τῶν στρατιω-
420 τῶν σωτηρίας. Καὶ ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω καὶ πάντες ἐπιτιμῶσι καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε 10
πρὸς [3] Δημοσθένην· συνείθισθε ἤδη τἀδικήματα [4] αὐτοῦ ἀκούειν, ὥστ' οὐ θαυμάζετε. δεῖ δ' οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

μγ'. Δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν [5] Καδμείαν, κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτάρ- 15
χαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα [6] πρεσβεύσειν μὲν ἔφη, ὅποι ἂν [7] αὑτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμψητε· εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι, καταδουλούμενος τοὺς ἄρχοντας καὶ συνεθίζων μηδὲν [8] αὑτῷ ἀντιλέγειν δια-

[1] ἀπωτέρω T. R. [2] θάλασσαν T. R. [3] Δημοσθένη T. R. [4] αὐτοῦ T. R. [5] Καδμείαν, τὴν κοινωνίαν T. Καδμείαν κοινωνίαν R. [6] πρεσβεύειν T. [7] αὑτῷ T. R. [8] αὑτῷ T. R.

Δεύτερον] Supra est τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε· πρῶτον μὲν — §. μέ. init. Brodæus. Errat Brodæus, qui vocem δεύτερον quæ hic legitur, ad πρῶτον annectit in pag. 233. l. 16. Non ita est. Connectitur enim cum πρῶτον l. 22. ejusd. paginæ. Et quia multos abripuit, præter istum Brodæum, Divisio circa hunc locum, quæ minus accurata videri potest, rem paucis mecum contemplare. Istorum *Trium* delictorum, quæ Demostheni objiciuntur, *Primum* occurrit §. μέ. *Secundum*, §. μγ'. *Tertium*, §. μζ'. At primum illud *duas* partes complectitur, quas ambas in hac §. recenset, *priorem* l. 22. p. 233. *alteram* l. 1. p. 234. Hinc illa obscuritas, atque illæ querelæ. Taylor.

μγ'. Δεύτερον] F. ἕτερον. nam πρώτου et δευτέρου supra mentionem fecerat, τρίτου mox facturus est. Markland.

Καὶ τὴν δημοκρατίαν [Ald. δημοκρατείαν]. [Et l. 21.] παριὼν pro περιιών. Wolf. Hoc Brodæus etiam et Bern. Taylor.

Πρεσβεύειν] F. πρεσβεύσειν, ut γράψειν mox. Markland. Ubi tamen γράφειν Cod. Mead. Taylor.

Συνεθίζων μηδὲν] Rescribe μηδέν' neminem. Idem.

Διαδικασίαν] Plutarchus in libro, qui inscribi solet, de Gloria Atheniensium p. m. 422. Οἱ δὲ Ῥήτορες ἔχουσί τι παραβαλλόμενοι πρὸς τοὺς στρατηγούς. ἐξ ὧν εἰκὸς, ὡς Αἰσχίνης σκώπτων τὸν Δημοσθένην, λέγειν φησίν, ὅτι γράφεται τῷ βήματι δια-

δικασίαν ἔφη γράψειν τῷ βήματι πρὸς τὸ στρατηγεῖον·
20 πλείω γὰρ [1]ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος
πεπονθέναι, ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγείου.
μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις, καὶ τὰ στρα-
τιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμι-
σθώσας Ἀμφισσεῦσι, πολλὰ διαμαρτυρομένου καὶ σχε-
τλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων,
ἀναρπασθέντων τῶν ξένων, τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ
25 πόλει. τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς 421
εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν,
χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι,
ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς
[2]προγεγενημένης; Καὶ τηλικούτων κακῶν αἴτιος γεγενη-
μένος Δημοσθένης οὐκ ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν, ἀλλ'
[3]εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται, ἀγανακτεῖ·
οὐδ' ἱκανόν ἐστιν [4]αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ'
30 εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναρρηθήσεται, τοῦτ' ἀγαναν-
κτεῖ. οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπι-
λαβομένη δημοσίας ἀπεργάζεται συμφοράς.

μζ'. Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν,
ὃ μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν
Ἑλλήνων, οὐδ' ἀγνοοῦντος — οὐ γὰρ ἦν ἀσύνετος — ὅτι
περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας σμικρῷ μέρει δι-
35 αγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι [5]εἰ-
ρήνην, καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν
ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον

[1] ὑμᾶς T. R. [2] γεγενημένης T. R. [3] εἰ καὶ μὴ T. [4] αὐτῷ T. R.
[5] τὴν εἰρήνην T.

δικασίαν πρὸς τὴν στρατηγίαν. Διαδικασία nomen est Causæ, quæ *Vindicatio* dici potest: istud Contentionis genus, ubi duo pluresve inter se litigant, uter utri sit in munere, locove, aut re capessenda præferendus. Disputat ergo Demosthenes de gradu honoris, quem Togatæ Militiæ deberi existimat, præ laudibus et meritis Imperatoriis. De ea quæstione Plutarchus erudite et eleganter, ut solet, in loco quem proxime commemoravi. Adjungatur Victorius V. Var. Lect. ult. IDEM. *Judicium se dictaturum minatur, controversiamque pulpito cum prætorio constituturum*; hoc est, artem oratoriam cum imperatoria in certamen adducturum. *Budæus.* STOCK.

Τῷ βήματι] F. τὸ βῆμα. MARKL.

Κεναῖς χώραις] Nostrates milites appellant *cæca nomina*, quibus et Principes decipiuntur, et Centuriones locupletantur. WOLF.

Πολλὰ διαμαρτυρομένου] IDEM. Non διαμαρτυρουμένου, ut Aldus. γρ. διαμαρτυραμένου Mead. TAYLOR.

Εἰ καὶ μὴ] Divinavit H. Stephanus εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται. Acute sane! Ita scribitur in MSS. Mead. et Regg. 1. 2. IDEM.

μζ'. Μέγιστον] Μεῖζον. MARKLAND

— εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος [1]δεκέτης γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε —, τούτων δ' ἐχόντων οὕτως, αἰσθόμενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι, χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας, ἀβίωτον ἡγησάμενος εἶναι, εἴ τινος ἀπολειφθήσεται δω-
422 ροδοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην, οὔθ' ὡς οὐ δεῖ, ἀλλ', ὡς ᾤετο, τοῦτο κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων, ἀναφέρειν [2]ἑαυτῷ τὰ μέρη τῶν λημμάτων, διώμνυτο τὴν Ἀθηνᾶν, ἥν, ὡς ἔοικε, Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, ἢ μὴν εἴ τις 75.1
ἐρεῖ, ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προσεῖχον [2]αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους [3]πάλιν ἀνέστρεψαν ἐξεληλυθότας, ἵνα [4]βουλεύσαισθε περὶ τῆς εἰρήνης, ἐνταῦθα παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προδότας τῶν Ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκά-

[1] δεκαετὴς T. R. [2] αὐτῷ T. R. [3] Deest πάλιν. T. [4] βουλεύσησθε T. R.

Τούτων δὲ] Τούτων δὴ ἐχόντων οὕτως. Bern. Quæ erat mea quoque Divinatio. Taylor.

Ἀβίωτον] Deesse videtur Conjunctio: καὶ ἀβίωτον ἡγησάμενος εἶναι. Idem.

Ἀλλ' ὡς ᾤετο] Ita distingue: οὐδενὸς ἀνθρώπων λέγοντος, οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην, οὔθ' ὡς οὐ δεῖ· ἀλλ', ὡς ᾤετο, τοῦτο κ. τ. λ. Markland.

Κήρυγμα] H. Stephanus securus atque otiosus dedit τούτῳ κηρύγματι τοῖς Βοιωτάρχαις προκηρύττων — ἀναφέρειν αὐτῷ τὰ μέρη τῶν λημμάτων. Quam puto esse præstantiorem lectionem, licet illam alteram Aldinam, quam secutus est Wolfius, constanter defendant Exemplaria nostra, excepto Bern. Malo hic se gessit Wolfius in vertendo; *nam sua duntaxat opinione nitebatur.* Quanto præstantius Lambinus? *Repente in concionem prosiliit, neque dicente quoquam mortalium, pacem cum Philippo facere oportere, neque negante, sed quia existimabat se hoc veluti præconio Bœotorum principibus multo ante prædicare ac denunciare, ut sibi pecuniæ captæ prædæque partem referrent.* Taylor.

Κλεοφῶντος] De hoc Cleophonte non memini me quicquam legisse præter ea quæ idem Æschines in Orat. π. Παραπρεσβ. tradidit. Wolf. Ad istum locum in ω. Παραπρεσβείας lectorem meum ablego, ubi plura de isto Cleophonte. Taylor. §. κδ'. p. 114.

Κλεοφῶντος] Hunc ait Æschines in orat. de fals. legatione, hominem fuisse seditiosum, qui sub finem belli Peloponnesiaci ex infima plebe δημαγωγὸς factus, cum fractis Sicula clade Atheniensibus Lacedæmonii pacem haud iniquam obtulissent, se gladio collum ei præcisurum minitabatur, siquis pacis mentionem faceret. Stock.

Ἀνέστρεψαν] *Revocarunt*, Wolfius. Male. *ferno ritornare indietro.* Italus. Taylor.

λεσε, καὶ [1]γράψειν ἔφη ψήφισμα ὁ τοῖς πολεμίοις οὐδέ-
ποτ' ἀντιβλέψας, πέμπειν ὑμᾶς πρέσβεις εἰς Θήβας, αἰτή-
σοντας Θηβαίους δίοδον ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες
10 δ' οἱ ἐν Θήβαις ἄρχοντες, μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι
προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης [2]ἀπετράποντο,
ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.

μή. Ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν
ἐπιμνησθῆναι, οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων
τῶν ἱερῶν ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον, ἐτόλμησε, 423
τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ
τὸν τάφον τῶν τετελευτηκότων, ἐγκωμιάζειν τὴν ἐκείνων
15 ἀρετήν. Ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πρα-
γμάτων ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν
τοῖς λόγοις τόλμαν θαυμασιώτατε! [3]ἐπιχειρήσεις αὐτίκα
μάλα βλέπων εἰς τὰ τούτων πρόσωπα λέγειν, ὡς δεῖ σ' ἐπὶ
ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; Ἐὰν δ' οὗτος
λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτή-
20 σασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη; Γένεσθε δή μοι
[4]σμικρὸν χρόνον τῇ διανοίᾳ μὴ ἐν τῷ δικαστηρίῳ ἀλλ' ἐν
τῷ θεάτρῳ, καὶ νομίσατε ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ
τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν γίγνεσθαι,
καὶ λογίσασθε, πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτη-
σάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς
ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτ' ἐπεισιοῦσιν ἢ ἐπὶ τῇ τῆς
πόλεως [5]ἀγνωμοσύνῃ. Τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρω-
25 πος Ἕλλην ἢ καὶ παιδευθεὶς [6]ἐλευθερίως, ἀναμνησθεὶς ἐν
τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ
ἡμέρᾳ μελλόντων, ὥσπερ νυνί, τῶν τραγῳδῶν [7]γίγνεσθαι,
ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις

[1] γράφειν T. [2] ἀπετρέποντο T. [3] ἐπιχειρήσειν ἐθελήσεις αὐτίκα T. R.
[4] μικρὸν χρόνον τὴν διάνοιαν T. R. [5] ἀγνωμοσύνη; T. R. [6] ἐλευθέρως T. R.
[7] γίνεσθαι T. R.

γράφειν] Τινὲς διεγεῖσι γράψειν. STEPHANUS. Ut pag. 235. l. 1. TAYLOR. M. γράψειν. AUGER.

Ἀντιβλέψας] Priscian. lib. 18. col. 1175. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Καὶ ὁ μηδεπώποτε ῥήτε τοὺς πολεμίους ἀντιβλέψας. TAYLOR.

μή. Ἐπιχειρήσειν] Ἐπιχειρῆσαι vel ἐπιχειρεῖν. MARKLAND. Ego legerem ἐπιχειρήσεις sine ἐθελήσεις. AUGER.

Γίγνεσθαι] Post eam vocem addit Cod. Bern. ἀναγορεύοντα. Quod non satis intelligo. TAYLOR.

Τραγ. γίνεσθαι] Non longe abest ἀγωνίζεσθαι. Quam veram et sinceram esse lectionem arbitror. IDEM.

ἐχρῆτο, [1]προελθὼν ὁ κήρυξ καὶ παραστησάμενος τοὺς
ὀρφανούς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτη-
424 κότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ
καλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν, 30
ὅτι τούςδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες
ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ
γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε,
νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ
ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυ-
τῶν, καὶ καλεῖ εἰς [2]προεδρίαν. Τότε μὲν ταῦτ'
ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ [3]παραστησάμενος τὸν τῆς
ὀρφανίας τοῖς παισὶν αἴτιον, τί ποτ' [4]ἀνερεῖ ἢ τί φθέγξε- 35
ται; καὶ γὰρ [5]ἐὰν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος
προστάγματα, ἀλλ' οὐ τό [6]γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν
σιωπήσεται, ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ
φθέγγεσθαι, ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗ-
τος ἀνήρ, στεφανοῖ ὁ δῆμος ὁ τῶν Ἀθηναίων,
ἀρετῆς ἕνεκα τὸν κάκιστον, ἀνδραγαθίας ἕνε-
κα τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν.
Μὴ πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, ἱκετεύω ὑμᾶς, ὦ 40
Ἀθηναῖοι, μὴ τρόπαιον [7]ἵστατε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ
τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον
τῶν Ἑλλήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνή-
σκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώ-

[1] πρεσελθὼν T. R. [2] πρεεδρίαν; T. R. [3] προστησάμενος T. [4] ἂν ἐρεῖ T. R.
[5] ἂν T. R. [6] Deest γ'. T. [7] ἱστᾶτε T. R.

Προελθὼν] Προελθών. MARKLAND. Vide supra, §. λδ'. TAYLOR.

Παραστησάμενος] Παραστησάμενος, ut proxime l. 1. παραστησάμενος τοὺς ὀρφανούς. MARKLAND.

Ἂν ἐρεῖ] Ἀνερεῖ, (ut ἀνεῖπε, §. λθ'. et ἀνεγράψε ibid. paulo post) exhibuit Stephanus. Recte sane, sed contra membranas. TAYLOR.

Ἀλλ' οὐ τό] Τὸ ἀλλ', si recte legitur, non adversativa est, sed emphaseos causa accedit. WOLF.

Σιωπήσεται] Omnes præter Stephanum et Bern. qui σιωπηθήσεται. TAYLOR.

Ὅτι κ. τ. λ.] Discrimen multo et Oratoris vehementiæ accommodatius, si hoc Comma, monente Cl. Marklando, ita repræsentaretur: ὅτι τόνδε τὸν ἄνδρα (εἰ δὴ καὶ οὗτος ἀνὴρ) στεφανοῖ ὁ δῆμος τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα (τὸν κάκιστον) ἀνδραγαθίας ἕνεκα (τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν). IDEM.

Τὴν τάξιν] Alibi semel (scil. §. ξά.) in pl. τὰς τάξεις. Sed quære annon scribendum τὴν τάξιν. Nisi ibi significetur Statio in Repub. simul atque in Exercitu. MARKLAND. Pagina inferiore, οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως (Nam ita istum locum pungi jubebo). Similiter §. ζγ'. ἀνὴρ ῥήτωρ, ἁπάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως. TAYLOR.

ρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδέδεχθε τῇ πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία καὶ τὸ βασιλικὸν [1] χρυσίον·

76.1 μθ'. Ἀλλ' ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, [2] ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφοράς, καὶ νομίσατε ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν 425
κατασκαφάς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, [3] κλά-
5 οντας, ἱκετεύοντας [4] ὑμας, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι· οὔτε πόλις γὰρ οὔτ' ἰδιώτης ἀνὴρ οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησάμενος. ὑμεῖς δ', ὦ Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ
10 ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα· τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην [4] ἀνατετραφότα, τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

ν'. Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο [5] ὑμας ὑπομνῆσαι
15 βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως, ... τριή-

[1] χρυσίον. T. R. [2] Deest ἀλλά. T. [3] κλαίοντας T. R. [4] ἀνατετροφότα R. [5] ὑμᾶς T. R.

μθ'. Διανοίαις] Descriptionem quæ sequitur laudat Theo, Rhetorum non ultimus. Quantum ex Æschinis facundia alii profecerint, docebit Muretus VIII. Var. Lect. 10. Idem.

Ἐπισκήπτοντας] *Qui precibus, quasi morientes, efflagitant, mandantque.* Nam verbi ἐπισκήπτειν usus *extremis mandatis*, et hominum morientium precibus accommodatus est. *Budæus.* Stock.

Ἀπήλλαξε] Vid. Victorium V. Var. Lect. 11. Taylor.

Ἀπευθύνειν] Lege. Brodæus. Wolf. Quod male exarabatur in Aldinis. Taylor.

ν'. Πόλεως] *Accepta urbis nostræ triremi.* Wolf. Inscite. Distinguendum est enim h. pacto, οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως, τριήρη προσλαβὼν et quæ sequuntur. Ita nuperrime admonui, sc. ad p. 238. l. 19. Quam notam consule. *Demosthene ha mancato del suo debito nella guerra, non solamente fuggendosi dall' essercito, ma ancora dalla citta.* Ut Etruscus fideliter et eleganter. Taylor. Hic lego ἀλλὰ καὶ τὴν τῆς πόλεως, nempe τάξιν. τριήρη μὲν προσλαβὼν ὑμῶν τοὺς Ἕλληνας ἠργυρολόγησε· καταγαγούσης κ. τ. λ. Cæterum forte hic aliquid deest. Auger.

ρη προςλαβὼν [1]ὑμῶν καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε.
Καταγαγούσης δ' αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροςδοκήτου
426 σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑποτρόμος ἦν [2]ὁ ἄν-
θρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα εἰρηνοφύλακα
[3]ὑμᾶς αὐτὸν ἐκέλευε χειροτονεῖν. ὑμεῖς δὲ κατὰ μὲν τοὺς
πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημο- 20
σθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προςε-
τάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. Ἐπειδὴ δ'
ἐτελεύτησε Φίλιππος, Ἀλέξανδρος δ' εἰς τὴν ἀρχὴν κατ-
έστη, [4]πάλιν αὖ οὗτος τερατευόμενος ἱερὰ μὲν ἱδρύσατο
Παυσανίου, εἰς αἰτίαν δ' [5]εὐαγγελίων θυσίας τὴν βουλὴν
[6]κατέστησε, ἐπωνυμίαν δ' Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο,

[1] ὑμῶν T. R. [2] Deest articulus. T. R. [3] ὑμᾶς ἐκέλευεν αὐτὸν χ. T. R.
[4] πάλιν αὐτὸς τερ. T. R. [5] εὐαγγελιῶν καὶ θυσίας T. [6] κατέστησε ποιῆσαι, ἐπων. R.

Τὴν ἐκ τῆς πόλεως τριήρη] Hunc locum Cl. Taylorus ita distingui jubet: οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως, τριήρη προςλαβὼν—*Stationem non solum in* acie, *verum etiam in* civitate *deseruit*, etc. Similiter infra §. ζγ'. ἀνὴρ ῥήτωρ, ἀπάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως. Ingeniose quidem: atque ita vertunt Aretinus et Interpres Italus. Cæterum non placuit veterem interpunctionem immutare; tum quia si hoc in mentem Æschini venisset, *binas* quasdam stationes, quas reliquerat adversarius, designare, utique perfecta non esset inter eas distinctio, nisi eadem præpositione *bis* uteretur, οὐ τὴν ἀπὸ στρατοπέδου μόνον—ἀλλὰ καὶ τὴν ἀπὸ τῆς πόλεως: tum quod τὴν τριήρη ὑμῶν emphatice et κατ' ἐξοχὴν hic sumi crediderim, ac *sacram triremem*, sive *Paralum*, denotare, quæ inter alia publica munera, ad *legatos* etiam circumvehendos adhiberi solebat. (Vide infra, not. ad §. νά.) Refert enim Dinarchus in orat. adv. Demosthenem, statim post cladem eam Cheronensem, cum omnia Athenienses a Philippo timerent. Demosthenem, quo se honesta specie periculo subduceret, legatum se ad socias civitates proficisci simulare, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως ἀποδρᾷ. Stock.

Πρεσλαβὼν] F. [illegible] πρεσλαβὼν [illegible] τὴν. Taylor.

Τοὺς μὲν] Unitatem eundo τοὺς μὲν οὖν πρώτους χρόνους κ. τ. λ. Supra §. κέ. πρώτην μὲν οὖν τὴν χρίσιν τὴν τῆς τριμίνου —— Simile etiam est istud, §. λβ'. τοὺς μὲν [illegible] χρόνους [illegible] εἶναι φίλοι, ἐπειδὴ δὲ —— Idem.

Ἦν] Ὑποτρόμος ἦν ὁ ἄνθρωπος. ut §. μθ'. med. et §. οδ'. fin. Markland.

Πρώτους χρόνους] Hæc non redolent castitatem Scriptoris inter primos semper habiti. l. 3. τοὺς μὲν πρώτους χρόνους — ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους l. 5. Non oportuit tam cito. Taylor.

Ἐπιγράφειν] Hoc ipsum ultro fecisse, ἐξοιωνιζόμενον αὐτοῦ τὸν δαίμονα scribit Plutarchus. Wolf.

Πάλιν αὐτὸς] Πάλιν αὖ τερατευόμενος, sapienter dedit Stephanus. Nam Græci ita scribere solent. Illud habet disertissime Cod. Mor. Taylor.

νος τὰς ἀτυχίας τῆς πόλεως — ἐνταῦθ' ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῖν [1]μόνον εἰς Σάμον [2]ἐπιχειρήσας, ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος δ' ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτ' εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι [3]αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ' ἂν ἢ ἀπέθανεν. Ἀντιθῶμεν δὴ τὸ νῦν [4]γιγνόμενον. ἀνὴρ ῥήτωρ ἁπάντων τῶν κακῶν αἴτιος ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. Οὐκ [5]ἀποπέμψεσθε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν, ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε; Καὶ [6]μὴν καὶ τὸν καιρὸν μέμνησθε, ἐν ᾧ τὴν ψῆφον [7]φέρετε. Ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια [8]γίγνεσθαι καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ' ἡμῶν ἡ πόλις ἐκ τῶν Δημοσθένους πολι- 462

[1] μόνος T. [2] ἐγχειρήσας T. R. [3] αὐτῷ T. R. [4] γινόμενον T. R. [5] ἀποπέμψετε T. [6] Desunt μὴν καί. T. R. [7] φέρετε; R. [8] γίνεσθαι T. R.

distributionem. Wolf.

Ζγ'. Μόνος] F. μόνον. Taylor. Quod malim. Auger.

Ἕτερος δ' ἰδιώτης] Is erat Leocrates quidam, quem (consilium quæ ad nos usque pervenit) læsæ majestatis postulabat Lycurgus Rhetor, quod, cum post cladem Chæronensem decreto interdixissent Athenienses, nequis ex urbe migraret, vel suos inde amoveret, hic tamen patria et civibus relictis Rhodum concesserat, funditus periisse Athenas et ratus et renuntians: quod adeo acerbum Atheniensibus facinus visum est, ut cum quinque post annos patriam remeare ausus fuerit Leocrates, in judicium deductus vix tandem evasit; καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο: ubi enim pares numero renuntiabantur suffragiorum calculi, qui absolverent, quique damnarent, reus absolvebatur. Secundum hanc pugnam et is, quem dicit Æschines in Samum se recepisse, deprehensus et a Senatu Areopagitico capitis fuisse damnatus videtur: ἡ μὲν γὰρ ἐπ' Ἀρείῳ πάγῳ βουλὴ (inquit Lycurgus in Leocrat.) τοὺς φεύγοντας τὴν πατρίδα καὶ καταλιπόντας, τότε (hoc ipso tempore) ὡς πολεμίους λαβοῦσα, ἀπέκτεινε. Stock.

Ἴσαι αἱ ψῆφοι] Harpocr. in v. Ἴσαι ψῆφοι. Αἰσχίνης κατὰ Κτησιφῶντος, Ἕτερος δὲ πλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην μέν ποτε εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο, εἰ δὲ μία ψῆφος μετέπεσεν (γρ. ὑπερέπεσεν in Cod. Cantab. et ita habet Suidas, et Photius MS.) ὑπερώριστο ἂν, καὶ ἀπέθανεν. Corrige ἢ ἀπέθανεν. Is erat Leocrates, ut monet Scholiastes Æschinis, et nos monuimus ad Lycurgi Orationem de ea ipsissima re habitam. In Photio legitur hoc modo: Ἴσαι ψῆφοι. Τὸν νόμον τοῦ ἀπολύεσθαι τὸν κατηγορούμενον ἐὰν ἴσων τύχῃ ψήφων. Ἐπὶ τῶν παρ' ὀλίγον ἐν τοῖς δικαστηρίοις ἁλισκομένων. ἀναλύονται (corrige ἀπολύονται) γὰρ οἱ διωκόμενοι ἐπὶ (lege ἀπὸ) τῶν δικαζομένων, καὶ (l. ἂν) ἴσαι γένωνται ψῆφοι. Ἐν αἷς ἀπολύεται ὁ ἐγκαλούμενος. Αἰσχίνης etc. Hæc produxi, ut ostenderem, quænam sit Sors et Ratio veterum Lexicorum. Consuta enim et consarcinata et hæc Glossa ex tribus diversis, voces (Ἴσαι ψῆφοι) enarrantibus: sc.

Τὸν νόμον (vel κατὰ τὸν νόμον) τοῦ ἀπολύεσθαι —ψῆφων.

Ἐπὶ τῶν παρ' ὀλίγον———ψῆφοι.

Ἐν αἷς ἀπολύεται ὁ ἐγκαλούμενος. Taylor.

Ἡ συλλαβόντες] F. οὐ συλλαβόντες κ. τ. λ. Markland. Auger.

Τιμωρήσεσθε] Οὐ, quod ἀποπέμψετε

τευμάτων περὶ τοὺς νῦν καιρούς· δόξετε δ' ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν 90.1
κοινὴν εἰρήνην, ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν.

ζδ'. Μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἀξιολογωτέρους ἄνδρας ἀπόθεσθε, καὶ μὴ μόνον τοῖς ὠσὶν ἀλλὰ καὶ τοῖς ὄμμασι, διαβλέψαντες εἰς ὑμᾶς αὐτούς, 5
βουλεύσασθε, τίνες ὑμῶν εἰσὶν οἱ βοηθήσοντες [1] Δημοσθένει; πότερον οἱ συγκυνηγέται ἢ οἱ συγγυμνασταὶ [2] αὐτου, ὅτ' ἦν ἐν ἡλικίᾳ; Ἀλλά, μὰ τὸν Δία τὸν Ὀλύμπιον! οὐχ ὗς ἀγρίους κυνηγετῶν οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελούμενος διατετέλεκεν, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται.

ζέ. Ἀλλ' εἰς τὴν ἀλαζονείαν [3] αὐτοῦ ἀποβλέψαντες, 10
ὅταν φῇ Βυζάντιον μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι τῶν Φιλίππου, ἀποστῆσαι δ' Ἀκαρνᾶνας, ἐκπλῆξαι

[1] Δημοσθένει. T. R. [2] αὐτοῦ T. R. [3] Deest αὐτοῦ. T. R.

præcedit, sumendum. Brodæus.

ζδ'. Ὠσὶν] Σώμασιν Cod. Mead. Ego sane et τοῖς ὠσὶν, et τοῖς σώμασιν juxta intelligo. Id est, neutrum intelligo. Et perinde hanc locutionem quoque, scil. βουλεύσασθε τίνες εἰσὶν οἱ βοηθήσοντες Δημοσθένει. Certe hæc parum sunt sincera. Taylor. Sic pungo: καὶ μὴ μόνον - - - ὄμμασι, διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς, βουλεύσασθε, - - - Δημοσθένει· hic aperio parenthesim, (πότερον - - - quam claudo post διαγεγένηται) ita ut phrasis subsequens ἀλλ' εἰς - - - cohæreat cum præcedente, ἀλλὰ τοῖς ὄμμασι - - - Auger.

ζέ. Ἀποβλέψαντες] F. ἀποβλέψατε. Nisi placeat ὑπερβατὸν, aut ἀναντιπόδοτον, aut ἀποσιώπησις, sc. τοῦτον ἀπολύσετε. Aretinus: *Vanam insuper ejus arrogantiam intelligatis.* Melanchtho: *Considerabitis etiam ejus jactantiam, quando dicet.* Wolf. ἀποβλέψατε Bern. Sed non est necesse ea Correctione, aut Wolfii Figuris, uti. Juxta monitum Cl. Viri Jer. Marklandi, vocibus [εἶτα γὰρ —— ἐν τῇ πόλει, p. 289. l. 1.——l. 4.] parenthesi inclusis, et deleta interrogatione post vocem δημηγορήσας, ita procedet Oratio, scil. Ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες, ὅταν φῇ —— ὅταν —— παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν κ. τ. λ. Accommode quidem vertebat olim Lambinus, Interpres, diffusus quidem, sed non inelegans: *Sed vos jactantiam hominis arrogantiamque spectantes, quum dicet se Byzantium sua legatione Philippo ademisse, Acarnanas ad defectionem perpulisse, Thebanos concionibus suis perterrefecisse (vos enim usque adeo stultos et credulos esse existimat, ut hæc crediturì sitis, proinde quasi suadelam in urbe vestra, non sycophantam alatis) quum denique in extrema jam orationis parte, prædarum suarum ac pecuniarum captarum socios sibi advocabit, fingite vos intueri,* etc. Eam rationem etiam secutus in vertendo, et necessaria ista distinctione usus, optimus et diligentissimus Interpres Etruscus. Taylor.

Ἀποβλέψαντες] In his verbis repræsentandis Marklandum sequor et Taylorum, quanquam Stephani distinctionem non admodum improbem, qui interrogationem continuat, hoc modo: πότερον οἱ συγκυνηγέται; ——ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες;—*qui sint, qui Demostheni patrocinantur: utrum in exercitiis commilitones? an qui ad arrogantiam hominis attenderint?* Et sic, ordietur peroratio a clausula sequenti, Ὅταν δ' ἐπὶ τελευτῆς, κ. τ. λ. Stock.

δὲ Θηβαίους [1] δημηγορήσας, — οἴεται γὰρ [2] ὑμας εἰς τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι, ὥςτε καὶ ταῦτ' ἀνατσεισθήσεσθαι, ὥςπερ Πειθὼ τρέφοντας ἀλλ' οὐ συκοφάντην 463
ἄνθρωπον ἐν τῇ πόλει. Ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ
15 λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πόλεως εὐεργέτας, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθόν, σωφρόνως, ὥςτερ προςῆκεν [3] αὐτῷ, δεόμενον [4] ὑμων μηδενὶ τρόπῳ τοὺς Δημοσθένους
20 λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων, Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα, εἰ οὐκ αἰσχύνεσθε, εἰ οἱ μὲν πατέρες ὑμῶν Ἀρθμιον τὸν Ζελείτην, κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ
25 δήμου τῶν Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης, ἧς Ἀθηναῖοι ἄρχουσιν· ὑμεῖς δὲ Δημοσθένην, οὐ κομίσαντα [5] εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν. Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τῶν προγόνων
30 οὐκ ἂν οἴεσθε ἀναστενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμο- 464
λογῶν τοῖς Ἕλλησιν ἀντιπράξαι στεφανωθήσεται;

ϛ'. Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις καὶ παιδεία, ᾗ [6] διαγιγνώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρά! βεβοήθηκα καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως

[1] δημηγορήσας; T. δημηγορήσας. R. [2] ὑμᾶς T. R. [3] αὐτῷ T. R. [4] ὑμᾶν T. R. [5] Desunt εἰς τὴν Ἑλλάδα. T. [6] διαγινώσκομεν T. R.

ϛ'. Ὦ γῆ καὶ ἥλιε etc.] Vid. Brodæum VI. Miscell. 13. Taylor. Vide Demosth. de Cor. §. λϑ'.

βεβοήθηκα] Dinarchus adv. Demosthenem, Ἐγὼ μὲν οὖν ἴσον εἰς τὸ μέρος τοῦμὸν τῆς κατηγορίας ἥκει, βεβοήθηκα. Æschines κατὰ Τιμάρχου. Ἕν τι τῶν αἰσχίστων ἠγησάμην εἶναι, μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ, καὶ τοῖς νόμοις, καὶ ἐμαυτῷ. Brodæus. βεβοήθηκα nempe τῇ πόλει. Auger.

τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς [1]ἠβουλόμην· εἰ δ' ἐνδεεστέρως, ὡς [2]ἠδυνάμην. Ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν [3]παραλελειμμένων αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

[1] ἐβουλόμην T. R. [2] ἐδυνάμην T. R. [3] παραλειπομένων T.

ΕΠΙΣΤΟΛΑΙ

Α Ι Σ Χ Ι Ν Ο Υ

ΤΟΥ ΡΗΤΟΡΟΣ.

I. TAYLORI

PRÆFATIO

AD

ÆSCHINIS EPISTOLAS.

HABES, mi Lector, Epistolas Æschinis, jure optimo subjunctas isti Controversiæ, quæ Exsilium comparavit Auctori, atque his Literis originem præbuit et argumentum. Quo etiam factum est, ut totum quod scripsit Æschines, atque ætatem tulit, in uno hoc Volumine concluderetur.

Has Epistolas primus typis suis Græce descripsit Aldus, Venetiis, Anno 1499. una cum multorum aliorum Rhetorum, Philosophorum, Sophistarumque Epistolis. Recudebantur deinde sæpenumero, scil. Lovanii, in Officina Rutgeri Rescii, deinde Parisiis, per Wechelum, atque alibi sæpiuscule. Primus eas Latinas fecit Petrus Nannius Alcmarianus, post eum Renatus Guillonius Vindocinensis. Quorum hic notulas quasdam adspergebat, non quidem ineruditas, neque tamen satis dignas ut prelo iterum a me committerentur. Lector enim meus visis semel iis, quas excerpsi (utilioribus sane, et melioris notæ) non ægre feret se cariturum iis quas prætermisi. Sunt tamen præterea et aliæ Interpretationes præter Wolfianam: sed quarum pleræque mihi nomine tantum innotuerunt; veluti ea quam concinnavit Ioannes Caselius Rostochiensis; Alia porro Scriptoris Locique incerti; ut omittam eam quam Aretinus dedit, unius solummodo Epistolæ, in bibliothecarum latebris, ut credo, delitescentem, nec, quod sciam, typis publice expressam. His addam XII^{mam} Epistolam Latinitate donatam ab Anonymo, et vulgatam Ven. ab Hieron. Scoto, A. 1545. una cum Æschinis Orationibus, et Demosthenis quibusdam.

Harum in Recensione adjutus sum Cod. MSto, bono sane, licet non admodum vetusto, quem possidebat olim Richardus Mead, nunc autem Anton. Askew, M.DD. uterque literarum laude nobilitatus. Ejus præstantiam utilitatemque aliquoties deprehendet Lector in Notis quæ sequuntur.

Lectæ sunt Epistolæ Æschinis a Photio, qui in Cod. LXI. eas honestissimo hoc præconio ornavit; Τρεῖς μόνους αὐτοῦ φασὶ γνησίους εἶναι [Λόγους] καὶ Θ. Επιστολάς. Διὸ τοὺς μὲν Λόγους αὐτοῦ τινὲς ΧΑΡΙΤΑΣ ὠνόμαζον, διά τε τὸ χάριεν τοῦ λόγου, καὶ τὸν ἀριθμὸν

τῶν Χαριτῶν. ΜΟΥΣΑΣ δὲ τὰς Ἐπιστολὰς, διὰ τὸν ἀριθμὸν τῶν ἐννέα Μουσῶν. De *numero* harum Epistolarum Photius quoque perhibet testimonium idem in Cod. CCLXIV. Hodie habemus Triada quidem Orationum, Epistolas vero Duodenas.

Quænam sint igitur abjudicandæ, si quæras, sive tanto Auctore indignæ; sive nota aliqua inustæ, quæ novitatem arguere possit, hoc ex me, inquam, si quæras, aio, prædico, confirmo et pronuncio, omnes XII. proscribendas protinus et eliminandas esse.

Probe scio rem esse omnium difficillimam, disputare de his fallaciis, quæ ab Aliorum aut Fraude, aut nimio Otio profectæ, Ætati nostræ obtruduntur: Novi quam lubrico in loco versetur ille, qui id elaborat, ut alium de genere Orationis, de charactere dicendi, de verborum sententiarumque luminibus, ea persentiscere adducat, quæ ipse secum experiatur; sibi licet non solum persuadeat, verum etiam medullitus concipiat, penitusque, et totus ad eum sensum sententiamque componatur. Non quod, cum de Stylo Auctoris, de scribendi meditandique genere, de sententiarum pondere et gravitate, de colore Orationis, ceterisque id genus disputes, levissimam eam confirmandi rationem esse crediderim, aut potius non in ea vim inesse maximam: verum cum de iis in publicum disseras, ea disputatio auditores postulat (id quod non semper fieri solet) eodem literarum genere excultos, ad istiusmodi studia et crisin, auribus, sensu et judicio conformatos, usu denique exercitatos, atque eo demum otio abundantes, quo ipse frueris, qui istos Auctores a teneris unguiculis edidicisti, atque in iis quasi expendendis fuisses innutritus.

Quanquam istius generis multa fortasse afferri potuissent; atque jure contenderem, me ingenium Æschinis, et sonitum, vim et vehementiam, hic in ipso Æschine desiderare, veruntamen *populari* potius oratione agere maluerim, atque iis argumentis uti (neque sane iis destituor) quæ nemo profiteatur, aut reclamet, se *sentire* non posse.

Nemo hodie in Re Literaria reliquus est, qui Demosthenis Epistolas confictas, atque isti nomini temere assutas esse non crediderit: Adeo nunquam de ea re vel minima exstiterit Dubitatio. Eas tamen tam presso pede sequitur homo noster, ut planum lecturo fieri possit, has certe exaratas nunquam fuisse, ni illæ antea exstitissent. Verbi gratia: Quæ ille Pseudo-Demosthenes de Lycurgi liberis conscripsit, hic Pseudo-Æschines excipit, citat, atque eo argumento cum Civibus suis in postrema Epistola agit. Theramenem Ille, Melanopum Hic, excitavit obtrectatores, qui similem ludum luderent, atque utrumque exsulem et absentem conviciis domi lacerarent. Adeo *Pecus* illud Scriptorum semper fuit *Μιμηματόν*: neque ex isto grege quisquam unquam exortus fuerit,

qui sciret quid sit illud quod dicitur feliciter et solerter excogitare. Simulatus igitur Æschines, licet ingenio, sermonis elegantia, et nitore orationis longe superet infelicem illum Simium, qui Demosthenem imitari voluit, (et mediocrem sane Scriptorem necesse est eum fuisse, qui illum non exsuperet) eo tamen, ætate sit posterior necesse est, quem sæpenumero exscribit, et ad quem alludit, cujus denique testimonio atque arte utitur sæpissime.

In Epistola ultima, pag. 747. ed. T. dicitur Æschines secum matrem grandævam in exsilium duxisse, sc. quæ annum jam agebat 73tium. Bene est. Æschines ipse ea erat ætate, cum hæ res geri, atque hæ Epistolæ exarari, putantur. De ætate Æschinis plura in ejus vita. Adhuc tamen de Matre. Siquis enim calculum meum aliorumque de Æschinis natalibus non admittere velit, audiat tamen Æschinem in Epistolis, eidem Æschini in Orationibus adversantem. Mater Æschinis Olymp. CXIV. annum agebat 73tium. (Epist. XII.) Nam ea tempestate hæ literæ erant consignatæ, mortuo nempe Alexandro. Attamen Mater Æschinis Olymp. XCIII, oppressa a XXX. Viris urbe, una cum marito Corinthum aufugit (Orat. π. Παραπρ. §. με'.). Ab exeunte Olympiade XCIII. ad ineuntem CXIV. Anni sunt LXXX. Quibus si adjeceris XX. nubilem nempe ætatem, non nisi centesimum annum agere poterat ea Mulier, ipsius Æschinis calculo, quæ ab Epistolarum scriptore annos nata esse dicitur solummodo *septuaginta*, et quod excurrit.

Post Matrem sequitur Disputatio de Liberis. Nam et hic quoque infelix ille Sorex suo se indicio prodidit. Ait Scriptor, se tres parvulos liberos secum quoque abduxisse, qui per ætatem grande istud infortunium exsilii sentire non poterant. Argumentum sane aptum ad animos eorum commovendos, ad quos scribit, sed quo ipse Æschines uti non potuit. Eos utique liberos, *duos* scil. *filios*, et *gnatam* unicam produxit in Causa Παραπρεσβείας. (Vide §. μή. et §. νέ.) Id erat Intervallum viginti ad minimum annorum. Quid? duos filios, qui jam diutius ex ephebis excesserant, tam plane nihil persentiscere potuisse? Quid? Virginemne tam grandem neminem meminisse Athenis relictum, quocum ætatis quod reliquum erat lubenter transigeret? Atqui isti liberi non tum solum nati erant, cum ea causa perorabatur, Anno scil. Olymp. CIXnav. 2do. verum cum eæ res gestæ erant, quas insimulabatur in ea Contentione cum Philippo contra patriam agitasse: Ἐρωτῶ γάρ, ὦ Ἀθηναῖοι, εἰ δοκῶ ἂν ὑμῖν —— τούτους τοὺς πάντων ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι Φιλίππῳ; sc. hos liberos, quos jam produxerat, §. μή. Necesse est igitur, ut eam Causam ætate aliquantulum anteirent.

In Epistola IV. Homini Atheniensi, et Condiscipulo suo, quasi id nescienti, exponere aggreditur, quis et qualis fuerit ὁ θρυλλούμενος Pindarus. An id Græco, neque, ut videtur, inerudito, ignotum esse potuit? Quonam vero modo id exponat? *Memineris*, ait ille, *Te de isto Poeta, sub plagoso Orbilio, qui nostram simul pueritiam rexerat, aliquid inaudivisse: Aut, si id te fugerit, memineris saltem Melanippum, rabulam et declamatorem, insigne istud ῥῆμα et versiculum Pindari de laudibus Athenarum, sæpenumero in Concionibus jactare esse solitum.* Sic notus Ulysses! Non potuit putidius aliquid, aut σοφιστικώτερον excogitari.

Ecce vero Ingenii Morumque Sophisticorum perillustre Monumentum! Norunt omnes, Gentem istam, præter ceteros, semper fuisse in re aliena profusam, in sua parcam, sordidam et illiberalem. Et Ego eo vel unico argumento innixus, quovis pignore contenderem, ab umbratili illa, quam dico, Schola, hæc omnia esse profecta, atque ab iis Magistris, qui τὴν Θόλον, ut dicitur, solent προσκυνεῖν. Hospes quidam Rhodius, ut legimus in quinta Epistola, Æschini nostro tantam frumenti vim, liberalissimo quidem animo, misit dono, quantam Populo Cothocidarum universo, id est, δημόταις suis qui erant Athenis, sufficere potuisse existimaret. Hic ille est, quem vero dicere possis *frui Diis iratis*, ut loquitur Poeta. Quid Ille interea, cum *sua* liberalitas erat expromenda? Nempe Rhodo Athenas, itinere non admodum exiguo, scriblitas quasdam et placentas, quarum comestura se magnopere delectari profitetur, munus diobolare fere, et contemnendum, ad amicum mittit. Hæccine ille, qui conferri cum Demosthene, et cum eo congredi potuit? Hoc annon potius barbatuli alicujus declamatoris fuisse existimes, quam illius, qui fulminibus Demosthenicis ἀντοφθαλμεῖν et poterat, et soleret?

Hæc delibanda esse judicavi: cetera exsequor ad ipsa loca, in quibus istiusmodi nugæ meracissimæ occurrunt. TAYLOR.

ΙΕΡΩΝΥΜΟΥ ΒΟΛΦΙΟΥ ΕΙΣ ΤΑΣ ΑΙΣΧΙΝΟΥ ΕΠΙΣΤΟΛΑΣ ΥΠΟΘΕΣΙΣ.

ΟΤΙ Αἰσχίνης, μὴ ἑλὰν Κτησιφῶντα, μᾶλλον δὲ Δημοσθένην, οὗ κατηγόρει, μηδὲ τὸ πέμπτον μέρος τῶν ψήφων μεταλαβὼν, τὴν ἀτιμίαν οὐ φέρων, τὰς μὲν Ἀθήνας ἀπέλιπεν, εἰς δὲ Ῥόδον μετῴκησεν, παντί που γνώριμον. ἐκεῖ τοίνυν ταυτασὶ τὰς ἐπιστολὰς σχεδὸν ἁπάσας γράψας, πῇ μὲν τοῖς φίλοις τάς τε ἀποδημίας, καὶ πάλλα τὰ καθ' αὑτὸν, ἐδήλωσε· πῇ δὲ τὴν τῶν ἐχθρῶν ἐπιχαιρεκακίαν ἠμύνατο· πῇ δὲ τοῖς Ἀθηναίοις ὑπὲρ ἑαυτοῦ, ὡς μηδὲν ἐξαμαρτόντος, ἀπολογούμενος, καὶ συμβουλεύων γνωσιμαχεῖν, καθόδου τυχεῖν ἐφίεται.

ΕΠΙΣΤΟΛΑΙ
ΑΙΣΧΙΝΟΥ
ΤΟΥ ΡΗΤΟΡΟΣ.

α'. ΦΙΛΟΚΡΑΤΕΙ.

726. 1 ΛΥΣΑΝΤΕΣ ἐκ Μουνυχίας ἑσπέρας, λαμπρῷ σφόδρα Σκίρωνι, περὶ μέσην ἡμέραν κατήχθημεν εἰς Νηρησσὸν

Epistola quidem luculenta. Nam et verborum constructione satis ornatur, et est ubi gravitate sententiarum ad Æschinis felicitatem propemodum assurgat. Illud temperare nequivi quin lectori ob oculos ponerem: nempe Scriptorem, quicunque fuerit, dum hæc excudit, Æschinem cum D. Paulo conferre; atque uti iisdem mari, et pene fortuna navigare voluisse, ita eodem fere Orationis genere istam rem consignasse. Immo Dictio tota cum N. T. locutione ubique convenit. Ut consenties, si conferre et trutinare velis. Adeo ut, cum vulgo hic legatur σκαιὸς γὰρ ἦν ὁ ἄνεμος, in MSto nostro, eodem animo, sed phrasi ad S. S. accommodatiori, γρ. καὶ γὰρ ἦν ἄνεμος ἐναντιός, ut legitur Act. Apost. XXVII. 4. Κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. Multo adhuc disertius D. Matthæus XIV. 24. Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων. ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. TAYLOR.

Σκίρωνι] Rectius est multo, verba λαμπρῷ σφόδρα Σκίρωνι, ad Λύσαντες, quod præcedit, quam cum Wolfio interprete, ad κατήχθημεν, quod sequitur, referre. Id quod commode præstiterunt alii. *Cum e portu Munychia vesperi solvissemus Cauro apprime luculento, circiter meridiem ad Neressum, coloniam Ciorum, devecti appulimus:* Guillonius. *Ubi ex Munychia luculenter admodum spirante Scirone vesperi solutum esset, circa meridiem deducti sumus in Neressum Ciorum:* P. Nannius. Scriptor noster ultra modum videtur hoc vocabulo (λαμπρὸς) delectari: πολὺ λαμπρότεροι p. 302. l. 3. ἔγωγε λαμπρὸν νομίσαιμ' ἂν ——— Ibid. l. 16. τῷ λαμπρῷς ἑστιᾶσθαι p. 304. l. 22. Ὅτου περιεῖναι μηδένα λαμπρότερον ποιεῖ p. 307. l. 3. πολλοὺς τῶν λαμπροτάτων ἐν τῇ πόλει p. 308. l. 2. λαμπρόν ἐστι τὸ τοῖς βαρβάροις

τὴν Κείων. καθίσαντες δὲ ἡμέρας ἐννέα· σκαιὸς γὰρ ἦν ὁ ἄνεμος· εἶτα πάλιν λύσαντες, ἅμα τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν. Δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ νόσον. τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης, καὶ τὰς τρίχας λευκοὶ ἐγίνοντο, ὁ δὲ τράχηλος αὐτῶν, καὶ τὰ στέρνα ἀνώδει· πυρετοὶ δ' οὐκ ἐγίγνοντο, οὐδὲ ἀλγηδόνες μεγάλαι, οὐδὲ τὰ κάτω μέρη παρήλλαττεν οὐδέν. ταῦτα δὲ [1]ἐπύθοντο κατὰ μῆνιν Ἀπόλλωνος αὐτοῖς συμβεβηκέναι, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός· ἐκ τούτου οὖν [2]προσβάλλειν αὐτοῖς τὸν θεὸν τὴν νόσον ταύτην ὑπε-

[1] ἐτίθεντο [2] προσβαλεῖν

ἀεὶ πολεμεῖν p. 314. l. 21. Elegans sane usus, cum de Vento dicitur. Ταῦτα τὰ πλοῖα ἀνὰ μὲν τὸν ποταμὸν οὐ δύνανται πλέειν, ἢν μὴ λαμπρὸς ἄνεμος ἐπέχῃ. Herodot. II. 96. Ἐντεῦθεν ὥσπερ ἐκ μετανοίας ἀποστρέψας τὴν ναῦν, ἐπαφίησι τῷ πελάγεϊ· πέως μὲν ἀς ἐδύνατο, καὶ πρὸς κῦμα παραβαλλομενος. ἔπειτα δὲ καὶ νότος συνεπιλαμβάνει λαμπρός. Synesius IV. Epist. Utuntur et alii, ut Plutarchus et Polybius. Vide Cl. D'Orvill. ad Charit. I. 11. Scironi, sive Cauro, optimo jure videtur annecti Vox ista, si conferas has glossas Hesychii: Σκειρῶν. ἀργή τις λέγεται. (F. Ἀργέστης) δοκεῖ δὲ ἀπὸ τῶν Σκειρωνίδων πετρῶν καταπνεῖν. † Ἀεγκηστῆρα, ἀργῆτα, λευκὴν, λαμπρὸν, † Ἀργῆτα κεραυνόν. τὸν λαμπρὸν, ἢ ταχύν. Maxime vero, si animadvertat lector, hunc Ventum aliquando Ἀργέστην nominari. Taylor. M. Σκειρῶνι secundum Hesychium. Auger.

Κηρησσὸν τὴν Κείων] S. πόλιν, Plinius IV. 12. Cei seu Ceæ Insulæ urbes recenset, Iulidem et Cartheiam: Coressum et Pœcessam intercidisse scribit. Unde forte Κορησσὸν legendum. Wolf. Recte Wolfius. Vide Geographos, Strabonem, sc. Vol. II. pag. 745. aliosque. Κορισσὸν Scylax, pag. 49. Edit. Gronov. Βακχυλίδης Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος. ἔχει γὰρ πόλεις δ. Ἰουλίδα, Καρθίαν, Κορισσίαν, Πεκήσσαν. Suidas v. Βακχυλίδης. Pulcherrimum sane principium nobis dedit adveniens MS. noster, qui sine litura Κορησσὸν exhibet. Quod Tu non dubitabis protinus Æschini restituere. Idem denique Cod. pro Κείων, Κέω. Legebatur olim proculdubio Κορησσὸν τῆς Κέω. Editi Κίων. Taylor. Imo Κορησσῶν. Auger.

Σκαιὸς] Vox ea in hoc sensu nunquam, quod sciam, et quantum memoria suggerit, apud probos Scriptores reperitur. Ea tamen utitur Scriptor recentior, Æneas Gazæus de Anim. Immortalitate, statim ab initio: σκαιὸς δέ τις ἄνεμος τὴν ναῦν ἐκβιάζεται, καὶ προκαταλύει τὸν πλοῦν. Iterumque, Νῦν τῇ τύχῃ συνῆδεν, καὶ οὐκ ἄρα σκαιὸς ἦν ὁ ἄνεμος, ἀλλ' εὐχαρίς τε καὶ τῷ ἔρωτι φίλος. Taylor.

Ἅμα τῇ ἕῳ] Rursus oboritur Quæstio, utrum dicatur, juxta Wolfii interpretationem, λύσαντες ἅμα τῇ ἕῳ, an ἅμα τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν, ut Guillonius, Hieron. Mercurialis, et Nannius. Sed diluitur interventu MSti nostri, ubi legitur εἶτα ἑσπέρας λύσαντες, ἅμα τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν. Taylor.

Λοιμώδη τινὰ νόσον] De hac sive vitiligine, sive elephantiasi, consule doctissimum Hieron. Mercurial. III. Var. Lect. 18. Idem.

Ἐπύθοντο] *Audierant*, consulto scil. oraculo. Vel ἐπείθοντο, *credebant*. Wolf. Forte ἐπείθοντο, quod mox est ὑπελάμβανον. Markland. L. ἐπείθοντο. Auger.

Ταφέντος] Non probabile videtur, quenquam hoc tentare voluisse. Falsum quoque est οὐ πρότερον εἰωθός. Vide Thucyd. lib. III. c. 104. Markland.

Ἐπιφανῶν] Quare autem ἐπιφανῶν? Cum *neminem omnino* fas erat in ea Insula sepeliri, ut liquet ex Plutarcho, in Apophthegm. Lacon. pag. 59. Edit. Maittaire, κατὰ τὸν νόμον τὸν παρ' αὐτοῖς οὔτε αἱ γυναῖκες ἐν τῇ νήσῳ τίκτουσι, οὔτε οἱ τελευτήσαντες θάπτονται. Vide Thucyd. III. 104. et præstantissimum D'Orvillium in Exercitat. de Delo, Cap. 3. Miscell. Observ. Vol. VII. Præterea, ex ea profanatione Pestilentia quæ Athenas depopulata fuerit circa initium belli Peloponnesiaci (atque eam calamitatem nondum ex animis istius Gentis excidisse credere fas est) ortum habuisse dicebatur. Vide Thucyd. l. c. Diodor. Sic. XII. 58. Strabonem Tom. II. pag. 744. Taylor.

λάμβανον. ἡμεῖς δὲ ὥσπερ ὥς τι ἔθνος ἀλλόφυλον, ἢ νῆσον ἐν τῇ ἔξω θαλάττῃ, ἀφιγμένοι, καὶ ἰδόντες ἐξαίφνης [1]χρῶμα ποικίλων ἀνθρώπων, [2]νυκτὸς ἀποφεύγοντες ὠχόμεθα· πυνθανόμενοι ἀλλήλων κατὰ τὸν πόρον, εἰ τὸ χρῶμα ἔχοι ἕκαστος, οἷον ἐκόμιζεν οἴκοθεν, καὶ τὰς τρίχας. ζάλη δὲ καὶ ἄνεμος ἐξώστης ἐμπεσὼν ἀπήνεγκεν ἡμᾶς ὑπὲρ Κρήτην, πλησίον Ψαμαθοῦντος. ὡς δὲ ἐν ἀπόπτῳ ἦμεν ἤδη, ἀντιπνεῖ πνεῦμα Λιβυκόν. εἶτα πνεύσαντος ἡμῖν
727. 1 ἀπαρκτίου, πάλιν [3]ἐφερόμεθα, πέντε νύκτας ἐν θαλάττῃ γενόμενοι, ἐν αἷς προσέσχομεν Ἀθρώνῃ· ἵνα μάθωμεν μὴ πολυπραγμονεῖν, εἴ τις ἐν τῇ ἑαυτοῦ πατρίδι κατὰ τοὺς νόμους, ἢ μὴ, στεφανοῦται. κἀκεῖθεν τέτταρσιν ἡμέραις, ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς Ῥοδίας· ὅπου νοσήσαί μοι συνέβη τὴν περὶ τὸ ἆσθμα νόσον. ὡς δὲ ἐπιμείναντός μου αὐτόθι, οὐκ ἐνεδίδου ἡ νόσος, διέπλευσα εἰς Ῥόδον, καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος· εὐθὺς γὰρ, ὡς διέβην, πολὺ ῥᾴων ἐγενόμην. καὶ ταυτὶ μὲν εἴχομέν σοι τέως ἐπιστέλλειν· τὰ δ' ἄλλα ὡς ἂν ἕκαστα συμβαίνοι, δηλώσομεν. εὐτύχει, καὶ μὴ προσκρουε μήτε τοῖς πλέον σοῦ, μήτε τοῖς ἔλαττον, δυναμένοις.

β'. ΚΤΗΣΙΦΩΝΤΙ.

ΕΠΕΣΤΕΙΛΕΝ ἡμῖν Νικόστρατος, ὁ πρὸς μητρὸς

[1] * χρῆμα ποικίλον [2] νυκτὸς ἔτι ἀποφεύγοντες [3] [ἐφερόμεθα,]

Τῇ ἔξω θαλάσσῃ] *Exteriore mari* Lucan. X. 30. Ita ab Antiquis a Mari Mediterraneo distingui solebat Oceanus Atlanticus, qui præstigiis et portentis, juxta eorum philosophiam, scatebat. IDEM.

Χρῶμα ποικίλων ἀνθρώπων] Interpretatur Wolfius, quasi legisset χρῆμα ποικίλον ἀνθρώπων. Loco trium horum vocabulorum, MS. ποικίλους ἀνθρώπους habet. IDEM.

Ὑπὲρ Κρήτην] D. Lucas vicissim Act. Apost. XXVII. 4, et 7. ὑπεπλεύσαμεν τὴν Κύπρον —— τὴν Κρήτην. Minus recte MS. ἀπήνεγκεν ἡμᾶς εἰς Κρήτην. Vide sequentia. IDEM.

Ἀπόπτῳ] Συνόπτῳ MS. Sed Recepta Lectio præstat:

Ἡμεῖς δ' οὔτ' ἀκτῆς ἐπιβαίνομεν, οὔτ' ἐν ἀπόψει Γίγνομεθ' — Philodemus in Antholog. I. 37. Antholog. H. Steph. p. 53.

Longe errat Guillonius, Græcæ linguæ non bene gnarus: *Jam vero a terra posteaquam fuimus abrepti, atque in altum a conspectu pene omnium abstracti.* Sensus est, *When We were off of Crete, and just within sight of Land.* IDEM.

Πνεῦμα Λιβυκὸν] Mira sane locutio. Ille Ventus, in Templo *Octo Ventorum*, quod Athenis erigebatur, atque hominem Atheniensem latere vix poterat, peculiari et solenni nomine, a regione unde flabat, ΛΙΨ nominabatur. Porro autem Septentrio ille qui statim sequitur, nomen Ἀπαρκτίου in isto Fano non sortiebatur. MS. quidem noster Ἀπάρκτου: Quasi olim fuisset ἀπ' Ἄρκτου. IDEM.

Τόπος] Quare *Urbs*, mi Wolfi? Non enim de *Urbe* aut de *Civibus* loquitur, non de *Incolis*, sed de *Loco* et *Regione*, ejusque temperie. Ut Nannius bene cepit. IDEM.

θεῖος, ὡς ἐπηρεάζοις μὲν εἰς αὐτὸν οὐ μετρίως, ἐμοὶ δὲ ὀνειδίζοις τὴν διὰ σέ μοι συμβᾶσαν συμφοράν. ἐγὼ δὲ θαυμάζω, τί πᾶθὼν ἐξιοῦσι μὲν οἴκοθεν ἡμῖν τοσαῦτα διελέχθης, 15 ὥστε πεισθῆναί με, μηδὲν, ὧν διελέχθης, πεπλᾶσθαί σε, μηδ' ἄλλως φρονεῖν, [1] βλέπων πρῶτον μὲν εἰς τὴν ἐμὴν ξυμφορὰν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον, ἔπειτα δὲ καὶ [2] εἰς τὸ πρόσωπόν σου σκυθρωπὸν ὄν, καὶ ὅμοιον δεδακρυμένῳ· ὥστ' ἔγωγε καὶ ἐπέσκηψα 728. 1 ἐνίοις τῶν προσηκόντων ἡμῖν, εἴ του δέοιντο, προσιέναι σοὶ, καὶ μηδενὸς ὑστερήσειν ὑπεσχόμην αὐτοῖς, καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν ἐχρημάτιζον Ἀθήνησί μοι γενέσθαι πολλάκις· νῦν δὲ οὐκ ἐμπεδὸν ἔτι οὖσιν ἡμῖν, οὔτε διενοχλοῦσί σοι, οὔτε ἄλλῳ τινὶ Ἀθηναίων, [3] ἐπηρεάζεις, οὔτε 5 εἰς τὴν τύχην ἀποβλέπων, οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπί-

[1] βλέποντα [2] εἰς τὸ σκυθρωπὸν σοῦ, καὶ ὅμοιον
[3] ἐπηρεάζεις, καὶ οὔτε ε. τ. τ. ἀποβλέπεις

Β'. Τοσαῦτα] Annon potius τοιαῦτα cum MSto? Idem.

Διελέχθης] Διειλέχθης Ald. iterumque l. proxima. Sed contempleris mecum elegantiam Scriptoris, τοσαῦτα (vel τοιαῦτα) διελέχθης, ὥστε πεισθῆναί με, μηδὲν ὧν διελέχθης, πεπλᾶσθαί σε. Non oportuit tam cito. Jam quid illud, et quam absonum, in Epistola X. Πομπὴ μὲν ἦν Ἀφροδίτης, ἐπόμπευον δὲ αἱ νεκροὶ γεγαμημέναι, καὶ ἡμεῖς τὴν πομπὴν ἐθεώμεθα? Novi quidem Scriptorem, cultum semper habitum et elegantem, qui, si sincerus sit, ab hujusmodi ingeminatione non abhorret; quæ sane castitatem Latini sermonis parum sapit. *Ut illo* STATUAM —— *sibi* STATUAM *fieri voluerit, quæ publice ei* —— *in foro* CONSTITUTA *est. Ex quo factum est, ut postea Athletæ his* STATIBUS *in* STATUIS *ponendis uterentur.* Age, Lector, quis ille tam disertus? Idem.

Βλέποντα πρῶτον μὲν] Ea, quæ sequuntur, arguunt legendum βλέπων, ut non ad Ctesiphontem, sed ad Æschinem referatur. Et [l. 7.] καὶ εἰς τὸ πρόσωπόν σου, σκυθρωπὸν ὄν. Et [l. pen.] οὔτε εἰς τὴν τύχην ἀποβλέπων, non ἀποβλέπεις, quia sequitur ἐπαγκάζῃ. Et [p. 301. l. 2.] τῆς ἐπιτιμίας, non ἐπιθυμίας. Wolf. Insulse Wolfius βλέπων contra fidem auctoritatemque Impressorum et MSti. Lectio illa vulgata sollicitari non debuit, πεισθῆναί με —— βλέποντα. Anne periculum erat, ut quispiam Ctesiphontem intelligeret? An potuit disertius de Æschino dici? Taylor. Imo βλέποντα. Auger.

Τοὺς ἐχθροὺς] In hanc sententiam Demosthenes de Lycurgi liberis Senatui P. Q. A. scribit, οὓς κἂν ἐχθρὸς, εἴπερ μέτριος εἴη, καὶ λογισμὸν ἔχων, ἐλεῆσαι. Lysias item περὶ τῆς δημεύσεως τοῦ Νικίου [pag. Edit. London. 324.] et alibi, πρὸς τὴν Εἰσαγγελίαν κ. τ. λ. [pag. 408]. Guillonius.

Σκυθρωπὸν] Utinam hic Wolfius, qui in investigando felix erat et diligens, elegantior paulo fuisset in emendando! Libri omnes, ἔπειτα δὲ καὶ εἰς τὸ σκυθρωπὸν καὶ ὅμοιον δεδακρυμένῳ. Certe τὸ πρόσωπον pene erat necessarium, attamen, uti ille rem gessit, nulla arte aut ingenio insinuatum, sed vi quadam et imperio intrusum videri potest. Potius, ἔπειτα δὲ καὶ εἰς τὸ σκυθρωπὸν πρόσωπον, καὶ ὅμοιον δεδακρυμένῳ. Iste nimirum est locus, ubi Auctor hanc vocem admitteret lubentissime, et ubi Scriba facillime aberraret. Taylor.

Ἐχρημάτιζον] F. ἔχρηζον, ut Epist. V. pag. 305. l. 4. Markland.

Ἀποβλέπων] Satago in Wolfio emendando, qui Demosthenem Æschinemque emendare profitetur. Nam quæ hic proponitur Conjectura est omnium importunissima. Bene se habet ἀποβλέπεις, et ab omnibus defenditur: scil. ἐπηρεάζεις, οὔτε εἰς τὴν τύχην ἀποβλέπεις —— ἀλλ' ἐπαγωνίζῃ. Quo igitur tendit ista ratiocinatio, *Legendum* ἀποβλέπων, *quia*

νων, ἀλλ' ἐπαγωνίζῃ ἔτι καὶ ἐκπεπτωκόσι τῆς πατρίδος, καὶ ἀπεστερημένοις ἐπιτιμίας, καὶ πόλεως, καὶ πολιτῶν, καὶ φίλων. καὶ ὅσα μὲν εἰς ἐμὲ ἀπόντα ἐβλασφήμεις, σοὶ μὲν ἴσως φέροι ἄν τινα εἰκότως καὶ φθόνον καὶ μῖσος, ὥσπερ ἂν εἴ τινα τῶν τεθνεώτων ἐπιβάλλοιο βλασφημεῖν, ἐν οὕτω χρηστῇ καὶ φιλανθρώπῳ πόλει· ἐγὼ δὲ οὐκ ἂν διὰ τοῦτο φαυλότερος νομισθείην, ἀπὼν ὑπὸ σοῦ λοιδορούμενος, ἀτυχέστερος μέν τοι καὶ ἐλεεινότερος ἴσως νομισθείην. καὶ ποτὲ μὲν οὐδὲν ἥττων ἐγενόμην· νῦν δὲ [1] οὐδεμίαν ὑπὲρ ἐμαυτοῦ φωνὴν ἐκπέμπειν, ἀλλ' οὐδὲ ἀκούειν λοιδορούμενος δύναμαι. τὸ δὲ γέροντα ἐπιεικῆ ὑβρίζεσθαι, μηδεμίαν ἐλπίδα ἔτι ἔχοντα τοῦ δυνήσεσθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα ἐφ' ὑμῖν αὐτοῖς ἀκμὴν ἔχει, τοῖς μηδὲ αὐτοὺς σώζειν ἔτι δυναμένοις· πῶς οὐκ αἰσχρόν ἐστιν; ἀλλὰ μή, πρὸς τοῦ Διός, μή σύ γε, ὦ Κτησιφῶν, μηδὲ εἰ τὰ μάλιστα ἡμᾶς ἀνιᾶν βούλει, καὶ εἰ μὴ πεπλήρωκέ σε μηδὲν τῶν ἡμετέρων κακῶν, μίασμα τοῦτο μὴ προσθῇς σαυτῷ τε καὶ τοῖς παισὶν, οὓς τρέφεις, βοηθοὺς ἔσεσθαί σοι δηλονότι τοῦ γήρως σοῦ προσδοκῶν. καὶ μέμνησο, ὅτι

[1] οὐδὲ μίαν

sequitur ἐπαγωνίζῃ? Sed melius adhuc MS. noster, qui bellulam istam argumentationem confodit totam, νῦν δὲ —— ἐπηρεάζεις, καὶ οὔτε εἰς τὴν τύχην ἀποβλέπεις, οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων, ἀλλ' ἐπαγωνίζῃ ἔτι κ. τ. λ. TAYLOR. M. ἀποβλέπεις. AUGER.

Ἐπιτιμίας] Recte Wolfius, atque ut hominem eruditum decebat. Et in Cod. nostro ita diserte exaratur, cum Impressi undique ἐπιθυμίας. Vide quæ diximus ad initium Demosth. π. Παραπρεσβείας. TAYLOR.

Ἐλεεινότερος κ. τ. λ.] Locus hic ita emendari posse videtur: ἐλεεινότερος ἴσως νομισθείην· καὶ ποτὲ μὲν οὐδὲν ἥττων ἐγενόμην, νῦν δ' οὐδεμίαν ὑπὲρ ἐμαυτοῦ φωνὴν κ. τ. λ. WOLF. Lectum olim constantissime, ἐλεεινότερος ἴσως νομισθεὶς, ποτὲ μὲν οὐδὲν ἧττον, νῦν δὲ οὐδεμίαν ὑπὲρ αὐτοῦ φωνὴν ἐκπέμπειν. Fortasse non longe absum a Mente Scriptoris, dum ita recudo: —— ἐλεεινότερος ἴσως νομισθείην· ὃς ποτὲ μὲν οὐδενὸς ἥττων ἐγενόμην, νῦν δὲ κ. τ. λ. MS. ποτὲ δὲ οὐδὲν ἥττων, sine καὶ et sine ἐγενόμην. TAYLOR.

Οὐδ' ἂν ἥττων] *Non inferior fuissem:* i. e. *par pari retulissem*, vel *referre potuissem*. Nisi hæc omnia sint a Wolfio. MARKLAND. L. οὐδὲν ἂν ἥττων. AUGER.

Ἀκμὴν] An ἀκμὴν alibi ab Æschine in usu sit? MARKLAND. Reprobatur ab Atticistis. Vide Phrynich. et Mœrin. Injuria tamen: Vide Nunnesium ad Phrynich. et Wolfium ad Isocratis Parænesin. TAYLOR. Delendum arbitror ut inutile, et deinde ponendum ἑαυτοὺς pro αὐτούς. AUGER.

Αὐτοὺς] Forte, ἐφ' ὑμῖν αὐτοῖς ἀκμὴν ἔχει, τοῖς μηδ' ἑαυτούς. Ut significet actum esse de se, qui spem suam in Atheniensibus collocarit, qui ipsi in periculo excidii versentur, propter et Macedonum invicta arma, et Oratorum perversa consilia. Sic monet Ctesiphontem, ut sibi caveat, non insultet calamitosis. Et [l. antepen.] μίασμα τοῦτο μὴ προσθῇς, addita negatione. Et [pag. 302. l. 3.] πολὺ, vel πολλῷ, λαμπρότεροι. WOLF.

Αὐτοὺς] Recte Wolfius. In MSto nostro disertissime ἑαυτούς. Nescio quo Ille animo verterit. TAYLOR.

Δηλονότι κ. τ. λ.] Quis non hæc expediverit? Nimirum res ipsa loquitur: Et δηλονότι, quod glossematis solet esse initiale, glossam ipsam prodit. Nequis ignoraret, quo pacto filii Ctesiphontis ipsi

οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν, οὐδ' ἄλλοι πολλοί, καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν πατρίδι, καὶ πολὺ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι. 5

γ'.

ΟΙ ΜΕΝ ἄλλοι πάντες, ὅσοι φεύγουσιν ἀδίκως, ἢ δέονται τῶν πολιτῶν, ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτόντες τούτου, λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας, ὡς φαύλως αὐτοῖς προσφερομένας· ἐγὼ δὲ, ἐπείπερ ἀναξίως ὧν ἐπολιτευσάμην 10 ἠτύχησα, καὶ κατηγορῶν ἄλλων, αὐτὸς ἑάλων, ἄχθομαι μὲν, ὥσπερ εἰκός ἐστιν, ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥς τε ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς, ὁ τὴν Ἑλλάδα ἐλευθερώσας, ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης, ὅτι μικρὸν [1] ὤφλε τῷ δημοσίῳ, γέρων ἐν τῷ δεσμωτηρίῳ ἀπέθανε· ταύτῃ τῇ πόλει, Αἰσχίνην τὸν Ἀτρομήτου 15 φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι τῶν εἰωθότων Ἀθήνησιν [2] ἔπαθον. ἀλλ' ἔγωγε καὶ λαμπρὸν εἰκότως νομίσαιμ' ἂν [3] αὐτὸ γενέσθαι, τὸ μετ' ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις, καὶ ἄξιος τοῦ ὅμοια παθεῖν ἐκείνοις, γεγονέναι.

δ'.

ΕΠΕΙΔΗ σοι δοκεῖ πυνθάνεσθαι περὶ Κλεοκράτους, 730. 1 ὅς τις ἐστὶν ὁ Κλεοκράτης, ἄκουε. παύσῃ γὰρ οὐ προῖκα

[1] ὄφειλε [2] ἔπαθεν [3] * αὐτῷ

essent *præsidio*, curavit ὁ δεῖνα addendum, δικαστότι, τοῦ γήρως σοῦ. IDEM.

Καὶ ἔτι] Forte, οἱ καὶ ἔτι. MARKLAND.

Πατρίδι] Πόλει MS. Et mox Idem πολὺ λαμπρότεροι, juxta divinationem Wolfii: cum in Editis ubique πολλοί. TAYLOR.

γ'. Ἀδίκως] Atque Epist. VII. pag. 307. l. 26. fatetur hanc calamitatem sibi accidisse κατὰ τοὺς νόμους. Alioquin hæc Epistola Æschine non indigna videtur. MARKLAND.

Ἐπείπερ] Commendo ut legeres καίπερ, *tametsi*. TAYLOR. Cui assentitur Augerus.

Ἠτύχησα] *Ipsum* enim *Exsulis* (ut ait Cicero pro Domo sua) *per se Calamitatis, non Turpitudinis est, nec unquam turpe revera putandum, nisi tum demum, cum est peccati pœna.* Demades autem ὑπὲρ τῆς δικαιοπραξίας de Æschine in hæc verba loquitur: Ἡ πεῖνα δ' ἴσως δύσχρηστον μὲν ἔχει τι καὶ χαλεπόν· κεχῴρισται δὲ Αἰσχίνης, ὡς ἂν οἶμαι, τῆς ἀπορίας ἐπὶ πολλῶν οὐ τρόπων κακίαν, ἀλλὰ τύχης ἀγνωμοσύνην ἐλεγχούσης. GUILLONIUS.

Μικρὸν] Non summa erat *exigua*. Nimirum L. Talenta. TAYLOR.

Ἔπαθον] L. Ἔπαθεν. IDEM. AUGER.

Ἐν ἀδοξίᾳ] *Recte sic legi puto. Nam et iniquum exsilium vulgo ἀδοξία habetur: εὐδοξία vix apud Sapientes.* WOLF.

Ἐν ἀδοξίᾳ] Ironice. MARKLAND.

Αὐτὸ] M. αὐτῷ, et post γενέσθαι ponerem παρὰ τοῖς ἔπειτα ἀνθρώποις, quod transferrem. AUGER.

δ'. Παύσῃ γὰρ οὐ προῖκα πολυπραγμονῶν] Τὸ οὐ videtur παρέλκειν. Si legas πεύσῃ γὰρ, *cognosces enim te non frustra inquirere*, constructio dura est, πολυπραγμονῶν, pro ὅτι πολυπραγμονεῖς. Neutra lectio placet. WOLF. *Desines enim gratis inquirere.* Clarius, *non enim gratis desines inquirere;* i. e. non desines diligenter inquirere, antequam mercedem ali-

πολυπραγμονῶν, οὐδ' ἄπει πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων
5 οὐκ ἐν ἀφανεστάτοις· Ἀρίφρονα τὸν ἐκ Δαμαγήτου εἴ που πυν-θάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. ἀλλ' ὅπως μὴ γέλωτα ὀφλισκάνῃς ζητῶν, ὅς τις ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ γράμμα· καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελα-
10 νίππου ἑκάστοτε ἀκούεις λέγοντος, ΑΙ ΤΕ ΛΙΠΑΡΑΙ ΚΑΙ ΑΟΙΔΙΜΟΙ ΕΛΛΑΔΟΣ ΕΡΕΙΣΜΑ ΑΘΑΝΑΙ, καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τὸ ἔπος τοῦτό ἐστι λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ ὑμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν, μετὰ τοῦ εἰκόνι χαλκῇ τιμῆσαι· καὶ ἦν αὐτὴ
15 καὶ εἰς ἡμᾶς ἔτι, πρὸ τῆς βασιλείου στοᾶς, καθήμενος ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος, διάδημα ἔχων, καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. οὗτος [1]δὲ ὁ Πίνδαρος Δαμάγητον ᾄδει ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει δέ που ὁ αὐτὸς Πίνδαρος, καὶ τὰ περὶ τοὺς

[1] δὴ

quam tibi dedero. Usitatior Constructio fuisset, οὐ πρόϊκα γὰρ παύσῃ πολυπραγμονῶν. MARKLAND.

Οὐκ ἐν ἀφανεστάτοις] Bene est. Novi figuram dicendi. Erudite de ea disserit Hermogenes in capite extremo libelli π. μεθόδ. δεινοτ. Adde viros doctos qui elucidarunt ea verba quibus Longinus Mosen ornavit, οὐχ ὁ τυχὼν ἀνήρ. Et confer Achill. Statii Observat. C. 19. Notas ad Leptineam Demosthenis Tom. II. pag. 401. H. Stephanum de Dialect. Attic. aliosque. Istius tamen usus certe hic aliquid habet duriusculum. *Familia ejus non est inter obscurissimas.* Teneo. Et ferri potest, non multum laudari. Verum cum addat, τῶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις, vereor, ne hic Scriptor solus ita fuerit locutus. *Gens omnium præcellentissima* recte diceretur: non utique *Gens omnium non infima aut obscurissima.* TAYLOR.

Αἴρει Πινδαρος] Olympiorum Ode VII^ma, quam tanti æstimatam fuisse scribit Gorgon Scholiastes, ut in Lunaris Minervæ templo, in honorem vel Pindari, vel Diagoræ, aureis literis scripta, consecrata fuerit. Damagetum autem a justitia Pindarus laudat, quem ᾄδοντα δίκᾳ, τοῦτ' ἔστιν ἀρέσκοντα τῇ δίκῃ dicit, hoc est, Æquitatis et Justitiæ observantissimum. GUILLONIUS.

Τὸ γράμμα] Videtur esse Explicatio vocis τουτί. MARKLAND.

Γράμμα] Vox sane suspecta. Vide eruditissimum virum, Lud. Casp. Valckenaer. ad Ammon. I. Animadv. 13. qui etiam legit τουτουτὶ l. 5. pro τουτὶ, i. e. *hujus* Pindari. TAYLOR.

Τουτὶ μὲν — τὸ γράμμα] *Hanc lectionem, hanc doctrinam,* i. e. præceptiones quæ ad Pindarum pertinent. AUGER.

ΑΙ ΤΕ κ.τ.λ.] Hunc versiculum, cujus meminit Æschines, in quatuor libris qui conservati sunt, Olympiis, Pythiis, Nemeis, et Isthmiis me legisse non memini. Scripsit vero et alia opera, quæ Suidas recenset. GUILLONIUS.

Οὗτος δὲ] Nimis arroganter, et pari cum infelicitate, ita excudit, lectore non admonito, Wolfius. Editi omnes, cum MSto, οὗτος δή. Ille, *inquam,* Pindarus ——. TAYLOR. L. δή. AUGER.

Ἄδει] Hic rectius omnino se gessit. Adjuvatur etiam a membranis, cum ᾄδει pro ἄγει reponit. TAYLOR.

Διαγορείους, καὶ τὰ περὶ τὴν πρεσβύτιν, ἧς τὸ μητρῷον αὐτοῦ γένος ἅπτεται. καὶ εἰ μὴ σφόδρα ἤδειν ποιητῶν 731. 1
ὑπέρφρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα, καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον περιέποντα, κἂν ἀποχρῆν ὑπελάμβανόν σε ὑπομνῆσαι μόνον τὰ περὶ τοὺς Διαγορείους, εἰπὼν ἔπη Πινδάρου· νῦν δὲ οἶδα ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. δοκεῖ οὖν μοι ἀνάγκη εἶναι διηγήσασθαί σοι τὸ διήγημα τοῦτο. ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ [1] προσῆκε Κλεοκράτει. λέγεται γάρ ποτε γυνὴ πρεσβύτις Ὀλυμπιάσι παρελθοῦσα εἰς τὸ στάδιον, ἑστάναι τε ἅμα τοῖς ἀνδράσι, καὶ θεάσασθαι τοὺς ἀγωνιζομένους. ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν, ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον; ἀποκρίνασθαι, τίνι γὰρ ἄλλῃ τοῦτο γυναικὶ δέδωκε καυχήσασθαι οὕτως ὁ θεός; ὅτι καὶ πατέρα καὶ τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας [2] ἔχω, καὶ υἱὸν ἐπ' Ὀλύμπια [3] ἄγω. ταύτης οὖν τῆς πρεσβύτιδος, καὶ τούτου τοῦ γένους, ἀπορρώξ ἐστιν ὁ Κλεοκράτης· ὡς ἔστι μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλομαι λέγειν· [4] ἵνα μὴ, οὐ μηνύσαι σοὶ, ὅπερ ἠξίωσας, ὅς τις ἐστὶν ὁ Κλεοκράτης, βούλεσθαι μόνον, ἀλλὰ καὶ ἐγκεκωμιακέναι αὐτὸν, ὥσπερ καὶ Θρασύμαχος τὸν ξένον, συντετάχθαι, καὶ ἀποτίνειν ταύτην τὴν χάριν [5] τῷ λαμπρῶς ἐστιᾶσθαι, δοκῶ. τοσοῦτο μέν τοι εἴποιμ' ἂν, ὅτι ἡ πρεσβύτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτην, πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ, ἢ ἐπὶ τοῖς πέντε Ὀλυμπιονίκαις, ἐσεμνύνετο.

[1] προσῆκεν [2] ἔχει [3] ἄγει [4] [ἵνα] [5] τοῦ

Διαγορείους] Dorieus Olympionica Olymp. LXXXVIII. 1. Thucyd. III. 8. Dorieus Diagoræ Fil. Xenoph. Hist. Gr. I. 1. init. Vid. Diodor. Sic. XIII. 45. Pausan. V. 6. et VI. 7. Idem.

Ταύτην τὴν λύραν] *Hanc lyram*, i. e. hos versus lyricos. Auger.

Ἀνάγκη] Editi ἀνάγκην. MS. ita, ut Wolfius dedit. Proxime προσῆκον omnes, Wolfio solo excepto. Taylor. M. προσῆκεν. Auger.

Γυνὴ πρεσβύτις] Pindari Scholiastes in Olymp. Oden VII^mam scribit, Aristopateiram Diagoræ filiam, licet receptum non esset mulieres ad spectacula Olympica admitti, patris tamen et fratrum statuis ostensis, Hellanodicæn legem vicisse, atque ad ea introductam fuisse. Quanquam Ælianus Lib. X. Var. Hist. tradat, Pherenicen feminam filium suum ad Olympicum certamen duxisse, ac prohibentibus eam spectare qui præsidebant, licere id sibi persuasisse, quæ patrem et fratres tres haberet Olympionicas. Guillonius.

Ἔχω ——— ἄγω] Iterum Wolfius pede silenti. In Exemplaribus omnibus ἔχοι et ἄγοι. Taylor.

Ἵνα] Rursum Wolfius, lectore non admonito, nulla necessitate adductus, et contra Codd. fidem, vocem istam insinuavit. Idem.

Συντετάχθαι] Pro προῃρῆσθαι, *constituisse laudare*. Wolf.

Τῷ] Τοῦ λαμπρῶς ἐστιᾶσθαι in Aldino, in Lovaniensi, et in MSto nostro. Taylor.

ε.

732. 1 Ο ΜΕΝ Ἰουλιάδης, ὦ μάλιστ' ἐπεπτοίθεις, οὔτε, ὅτε ἀφίγμεθα εἰς Ῥόδον, παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν· οὔτε ἐπανελθὼν εἰς Ῥόδον, περιττῶς ἠσμένισεν ἡμᾶς, ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα προστάξαι λέγειν, εἴ τινων χρή-
5 ζομεν. ὁ δὲ Κλεοκράτης οὐδὲ, μὰ τοὺς θεοὺς, ἐπιστεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας, [1]ὅσῃ κέχρηται περὶ ἐμέ. καὶ γὰρ οἰκίαν παρεσκεύασέ μοι δημοσίᾳ δοθῆναι, καὶ χωρίον ἐν Καμείρῳ, καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια, καὶ εἰς ἐνιαυτὸν ἄφθονα, οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ Τεύθραντι καὶ Ὁπλι-
10 στίᾳ· καὶ τὰ μὲν ἄλλα εἰ καὶ φαυλότερα τῶν Ἀθήνησιν, ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἴων παρόντων οὐδὲν ἂν τῶν ἐκεῖ δεηθείημεν· οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν, καὶ ἐκ στροβίλου ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐν τύποις τραγήματα· ὧν καὶ πέπομφά σοι. ταῦτα δ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους, ὅσοις
15 [2]ἐγὼ οὐχ ὅπως ἐμαυτὸν, ἀλλὰ καὶ πάντας Κοθωκίδας διαρκεῖν ἂν ἠδυνάμην· καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα δηλοῦν ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ ὑπερασπάζεσθαι, μικρολογίας μέν τινος εἶναί φημι καὶ ἀπειροκαλίας· φιλο-

[1] ὅσῃ

[2] ἐγὼ μεδίμνοις οὐχ

ε. Hæc videtur Epistola causam præbuisse ei quæ antecedebat. Multum enim *hic* de liberalitate Cleocratis: *ibi* respondet amico sciscitanti quisnam fuerit ille Cleocrates. Idem.

Ῥόδον —— Λίνδον —— Καμείρῳ] Diodorus Siculus ad Olymp. XCIII. 1. Οἱ δὲ τὴν Ῥόδον νῆσον κατοικοῦντες, καὶ Ἰήλυσον, καὶ Λίνδον, καὶ Κάμειρον, μετῳκίσθησαν εἰς μίαν πόλιν, τὴν νῦν καλουμένην Ῥόδον. Non ergo, ut videtur, exstabant Lindus et Camirus, postquam exstiterit Rhodus. Adde *Cononem* apud Photium, Cod. CLXXXVI. Idem.

Πεποιημένα ἐν τύποις τραγήματα] Facta in formulis bellaria. Fortasse quod in capsulis aut vasculis quibusdam vel asservata, vel expressa fuerunt. Sicut et hodie moris est, impressis etiam imaginibus quibusdam. Wolf.

Πυρῶν μεδίμνους] F. καὶ τοσούτους πυρῶν μεδίμνους, ὅσοις ἐγὼ οὐχ ὅπως ἐμαυτὸν, ἀλλὰ καὶ πάντας Κοθωκίδας διάγειν (vel διατρέφειν, pro διαρκεῖν) ἂν ἠδυνάμην. Idem. Post μεδίμνους subaudi τοσούτους. V. seq. vel pro διαρκεῖν legendum διατρέφειν, vel διαρκεῖν hoc sensu accipiendum. Auger.

Ὅσοις] Ὅσοις ἐγὼ μεδίμνοις Omnes. Recte fortasse ejecit Wolfius. Illud minus recte, quod non mentionem fecerit. In proximis, cum διαρκεῖν mutare voluit in διάγειν, vel διατρέφειν, stylum Scriptoris sui non recte cepit. Græcum videbatur Græculo Sophistæ διαρκεῖν Κοθωκίδας, pro *sustentare*. Hæc sunt illis hominibus offendicula, ut *Neutra* pro *Activis*, et vicissim, usurparent. Ita Epist. 9. ineunte, Morbus μηκύνειν dicitur, quod ab aliis nunquam dici observatum est. Aliquando miscet simul. Sic p. 306. l. 9. ἀσμενίζω τῇ συμφορᾷ, qui ineunte eadem Epistola, περιττῶς ἠσμένισεν ἡμᾶς. Similiter et illud ex hoc genere insolentius dictum, τὴν ἀκμὴν συνεταιζεῖν, p. 308. l. 6. Taylor.

φρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα καλλίω, συῶν τε ἀγρίων, καὶ δορκάδων τῶν πέραθεν ἀπολαύσματα· ἔτι δὲ καὶ αὐτὸς 733. 1
ἡμῖν σύνεστιν ὁσημέραι, καὶ μεταδίδωσι τῆς αὐτοῦ σοφίας, ἡ σοφωτέρα ἢ καθ' ἡμᾶς ἐστίν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται, σοφία, καὶ οὐχ, ὥσπερ οἱ ἄφρονες, πεῖρα διδασκόμενος. οὐ γὰρ πολιτεύεται. καὶ ὅσον γ' ἐπὶ Κλεοκράτει, οὐδεμιᾶς πόλεως ἄλλης, 5
οὐδὲ ἀνθρώπων ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ, καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολιτείας, καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα, [1] ὥστ', ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης, [2] ἀπηλλάχθαι δοκεῖν τῆς 10
τοῦ πολιτεύεσθαι ἡδονῆς. ᾧ καὶ, ὅταν ὁ νοῦς ἐπικρατῇ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς, ἣν φεύγω, φαίνομαι· ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τε καὶ γνώμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον, ἀλλὰ καὶ συγγενῶν, καὶ ἐκκλησίας, καὶ Κολυττοῦ, ἐν ᾧ πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ Ἀλῆσι χωρίου, καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν γενομένων, μεταῤῥεῖ 15
ἅπαν τὸ αἷμα ἄλλοσέ ποι τῶν σπλάγχνων πάλιν, καί μοι δήποτε καὶ λοιδορίαι, αἷς ἐλοιδορούμην ὑπὸ Δημοσθένους, ἥδισται δοκοῦσι, καὶ σκώμματα, ἐφ' οἷς οὐδεὶς ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. ἀλλὰ γὰρ ἅλις μὲν ἡμῖν δακρύων. σὺ δ' εὐτυχοίης, καὶ μὴ μόνον πολιτείαν 20

[1] ἄσθ'] καὶ [2] ἀπηλλάχθαι * ποτὲ τῆς τ. π. ἡ * δοκῶ, καὶ, ὅταν

Ἢ καθ' ἡμᾶς] F. τῆς καθ' ἡμᾶς. Nisi fuerit ἢ σοφώτερος ἢ καθ' ἡμᾶς. MARKL.

Φυλάττεται] Pungere admonuit Cl. Marklandus post hanc vocem. Id sane præstat. Corrige itaque Versionem Wolfii. TAYLOR.

Καὶ, ὅπερ —] Ὥσθ', ὅπερ ——. WOLF.

Ὑπὲρ ἄλλης ἡδονῆς] Τῆς τῶν ἀφροδισίων. Quem locum ἐκ τοῦ ἃ Πολιτειῶν Platonis in Catone citavimus. IDEM.

Ὥσπερ κυνὸς λυττώσης] Error memoriæ. Plato de Rep. I. pag. 10. Edit. Mass. ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών. Cicero de Senectute c. 14. *Libenter vero istinc tanquam a domino agresti ac furioso profugi.* Non a Cane. Sophoclis dictum hoc apud utrumque Platonem et Ciceronem. MARKLAND.

Πολιτεύεσθαι ἡδονῆς] Post ἡδονῆς transfero, quod est infra v. 21. καί μοι δήποτε usque ad ἀλλὰ γὰρ - - - Hæc translatio mihi visa fuit necessaria, ut aliqua sit in rebus connexio. Deinde pro ᾧ καὶ lego οὐκοῦν *igitur*. AUGER.

Ποιεῖ] Δοκεῖν. WOLF.

Ἀλῆσι χωρίου] Ἀλησιχωρίου Editi: Ἀλσιχωρίου MS. Recte autem edi curavimus. Ἀλαὶ erat Δῆμος Atheniensium, ut multa Monumenta testantur: atque hunc fœdum errorem ante me sustulit doctissimus Meursius in libro de Populis et Pagis Atticis. TAYLOR.

Ἔξω Κτησιφῶντος] Quære, an alibi unquam ita scribat Æschines. Vide Epist. 12. p. 318. l. 6. MARKLAND.

ἅπασαν, ἀλλὰ καὶ Λεωτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως, καὶ ὅτι τἄλλα τοιοῦτός ἐστιν, ὅτου
734. 1 περιεῖναι μὲν [1]μηδένα λαμπρότερον ποιεῖ, ἡττᾶσθαι δὲ, ἀδοξότατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ συνέλθῃς ἐκ τύχης, καὶ καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν, ἂν ἰσχύῃς, καὶ γελᾶν. ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν [2]δίκην, τὸ, πᾶσιν ἀνθρώ-
5 ποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος. σὺ δὲ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτὲ, καὶ παρασχὼν σεαυτὸν ἡμῖν ἰδεῖν, ἐπανήκοις πάλιν.

[3]ς'.

ΑΡΙΣΤΩΝ οὗτος, ὁ κομίζων σοὶ τὴν ἐπιστολὴν, ὁ
10 πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. σκόπει [4]δὲ ὅπως αὐτὸν [5]δέξῃ φιλοφρόνως. ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν [6]δίαιταν, καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις, ὡς μάθῃ, [7]ὡς οὐ παντελῶς ἔρημον φίλων [8]ὑπέλαβεν,
15 ἀλλ' ἔστι τὶς Ἀθήνῃσιν Αἰσχίνου λόγος καὶ μνήμη.

ζ'. ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

ΕΠΥΘΟΜΗΝ τὰ ῥηθέντα Μελανώπῳ πρὸς ὑμᾶς, καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν· Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον [9]πρὸς ὑμᾶς νομίζω τοῖς βεβιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι
735. 1 καὶ τῆς πατρίδος ἐστερημένος, ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ γὰρ, ὦ Μελάνωπε, κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ· φημὶ μέν τοι βοηθῶν ταῦτα [10]τοῖς νόμοις πεπονθέναι, καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ' αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τὸ δε-

[1] * μηδενὸς λαμπρότερον, ἡττᾶσθαι [2] δίκην * τῷ πᾶσιν [3] ς'. ΦΙΛΟΚΡΑΤΕΙ.
[4] δὲ] οὖν [5] ὑποδέξῃ [6] δίαιταν. καὶ * πρεπόντως ἡμῖν καὶ τὰ [7] ὅτι
[8] ὑπεδέξατο [9] Desunt πρὸς ἡμᾶς. [10] τοῖς νόμοις ταῦτα

Ποιεῖ] Iterum ex incude Wolfiana. Deest enim in omnibus. Tale tamen aliquid desideratur, ni legere malis μηδενὶ λαμπρότερον. TAYLOR. L. μηδενὸς, delendo ποιεῖ. et v. 7. τῷ pro τό. AUGER.

ς. Πρέπων ἡμῖν] Quære, quid velit, per πρέπων ἡμῖν. An, *similis nobis*? Sed hoc Poeticum est. Euripid. Alcest. v. 1121. εἴ τι σοι (vel σῇ) δοκεῖ πρέπειν γυναικί. MARKLAND.

Ὡς οὐ] Rectius MS. ὡς μάθῃ, ὅτι οὐ παντελῶς κ. τ. λ. TAYLOR. AUGER.

δυστυχηκέναι πολιτευομένῳ κοινόν ἐστι πρὸς Θεμιστοκλέα, 5
καὶ Ἀριστείδην, καὶ ἄλλους πολλοὺς τῶν [1] λαμπροτάτων
ἐν τῇ πόλει γενομένων· σοὶ δὲ, τὸ μέχρι μὲν χθὲς καὶ
[9] Circa hunc locum deest aliquod verbum, e. c. κατέστησαν, vel simile quoddam, sive ab ipso librario codicis Meadiani, sive a Tayloro, omissum.

[10] τελεσθέντες dat apogr. Tayl.

[11] Num ἦσαν δὲ ἕξ, οἱ τοὺς παρεκκλησιάζοντας (vel τοὺς οὐκ ἐξὸν ἐκκλησιάζ.) erant sex magistratus, (vel honorati) qui eos multarent, qui secus atque fas esset, vel illicito modo, concioni interessent, ut e. c. capite minuti, quibus foro interdictum esset. Tametsi fatendum mihi est, de his seviris mihi nihil alibi occurrisse.

[12] F. πολεμίους, vel τοὺς πολεμίους.

[13] Apogr. Tayl. περιεστίαρχος. Sed paulo post consentit apographo Griesbachiano et Goensiano.

κῆρυξ, ὃς θυμιατεύσας πρότερον καὶ αὐτὸς τὴν ἐκκλησίαν, ὕστερον ἐβόα [14] πρώτη φωνῇ, τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων Ἀθηναίων; εἶτα εἰ μέν τις ἐβούλετο [15] τοῦτο λέγειν, ἀνίστατο· εἰ δὲ ἐπὶ πολὺ βοῶντος οὐδεὶς ὑπήκουσε, δευτέρᾳ φωνῇ ἐβόα, τίς ἀγορεύειν βούλεται τῶν πάντων Ἀθηναίων; ἐκέχρητο δὲ ὁ περιστιάρχος χοίρῳ καὶ τοῖς τοιούτοις ἀκαθάρτοις, διὰ τούτων τοὺς ἀκαθάρτους δαίμονας καὶ τὰ πνεύματα [16] τὰ πολλάκις ἐνοχλοῦντα ταῖς διανοίαις τῶν ἀνθρώπων, ὥςτε πολλάκις ἄλλως βουλεύεσθαι, ἕλκων πρὸς τὰ θύματα καὶ ὥςπερ ἀποχαρίζων τῆς ἐκκλησίας, ἵνα καθαρῶς βουλεύσωνται. ὁ δὲ κῆρυξ διὰ τῶν θυμιαμάτων ἐπικαλῶν τὰ θεῖα [17] τοῖς ὁμοίοις τὰ ὅμοια, ἵνα διὰ τῆς τούτων παρουσίας ἀγαθόν τι ἔχωσιν οἱ Ἀθηναῖοι βουλεύεσθαι. B. Ὁ λεγόμενος περιστίαρχος ἱερεῖον λαβὼν τούτῳ καθαίρει τὴν ἐκκλησίαν. τοῦτο λέγεται καὶ καθαρμὸς καὶ καθάρσιον. Ἀριστοφάνης Ἀχαρνεῦσι· πάριθ' ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος. ἔθος δὲ ἦν καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα μικροῖς χοιριδίοις, ἃ καθάρσια ἐκάλουν, καὶ προσηγορεύοντο οἱ περικαθαίροντες περιστίαρχοι. τὸ δὲ καθάρσιον ἦν χοῖρος ἐσφαγμένος, δι' οὗ καθῆραν τὴν ἐκκλησίαν. M.

P. 18. v. 2. προέδρους] Πρόεδροί εἰσιν οἱ ἐν τῇ ἐκκλησίᾳ προκαθήμενοι. M.

— ibid. v. 3. ἱερῶν τ. π.] Ὅτι τὰ ἱερὰ πρῶτον εἰσεκάλουν. οὐκοῦν καὶ περὶ ἱερῶν καὶ περὶ κηρύκων. καὶ γὰρ οὗτοι ἱερεῖ. εἶτα πρέσβεων καὶ τῶν ἄλλων ὁσίων. ὅσια δέ ἐστι τὰ μὴ ἱερά. ὥςτε πρῶτον τὰ ἱερὰ, δεύτερον (sic) δημόσια, τρίτον ἰδιωτικά. ὅσια καλεῖ τὰ δημόσια. M.

— ibid. v. 6. πάντες εἴπωσι] Οὐχ ὅτι πάντες ἔλεγον, ἀλλ' οἱ βουλόμενοι. M.

P. 19. v. 1. ἡ δὲ τόλμα] Τὸ θαρσέως (sic) τι ἢ τολμηρῶς ποιεῖν. M.

— ibid. v. 4. ἐπειδὴ ὀνόμασιν (sic)] Ἐπεὶ δὲ [18] οἱ πρεσβύτεροι ὡς ἔμπειροι πραγμάτων νῦλαβοῦντο συμβουλεύειν [19] ἀποτυχίας γενομένης κριθῶσιν (sic), διὰ τοῦτο αὐτὸς ὁ νόμος καλεῖ, ἵνα ἐξ ἀνάγκης ἀναστάντες δημηγορήσωσιν. ἀλλὰ καὶ τοὺς ἄλλους καλεῖ, φησίν. ἐκείνους μὲν οὖν ἀορίστως, τούτους δὲ ὡρισμένως. M.

— ibid. 7. προτρέπει] Εἰ γὰρ ἡ πόλις αὐτοὺς τιμᾶσα πρώτους καλεῖ, καὶ οἱ νέοι αὐτοὺς τιμήσουσι. M.

— ibid. 12. ἀνόμαιον] Κατὰ τὸ γένος τῆς κακίας καὶ τῆς ἀρετῆς, οὐ γὰρ δίπου τῆς δικαιοσύνης καὶ τῆς ἑταιρήσεως. M.

— ibid. 17. ὅτι πάντες (sic)] Οἱ πάντες νῦν ἐπεὶ τοῦ οἱ πολλοί.[20] M.

— ibid. 18. τὴν Σόλωνος εἰκόνα] Ἀνετέθη ἡ Σόλωνος εἰκὼν οὐκ ἐπὶ τῷ ἐν κόσμῳ λέγειν, ὡς φησιν Αἰσχίνης, ἀλλ' ἐπεὶ τὰ ἐλεγεῖα οὕτως ἀπήγγελλε. Δημοσθένης μέντοι φησὶ νεωστὶ πρὸ πεντήκοντα ἐτῶν ἀνατεθεῖσθαι ταύτην τὴν εἰκόνα. λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορεῖν. B. M.[21]

P. 20. 11. οὐκ ἀπελαύνει] Ταῦτα προσαγωγά ἐστι πρὸς τοὺς δικαστὰς, ἰδιώτας ὄντας. M.

— ibid. 13. τέχνην] Τοῖς Ἀθηναίοις ἐνομίζετο τέχνην τινὰ ἐπιτηδεύειν. οὐχ οὕτως τοῖς Λακεδαιμονίοις. τοῦτο [22] γὰρ αἰσχρὸν ἦν καὶ δουλοπρεπές. B.

— ibid. 15. ἐπερωτᾷ] Διὰ τοῦτο [23] καλεῖν τὴν ἐξουσίαν δηλῶν. M.

— ibid. pen. τίθεσαι] Τίθεσθαι λέγειν [24] καὶ ἐπὶ τοῦ ἀποτίθεσθαι τὰ ὅπλα, καὶ τοῦ περιτίθεσθαι καὶ ἐνδύεσθαι, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις ἐν τῷ δευτέρῳ. ἐνταῦθα δὲ περὶ [25] τοῦ ἀποτίθεσθαι λέγειν. M.

P. 21. 1. πεποιεμένος] Πεποιεμένος ἐστὶν ὁ πολλάκις ἁμαρτὼν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ. ἡταιρηκὼς δὲ ὁ προσάπαξ. M.

— ibid. 6. οἰκήσαντα] Τουτέστι διοικήσαντα. οὕτως Ἰσοκράτης· οἰκεῖ τὴν πατρῴαν οὐσίαν. B.

— ibid. 14. καταγελάστως] Ἀσελγῶς. B.

— ibid. 20. ἐπαγγειλάτω] Ἐπαγγελία ὄνομα δίκης κατὰ τῶν ἡταιρηκότων. B.

— ibid. antep. προσέθεσθε] Ἤγουν προσεννομοθετήσατε. ΑΛΛΩΣ. Ὑμεῖς δὲ προσέθεσθε

[14] πρώτη φωνῇ] Hæc duo vocabula, tametsi ab omnibus tribus, quæ penes me sunt, apographis, Taylorano, Goensiano et Griesbachiano, absunt, tamen hic interponere sum ausus hac de causa. In Apographo Goeusiano ad voc. ἐσκέψατο (p. 4. 10. ed. Steph.) adscripta erant illa duo, quæ dixi, vocabula. quæ quoniam aliena sunt illo loco, retuli huc, quo pertinent. id quod insequentia docent, nemine futuro (aut multum fallor), qui factum improbet.

[15] τοῦτο] Sic omnes mei. Sed leg. est τούτων.

[16] Hoc τὰ de meo addidi.

[17] In tribus apographis eadem hic est lacuna, verbo συνῆψε vel συνῆγε, vel simili facile explenda.

[18] Lege ἐπεὶ δὲ (sic), sive ἐπειδὴ οἱ πρ.

[19] Videtur hic ἵνα μὴ deesse.

[20] Pone ἐπεὶ adscripserat Taylor (f. ἀντὶ). videtur hoc illi substitutum isse. Sed propius ad literam fuerat ἐπί.

[21] Consentit in omnibus scholiastes Meadianus Bernardino hoc in scholio, præterquam in duobus postremis vocabulis, quæ sic dat: περισωσάμενος δημηγορῆσαι.

[22] Aut τούτοις γὰρ αἰσχρὸν leg. aut τοῦτο γὰρ παρ' αὐτοῖς αἰσχρόν.

[23] τοῦτο] Sic Apogr. Tayl. Lege τοῦ simpliciter.

[24] λέγειν] Scil. χρὴ, vel εἰώθασι, vel tale quid.

[25] περὶ] Malim ἐπί.

καὶ νόμον καθ' ἑκάστην ἐκκλησίαν ἀποκληροῦν. τὰ δὲ ἄλλα διὰ μίσου. M.

— ibid. παγκράτιον] Ψεύδεται. οὐ γὰρ [illegible] τάξησθε.[26] M.

P. 22. 10. ἀνεκτοὶ] Δύναταί τις φέρειν καὶ ἀνέχεσθαι. τιμωρουμένους γὰρ αὐτοὺς καὶ μηκετι ἐνοχλοῦντας τῷ βήματι δυνάμεθα φέρειν. M.

P. 24. 10. βούλομαι] Οὕτω γὰρ ἐπηγγείλατο πράττειν περὶ τῶν νόμων ἐρεῖν, εἶτα ἐξετάσαι τοὺς τρόπους Τιμάρχου. M.

— ibid. 13. δέομαι] Τὸ σχῆμα περιδιόρθωσις. εἰδὼς δὲ αὐτῷ χρήσθαι, ἵνα μὴ δόξαιμι ἀνελεῖν τι, φησὶ ὅ δυσκόλως διάκειται οἱ ἀκούοντες. τὸ δ' αὐτὸ καὶ μετὰ τὰ πράγματα λέγει ἐπὶ [illegible] καλεῖται. πλειόνας τὸ νομικὸν ζήτημα, τὸ τῆς παραγραφῆς, εἰσβάλλει εἰς τὸ στοχαστικὸν, εἰ ἠπάτηκεν. M.

Ibid. pen. τῶν τριάκοντα] Οἱ λ τύραννοι διὰ Λακεδαιμονίων κατασταθέντες, καὶ τὴν πάτριον πολιτείαν τῶν Ἀθηναίων καταλύσαντες, ἐλυμήναντο τοὺς Δράκωνος καὶ Σόλωνος νόμους. ἀπολαβὼν οὖν ὁ δῆμος τὴν ἐλευθερίαν, εἵλοντο πολίτας, ὅσους δήποτε, τοὺς ζητήσοντας καὶ ἀναγράψοντας τοὺς διεφθαρμένους τῶν νόμων. τότε ἔψηφισατο καὶ,[27] νόμους εἰσφέρειν ἀντὶ τῶν ἀπολωλότων, ἐπ' ἄρχοντος Εὐκλείδου, ὃς πρῶτος ἦρξε μετὰ τοὺς λ. ἐκεῖνοι γὰρ τόν τε δῆμον ἐξέβαλον, καὶ τῶν δημοτικῶν τοὺς ἐπιφανεῖς, τοὺς μὲν ἐβασάνισαν, τοὺς δὲ ἐφυγάδευσαν, ἀφελόμενοι τὴν οὐσίαν αὐτῶν, τοὺς δὲ ἀπεκτειναν ἀκρίτους. ἐπειδὴ δὲ αὐτοὶ καθηρέθησαν, ψήφισμα ἐτέθη περὶ τοῦ ἀμνησικακεῖν. ὥσπερ οὖν τὰ ἐπ' ἐκείνων ἀνεξέταστα καὶ ἀνέγκλητα ἐγένετο, οὕτω καὶ τὰ παιδὶ ὄντι πραχθέντα Τιμάρχῳ ἀφιέναι φησὶν Αἰσχίνης. B. Οἱ λ τύραννοι μετὰ τὴν Πελοποννησιακὴν γενόμενον[28] πόλεμον Ἀθήνησιν, ἐπειδὴ καθηρέθησαν, θρασυβούλου τοῦ ἀπὸ Φυλῆς ἀγωνισαμένου,[29] ψήφισμα ἐτέθη, ἀμνησικακεῖν τῶν ὑπαρξάντων ἀπ' αὐτῶν. ὥσπερ ὖν[30] τὰ ἐπὶ τούτων ἀνεξέταστα, οὕτω καὶ τὰ ἐν παιδὶ πραχθέντα Τιμάρχῳ. M.

— ibid. ult. Εὐκλείδου] Ἄρξαντος οὖν Εὐκλείδου μετὰ τῶν λ κατάλυσιν,[31] τὰ περὶ[32] αὐτῶν πραχθέντα ἄκυρα εἶναι ἐψηφίσαντο Ἀθηναῖοι. M.

— ibid. προθεσμία] Ἤγουν χρόνος, καταχρηστικῶς. M.

P. 25. 4. οὗτος γὰρ] Ἐνταῦθα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. M.

— ibid. 20. κιθαρῳδὸς] Διαφέρει κιθαρῳδὸς κιθαριστοῦ, τῷ τὸν μὲν κιθαριστὴν κεχρῆσθαι τῇ κιθάρᾳ μόνον, τὸν δὲ κιθαρῳδὸν μετὰ τῶν χειρῶν καὶ τῇ φωνῇ. διὸ καὶ κιθαρῳδὸς λέγεται. M.

— ibid. pen. ἀνέστησεν] Ὡς νῦν λέγομεν ἀνεκάθισεν. καὶ Δημοσθένης· ἀνέστησεν ἂν[33] αὐτὸν ἀπὸ τῆς καλῆς ἐργασίας. M.

P. 26. 3. οὐδὲν ἂν] Ἵνα μή τις οἰήσεται δι' ἔνδειαν αὐτὸν πεπρεσβεῦσθαι. ὅπερ[34] συγγνώμης ἦν. M.

— ibid. 17. ἦν μὲν Δ.] Ἀλλὰ[35] (sic) ἀπ' ἀρχῆς ἄχρι τέλους. M.

— ibid. Διονυσίων] Διονυσίων ἑορτὴ Ἀθήνησιν ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δ' ἐν ἄστει μηνὸς Ἐλαφηβολιῶνος. Διονυσιάδες δὲ αἱ ἐν ἄστει τοῖς Διονυσίοις δρέμιον ἀγανιζόμεναι παρθένοι. B. Idem scholium in Mead. sic exhibetur: Διονύσια ἑορτὴ Ἀθήνησιν Διονυσίῳ[36] ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Ληναῖα μηνὸς Ληναιῶνος,[37] τὰ δὲ ἐν ἄστει μηνὸς Ἐλαφηβολιῶνος. Διονυσιάδες δὲ ἐν Σπάρτῃ παρθένοι αἱ ἐν τοῖς Διονυσίοις δρόμου ἀγανιζόμεναι. M.

P. 27. 4 ἦ δὴ[38] Ἀντὶ τοῦ διὸ δή. M.

— ibid. 12. ἐν δικαστηρίῳ] Ἔνθα χρεία ἐστὶ μαρτυριῶν[39] ἀποδείξεως. M.

— ibid. 13. μαρτυρίας τῷ Μισγόλᾳ[40]] Γράφουσι μαρτυρίας οἱ βουλόμενοι μάρτυρας παρέχεσθαι προκλητικὰς αὐτῶν, οἷον τὸν δεῖνα τόδε πραχθὲν ἀκριβῶς γινώσκοντα ἀξιῶ μαρτυρεῖν τοῖς δικασταῖς. M.

— ibid. 15. ὃ ἔπραττε] Οὐ γὰρ ἀπήτει αὐτὸν μαρτυρεῖν, εἰ παρ' αὐτῷ ἠπάτηκεν, ἀλλ' εἰ μετ' αὐτοῦ διέτριβε. καίτοι τοῦτο ἤμελλε συνοίσειν τὴν[41] ἀπόδειξιν. λέγομεν οὖν, ὅτι ὑποπτευομένου τοῦ Μισγόλα ἥκει τοῦτο εἰπεῖν, ὅτι μετ' ἐμοῦ διέτριβε. M.

— ibid. pen. ἐκκλητεῖν] Ἐκκλητεῖν τὸ εἰς κρίσιν ἄγειν, ἵνα ἐπάγαγές τις μαρτυρῇ. B. † Κλητεύεσθαι δὲ τὸ καλεῖσθαι εἰς μαρτυρίαν. M.

P. 28. 5. ἐξόμνυσθαι] Μεθ' ὅρκου ἀρνεῖσθαι. B.

[26] τάξησθε aut huc non pertinet, sed alio, nescio quo, aut leg. est ἐτάξασθε. ut sit interpretatio proximi vocabuli πρισέθεσθε.

[27] καὶ] Malim καινούς.

[28] γενόμενον] Malim γενόμενοι aut λεγόμενον.

[29] ἀγωνισαμένου] Alius dixisset τὸν δῆμον καταγαγόντος.

[30] ὥσπερ ὖν] Interponi velim οὖν.

[31] Leg. μετὰ τὴν τῶν λ κατάλ.

[32] περὶ] Leg. ὑπ' vel ἐπ' αὐτῶν.

[33] Demosthenes scripserat ἀνέστησεν αὐτὴν (in feminino, et sine ἄν).

[34] συγγνώμης] Subaudi ἄξιον.

[35] ἀλλὰ] Fort. ἄλλο.

[36] Διονυσίῳ] Lege Διονύσῳ.

[37] Ληναιῶνος] Mensis Lenæonis haud memini, qui mentionem fecerit.

[38] ἦ δὴ] Sic enim in Meadiano legitur pro vulgato ἐγὼ δέ.

[39] Malim χρεία ἐστὶ τῆς διὰ μαρτυριῶν ἀποδ.

[40] Sic enim dat Mead. in texto.

[41] συνοίσειν τὴν] Videtur aut σ. τῇ ἀποδείξει leg. aut σ. πρὸς τὴν ἀπόδειξιν. forsitan quoque pro καίτοι leg. καίτοι τί — aut καὶ τί — et demonstrationi quid hoc tandem poterat conferre? respondet λέγομεν —.

— ibid. 9. οὐδὲν αὐτῷ ἔσται πλέον] Τουτέστιν οὐδὲν ὀνήσεται τῆς ἀρνήσεως ἐνόχου·[41] καὶ τῆς ἐπιορκίας οὐδὲν αὐτὸν ὠφελήσει ἡ ἐξόμνυσις. B.

— ibid. 21. βούλομαι] Λυποῦντος ἀναίξεις. λυπεῖ γὰρ Αἰσχίνην τὸ μὴ φαίνεσθαι πρεσβύτερον τὸν Μισγόλαν· φοβεῖ[42] γὰρ μὴ διὰ τοῦτο δόξῃ ψευδὴς εἶναι ἡ φήμη. M.

— ibid. ult. προφερεῖς] Οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. B. † Προφερὴς ἐστιν ὁ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει δοκῶν πρεσβύτερος. ἀλλὰ καὶ τὰν ἁμάμαν, ὦ Αἰσχίνη, ἔσθ' ὅτε ὁ μᾶμος ἅπτεται. M.

— pen. ἠταιρηκέναι] Σαφῶς λέγει τὸ ἠταιρηκέναι πρὸς ἕνα. M.

P. 30. 2. ἀγρίους] Τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ, καὶ χαλεποὺς παιδεραστάς. ἐπονομάζονται δὲ καὶ Τριβαλλοὶ καὶ Κένταρχοι.[43] B. † Τοὺς σφόδρα κιναιδεπιεούς. M.

— 3. Κηδωνίδην] Οὗτοι παιδεραστὰι ἄγριοι καὶ Τρίβαλλοι καὶ Κένταρχοι. M.

— 8. ἠταιρηκὼς] Διαφορὰν εἶπεν ἠταιρηκότος πρὸς πέρνον. τὸν μὲν οὖν ὑφ' ἑνὸς καταισχυνθέντα ἠταιρηκέναι φησίν, τὸν δὲ ὑπὸ πολλῶν, πεπορνεῦσθαι. M.

— 13. μετὰ τοῦτον] Ἀλλὰ (sic) ἀπ' ἀρχῆς ἄχρι τέλους. M.[44]

— 15. κληρούχων] Εἰς Σάμον ἔπεμψαν κληρούχους Ἀθηναῖοι ἐπ' ἄρχοντος Ἀθήνησι Νικοφήμου. B. M.

P. 31. 1. κυβεῖω] Κυβεῖον ὁ τόπος, ἐν ᾧ συνέρχονται οἱ κυβεύοντες. B.[45]

— ibid. ἡ τηλία] Σαγὶς ἡ κυβευτική. ἦν καὶ σαγὶς, ἐν ᾗ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον. B. † τηλία] Κυβείου λέγεται ὁ τόπος, ἔνθα συνέρχονται οἱ κυβεύοντες. ὃ νῦν καλοῦσί τινες ταυλιστήριον. τηλία δὲ σανίδιόν τι περιπεφραγμένον πάντοθεν, εἰς ὃ ἐνέβαλον ἡ ἀλεκτρυόνας ἢ ὀρτυγας μάχεσθαι, καὶ τὸν ὑπερπηδῶντα αὐτῶν τὰ περιφράγματα ἔλεγον ἡττᾶσθαι. ἰδίως[46] δὲ εἶπε κυβεῖον. οὐ γὰρ οὕτως ἐκάλουν, ἀλλὰ σκιμαφεῖον. ἡ τελεία (sic) ἐστὶν, ἐφ' ἧς τὰ ἄλευρα ἐκάθαιρον. ἐχρῶντο δὲ αὐτῷ οἱ κυβεύοντες, καὶ πρὸς τὸ βάλλειν τοὺς κύβους, καὶ πρὸς τὸ βάλλειν τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας. M.

— 18. ὑπὸ δὲ] Ἀλλὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. M.

— 22. Ἡγήσανδρος ἀφικνεῖται] Οὐχ ἁπλῶς διαβάλλει τοῦτον τὸν Ἡγήσανδρον ὁ Αἰσχίνης, ἀλλ' ἐπειδὴ ἀδελφὸς ἦν Ἡγησίππου τοῦ μισοφιλίππου. M.

— 24. Τιμομάχω] Τοῦ Τιμομάχου τούτου τοῦ στεφανηφοῦ Ἀθηναῖοι θάνατον κατέγνωσαν, καὶ ἀνῃρέθη. M.

P. 32. 4. δεινὴ ἀκακία] Ἤγουν φαύλη ἀκακία, ἁπλότης. εὐπιστία, εὐχέρεια εἰς τὸ πείθεσθαι. M.

— 9. ἠνώχλει] Ἀντὶ τοῦ, ἐπειδὴ δὲ αὐτοῖς ἠνώχλει. M.

— 15. ἀστραγάλους] Εἶδος ἀστραγάλου οὕτως[47] ὑπὸ τῶν κυβευτῶν ὀνομαζόμενον. M.

— ibid. διασείστους] Πολλάκις τινὰς κώδωνας ἀργυροῦς ἢ χαλκοῦς ἐξῆπτον ἀστραγάλοις αὐτοῖς, ἵνα ἀφέμενοι ἤχον τινα ἀποτελῶσι καὶ τέρψιν ἐν τῇ παιδιᾷ. οὗτοι οὖν ἐγένοντο διάσειστοι. B.[48]

— ibid. φιμοὺς] Φιμοὶ, οἱ καλούμενοι κημοὶ, εἰς οὓς ἐνεβάλλοντο οἱ ἀστράγαλοι. B. † Φιμοὺς δὲ ἀλλαχοῦ μὲν σημαίνει, εἰς οὓς ἐμβάλλονται αἱ ψῆφοι· ἐνταῦθα δὲ ἃ νῦν καλοῦσιν οἱ κυβευταὶ πύργια. M.

— ult. τὰς ἐξ ἀνθρώπων πληγὰς] Τὰς ἀποκλύναι δυναμένας, καὶ οἱονεὶ ἐξ ἀνθρώπων ποιῆσαι, ἃ ἂς οὐ γινώσκουσιν ἄνθρωποι,[49] ἢ ἃς εἰκὸς ἀνθρώπους παρασχεῖν, ἢ ὅσαι εἰσὶν ἐν ἀνθρώποις. B. M.

P. 33. 6. ἀνακηρυχθῇ] Ἤγουν περιβόητος γένηται. M.

— 10. παροινία] Κυρίως ἐχρήσατο τῇ λέξει. εἶπε γὰς ὅτι μεθυσθέντες. M.

— 12. ὑπογενειάζων] Ἀπτόμενος τῶν γενείων θωπευτικῆς.[50] M.

— 25. λήξεις δικῶν] Ἤγουν ἔλαχον δίκας ἀλλήλοις. M.

[41] Post ἐνόχου videtur οὔσης vel γιγνομένης deesse. Insequentia verba καὶ τῆς ἐπιορκίας ἡ ἐξόμνυσις sententia carent, ut multa Scholiastarum Græcorum, loqui nescientium, quorum ex oratione vix conjectando assequare, quid sibi velint.

[42] Φοβεῖ] Leg. φοβεῖται.

[43] Κένταρχοι] Fort. κένταυροι.

[44] Incipio nunc intelligere formulam hanc grammaticorum rhetoricam tractantium, seu oratores interpretantium, significare, aliam nunc ingredi narrationem.

[45] Hoc idem scholium habet Mead. quoque, addens, ὃ νῦν καλοῦσί τινες ταυλιστήριον.

[46] Ἰδίως] Non *proprie* h. l. id est κυρίως, sed *peculiari*, *Æschini proprio*, *novo et inusitato modo*. id quod ex insequentibus patet.

[47] Οὕτως] Scil. διάσειστος.

[48] Scholium hoc in Meadiano quoque est pæne iisdem verbis, nisi quod pro αὐτοῖς dat ἤγουν ἔνδεν αὐτῶν. quo significat tintinnabula illa talis non extus appensa, sed in illis intus inclusa fuisse. Tale si quid fuit, neque hoc est somnium Scholiastæ, finge mihi talem talum similem fuisse nostris *Schellen*. quæ sunt globuli æenei, cum angusto in transversum acto orificio, in quibus conclusi latent globuli ferrei, qui cum in æs cavum undique ambiens illiduntur, tinnitum efficiunt.

[49] Ἢ ἃς οὐ γινώσκουσιν ἄνθρωποι] Verba hæc in apographo Taylori non reperio, nescio an errore ipsius prætervisa. Sed sunt in Scholiasta Meadiano quoque, qui scholium hoc iisdem verbis refert, addens in extremo fine, ἢ ὅσας ἄνθρωποι πλήττουσι.

[50] Sic Apogr. Tayl. malim θωπευτικᾶς.

— ult. ἐν ἡλικίᾳ] Ὅτι ἐξαιρέτως εἰώθεσαν οἱ ἀρχαῖοι ἡλικίαν τὴν νεότητα καλεῖν. M.

P. 34. 6. Κράβυλος] Κράβυλον καλεῖ τὸν ἀδελφὸν τοῦ Ἡγησάνδρου, τὸν Ἡγήσιππον, καὶ μισοφίλοιπον, καὶ [illegible] εἰλήφει[51] τὴν κεφαλὴν, καὶ φιλοκαλεῖ[52] τὰς τρίχας. Κράβυλος γάρ ἐστιν εἶδος πλέγματος πεφὴν[53] γενομένου παρὰ τοῖς παλαιοῖς τῶν Ἀθηναίων. M. † Ἀδελφὸς ἦν οὗτος Ἡγησάνδρου, οὗτως ἐπωνομασμένος διὰ τὴν πανουργίαν. Ἡγήσιππος γὰρ κυρίως ἐκαλεῖτο. B.

— 15. τοῦψον] Ὅ ἐστιν ἐν τῇ ἀγορᾷ, ἔνθα τὰ ὄψα, οἱονεὶ πάντα τὰ ἐδέσματα πιπράσκεται. ἀπὸ γὰρ τῶν πιπρασκομένων ἐν τινι τόπῳ ἐκάλουν οἱ Ἀθηναῖοι τὸν τόπον. M.

— pen. κώμοις] Κῶμος ἡ μετ' οἴνου ᾠδή. M.

P. 36. 1. Λεωδάμαντι] Οὗτος ἐραστὴς ἐγένετο Ἡγησάνδρου. M.

P. 38. 10. ἀλλ' εἰ πέπρακται] Καὶ γὰρ ἐκεῖ οὐ τὸν εἰσελθόντα εἶδεν ὁ Θεσσάμενος, ἀλλ' ἐφ' ᾧ εἰσῆλθεν. M.

— ibid. ἐπεὶ πρὸς Θεᾶν] Θαυμασία ἀποστροφή. M.

— 15. ἀσύμβολον] Οὐκ εἰσενεγκὼν συμβολὴν, οὐ συμβαλὼν ἔρανον. B. † Μὴ παρέχων σύμεσυλον (sic)[54] καὶ ἔρανον, ἀλλ' ἄλλου συμβάλλοντος δαπανῶν. ἀσύμβολος οὖν ὁ ἑτέρως συνεστιώμενος δίχα συμβολῆς καὶ ἐράνου τινός.[55] M.

P. 39. 5. διαψηφίσεις] Διαψήφισις δέ ἐστιν ἐπικλήσεως στάσεως δημοτικῆς γενομένης συνέρχονται ἅπαντες οἱ ἐκ τῶν δήμων, καὶ σκοποῦσι τίς τέ ἐστι πολίτης, καὶ τίς ξένος. καὶ ἐὰν εὕρωσι ξένον, τοῦτον[56] ὡς ἐξ αὐτοῦ γενομένης τῆς στάσεως. ἔλεγον δὲ ἐκ πολίτου μὴ γίνεσθαί τι τοιοῦτον. Δημήφιλος δὲ τοῦτο ἐν [illegible] διαψηφίσεις γενέσθαι τῶν ἀστῶν τοῖς δήμοις, ὥστε τοὺς δημότας περὶ ἑκάστου τῶν ἀναγραφομένων διδόναι ψῆφον, ὅτι ἐστὶν ἀστὸς, μηδενὸς κατηγορεῖντος, μηδὲ ἀπολογουμένου, ἀλλ' ἐκ τῆς συνεστορήσεως, καὶ ἴσχυον αἱ ψηφίσεις (sic) τῶν δημοτῶν. M.

— 6. καὶ ἕκαστος ὑμῶν] Περὶ γὰρ ἑκάστου ψῆφος ἔλαβον τοῖς δημόταις. ὡσεὶ ἔλεγε δοκιμασίαις ἔδωκεν, (sic) ἢ ἀντὶ τοῦ ἔδωκαν [illegible] εἰς τὸ ἑτέρως ὑπὲρ αὐτοῦ ψηφισασθαι. M.

P. 40. 1. τετρυπημένη] Τετρυπημένη ψῆφος ἦν ἡ καταδικάζουσα· πλήρης δὲ ἡ ἀπολύουσα. M.

— 16. οἰκήσεων τῶν ἐν τῇ Πνυκὶ] Οἰκήσεις τινὲς ἦσαν περὶ τὴν Πνύκα ἔρημοι καὶ καταπεπτωκυῖαι. ταύτας συνεβούλευσεν ὁ Τίμαρχος κτισθῆναι. οἱ δ' ἐξ Ἀρείου πάγου ἀντιλέγουσι. Πνὺξ δὲ πετρώδης ἐστὶ τόπος, ἔνθα ἐκκλησιάζουσιν, ἐν ἐρήμῳ τόπῳ κείμενος. ἀνομάσθη δὲ παρὰ τὸ πεπυκνῶσθαι ταῖς οἰκήσεσι, κατέτεμε (sic) γὰρ αὐτὸν[57] εἰς οἰκίας τοῖς ἡλιασταῖς. M.

P. 41. 5. ἔχομεν δὲ] Ὁ Αὐτόλυκος συγγνώμην ἔφη Τιμάρχῳ ἔχειν. οὗτος[58] γὰρ ἴσως ἀΐδη μικρὲν ὑμᾶς ἀναλώσειν ἐν τῇ ἐρημίᾳ οἰκοδομουμένους. ὁ γὰρ λόγος ἦν περὶ τῆς Πνυκός. λέγουσι δὲ ἡσυχίαν τὴν ἐρημίαν. Ἀσπάσιος δὲ τὴν ἀπραγμοσύνην ᾠήθη δηλοῦσθαι. M.

— pen. βοᾶτε] Ἀντὶ τοῦ ἐβοήσατε. M.

P. 42. 6. ᾐτιάσατο] Ἤγουν κατηγόρησεν. M.

— 7. συνδεκάζειν] Ἤγουν δώρεις συνδιαφθείρειν. M.

P. 43. 15. ἐκκλήτῳ] Ἀλλοτρία, εἰς ἣν ἐξεπέκλητο κριθησόμενος.[59] ἐκκλήτῳ, παρὰ τὸ ἐκεῖ καλεῖσθαι, ἐπὶ κρίσει. οἷον εἰ ῥάδιέν[60] τις Ἀθήνησιν ᾐτιάσατο,[61] εἶτα ἐκλήθη Ἀθήναζε δικασόμενος. M.

P. 44. 20. κακῶς πάνυ διαλ.] Ἀντὶ τοῦ μετὰ δεινοτάτης[62] καὶ φαύλης φράσεως. M.

P. 45. 3. λογογράφος] Οὐκ ἦν ἀστεῖον, οὐδὲ ἐπαινετὸν τὸ λογογραφεῖν, οὐδὲ τὸ μισθοῦ ἕνεκα συνηγορεῖν. B. † Τὸν Δημοσθένην λέγει. M.

— 3. ἀνδρὸς] Ἵνα δύνηται πιπράσκειν τὴν οὐσίαν καὶ τὰς τιμὰς ἀναλίσκειν. B.

— ibid. ἔτι δὲ τοὺς] Ἐνταῦθα ἡ πιθανὴ ἀπολογία. M.

— 10. τερατεύομενος] Οἷον τέρασιον παράδοξον λέγει μοι ἀπαγγέλλειν. M.

— 13. ἐπικλήρου] Ὅτι ἐπίκληρόν τινα συγγενὴ πλουσίαν πρὸς γάμον ἔλαβεν ὁ Ἡγήσανδρος. νόμος γὰρ ἦν ὁ κελεύων τῷ ἐγγυτέρῳ τῶν ἄλλων συγγενῶν ὑπάρχοντι τῇ ἐπικλήρῳ, γαμεῖν αὐτὴν[63] τὴν ἐπίκληρον αὐτῶν. ἐπίκληρος δὲ καλεῖται, ἣν ὁ πατὴρ μέλλων τελευτᾷν

[51] Εἰλήφει] Num ἠλείφετο, *unguebatur*, inunguere sibi solebat.

[52] Φιλοκαλεῖ] Malim ἐφιλοκάλει.

[53] Πεφὴν] *Pridem, olim.* malim quoque γενόμενον, ut ad εἶδος referatur.

[54] Lege συμβολὴν. et pari modo insequentia quoque correxi tacite. Ante hoc scholium aliud breve, ad versum p. 38. 14. referendum τὴν ὄψιν, τὸ εἶδος, legitur in Apogr. Taylori, quo mea carent apographa, non magna jactura.

[55] Post τινος sequitur in apographo Taylori αἱ δοκιμασίαι. quod amputavi, ut ab hoc loco alienum, et ad proximum scholium referendum.

[56] Τοῦτον] Hic videtur ἐκβάλλουσι, vel talo quid deesse.

[57] Hic deesse videtur nomen ejus, qui id fecisse dicitur, sed tota hæc etymologia conficta ad dissimulandam antiquitatis inscitiam, et mali commatis est.

[58] Οὕτως] Malim οὗτος.

[59] Κριθησόμενος] Videtur articulus præfigendus esse.

[60] Ῥάδιεν] Fort. Ῥοδίαν.

[61] Ἠτιάσατο] Sic solœce dictum, pro ᾐτιάθη, *incusatus fuerit.*

[62] Δεινοτάτης] Bene si habet, quod in dubio relinquam, accipi debet pro χειρίστης aut παχυτάτης aut simili quopiam.

[63] Αὐτῷ τ. ἐ. αὐτὴν] Malim αὐτὸν τ. ἐ. ταύτην.

καταλιμπάνει τινὶ πρὸς γάμιν, λέγων, ὅτι τῷδε αὐτὴν θέλει δοῦναι. B.

— 17. κατεκεκύβευτο] Ἤγουν εἰς κύβους ἐδαπανήθη καὶ εἰς ὀψάνια ἀνηλώθη. M.

— 18. ἔξωρος] Ἔξω τῆς ἡλικίας ὑπερεβεβήκει τὴν ὥραν, τουτέστι τὴν ἀκμὴν τῆς ἡλικίας, ἀνὴρ ἤδη ἐγεγόνει. M.

P. 46. 6. τῆς πόλεως] Τουτέστι τῆς ἀκροπόλεως. τὸ γὰρ πάλαι ἡ ἀκρόπολις τῶν Ἀθηνῶν[64] πόλις ἐκαλεῖτο. B. M.

— ibid. ἐσχατιὰν] Ἐσχατιαί εἰσι τόποι ἔσχατοι τῆς χώρας περατούμενοι ἢ εἰς ὄρη, ἢ εἰς θάλατταν. ΑΛΛΩΣ. Τὰ ἐπὶ τοῖς τέρμασι τῶν δήμων ἔσχατιαὶ ἐκαλοῦντο. ΑΛΛΩΣ. Ἐν τοῖς χωρίοις ἐναπελαμβάνοντο ὄρη ἢ ἄκρα κατὰ τὴν Ἀττικήν. παρ' αὐτὰ δὲ ὑψηλοὶ τόποι εἰσὶν, οἳ ἐσχατιαὶ καλοῦνται. τινὲς δὲ ἐργάζονται αὐτούς. B.[65]

— ibid. Σφηττοῖ] Σφῆττα[66] δῆμος ὄπισθεν τῆς ἀκροπόλεως τῶν δημιουργῶν.[67] B.

— 9. ἡγεμὼν] Ὁ τῶν δημιουργῶν χοροδιδάσκαλος καὶ ὑφηγητὴς, καὶ ὁ ἄρχων ὁ τὰ ἔργα ἐκλαμβάνων. M.

— 10. ἀμόργινα] Τὴν λινοκαλάμην ἀμόργην λέγουσιν. ἔνιοι δὲ ἀμόργινα πάντα τὰ λεπτὰ [τῶν] ὑφασμάτων, ἀλουργά τε καὶ εὐτασθῆ[68] διὰ τὴν βαφήν. M.

— 12. ποικιλτὴν] Ὃν λέγομεν πλουμάριον. M. Ἔπιπλα δὲ σκεύη περισσὰ, ἃ νῦν καλοῦμεν ὑπόσκευα. M.

— 20. ὁ χοροδιδάσκαλος] Ὁ τοῦ χοροῦ ὑφηγητής. B.

— 22. ἐξηγειαμένον] Ἀντὶ τοῦ χέρσον γενόμενον. M.

P. 47. 9. ὠφείλησε] Ἤγουν χρεωστῶν ἔδωκε. M.

— 21. ἀργυρίοις] Τὸ Ἀργύριον τῆς Ἀττικῆς τόπος, ἔνθα ἀργυρωρυχεῖα ἦν, ἃ λέγουσιν ἀργυρεῖα. M.

— 22. Ἐπὶ Θρασύλλα (sic) δὲ Ἀττικῶς ἀντὶ [τοῦ] πρὸς τῷ Θρασύλλου μνήματι. ἦν δὲ πρὸς αὐτῷ μέταλλα ἀργυρίου ἔτι.[69] M.

P. 48. 3. τὴν νόσον] Τὴν πόρωσιν. B.

— 5. συνταξάμενος] Ἤγουν φανερόν τι συντιθέμενος παρέχει αὐτῷ. M.

— 14. ἀδυνάτοις] Κατὰ μῆνα ἐκ τοῦ δήμου[70] δίδοται τοῖς ἀδυνάτοις πολίταις μισθός. ἀδυνάτους δὲ πάντας λέγουσι τοὺς ὁπωσδηποτοῦν ἠχρειωμένους πρὸς ἐπικουρίαν ἑαυτῶν. ἐχορηγεῖτο δὲ ἑκάστης ἡμέρας ἐκ τοῦ δημοσίου εἰς τροφὴν τριώβολον. M.

— ibid. μισθοφοροῦντα] Ἀντὶ τοῦ μισθὸν λαμβάνοντα ἐν τῷ καταλόγῳ τῶν λελωβημένων καὶ ἀδυνάτως ἐχόντων. νόμος γὰρ ἦν Σόλωνος κελεύων τοὺς τοιούτους ἐκ τοῦ δημοσίου τρέφεσθαι. ΑΛΛΩΣ.[71] — B. M. Sed hic paulo conturbatius.

— 15. ἀπολειφθέντος] Οἷον ἔτυχεν οὖν αὐτὸν μὴ παραγενέσθαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔνθα δοκιμάζονται οἱ τρεφόμενοι ἐκ τῶν δημοσίων, ὡς ἀδυνάτων.[72] M.

— 16. ἱκετηρίαν] Ἱκετηρία θαλλὸς ἐλαίας ἐρίῳ ἐστεφανωμένος,[73] ὃν κατεῖχον ταῖς χερσὶν οἱ ἱκέται καὶ δεόμενοί τινων. B. M.

— ult. πρυτανείας] Οἱ πρυτάνεις συνάγουσι τὴν βουλὴν ὁσημέραι, πλὴν ἂν ἄφετός τις ᾖ. τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας, καὶ προγράφουσιν ἑτέρας βουλῆς (sic) καὶ πρὸ ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν οἱ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν. ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλειν καὶ τὰς ἀπογραφὰς τῶν δημοτευμένων[74] ἀναγινώσκουσιν πρὸς ταῖς δίκαις, καὶ τὰς λήξεις τῶν κλήρων. ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις ἱκετηρίας θεμένοις λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτανεῦσιν ἀποδοῦναι τὰ γράμματα. ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. M.

P. 49. 18. λαχὼν] Ἀπὸ κλήρου. χειροτονηθεὶς δὲ ἀπὸ δοκιμασίας. M.

— 21. λογιστὴς] Λογισταὶ κρίνουσι τοὺς

[64] Ἀθηνῶν] Codex Mead. dat. Ἀθηναίων.

[65] In Meadiano scholium hoc sic legitur: ἐσχατιαί εἰσι τόποι ἔσχατοι τῆς χώρας περατούμενοι, ἢ εἰς ὄρη, ἢ εἰς θάλασσαν. τὰ ἐπὶ τοῖς τέρμασι δὲ τῶν δήμων ἔσχατα κείμενα χωρία ἐσχατιαὶ καλοῦνται.

[66] Σφῆττα] Vel Σφηττὰ, ut dat Apogr. Tayl. Scholiastes Meadianus, qui etiam hoc scholium tenet, dat iterum Σφηττοῖ.

[67] τῶν δημιουργῶν] Hæc duo vocabula desunt schol. Meadiano. et recte desunt. pars enim sunt scholii proxime insequentis ad voc. ἡγεμὼν, ubi suo vero loco leguntur. Unde apparet ambos istos scholiastas, Bernardinum et Meadianum, non esse duos integros, a se diversos, diversorum auctorum commentarios, sed excerpta ex unius vetusti grammatici commentario, alia ab aliis profecta, quæ cuique arriderent, ea quoque decerpente.

[68] Εὐτασθῆ] Sic Apogr. Taylori, quod unum penes me est, Scholiastæ Meadiani. Num εὐανθῆ.

[69] Ἔτι] Videtur hic aliquid deesse.

[70] Δήμου] Imo vero δημοσίου. vel ἐν τῷ δήμῳ, ut est in Bern. v. notam insequentem.

[71] Hic legebatur in Bern. scholium idem, quod modo e Meadiano ad voc. ἀδυνάτοις protuli, sed cum hac lectionis discrepantia. pro ἐκ τοῦ δήμου legitur in Bern. ἐν τῷ δήμῳ. post ἑαυτῶν addit Bern. οἷον τοὺς τυφλούς.

[72] Ἀδυνάτων] Lege ἀδύνατοι.

[73] Ἐστεφανωμένος] Hujus voc. loco dat scholium Meadiani ἀνεσταμμένην (quo in vocabulo vitioso scholium hoc ibi desinit). Leg. ἐστεμμένος, aut συνεστεμμένος.

[74] Δημοτευμένων] Leg. δεδημευμένων, aut δεδημοσιευμένων. In Polluce tamen, unde locus hic verbatim exscriptus est (VIII. 95.) legitur δημευομένων. Reliqua cum fonte conferat si cui lubebit.

ἄρξαντας καὶ ὑπευθύνους ὄντας. δύο ἦσαν, ὁ μὲν τῆς βουλῆς, ὁ δὲ τῆς διοικήσεως, λογισταί. καὶ τούτους ἡ βουλὴ κληροῦ κατάρχειν[75] ὡς παρακολουθεῖν τοῖς διοικοῦσιν. M.

— ult. μνᾶν] Ἡ μνᾶς (sic) ἐστὶ μέγιστον τῶν τοῦ ταλάντου μερῶν, ὡς εἰς ὄνομα κατακερματίσαι λύσαντα τὸ τάλαντον. ἦν δὲ ἡ μνᾶς (sic rursus) σταθμοῦ τε ὁμοῦ καὶ νομίσματος ὄνομα. ὥςπερ καὶ τὸ τάλαντον. ὁ μέντοι ἑβολὸς ὀκτὼ χαλκοῦς εἶχε. M.

— ibid. ἑβολοῖς] Ὡσανεὶ ἔλεγεν ἐπὶ μιᾷ καὶ ἡμισείᾳ ἑκατοστῇ, εἴγε οἱ ἓξ ὀβολοὶ ποιοῦσι μίαν δραχμὴν ἑκατοστή ἐστι τῆς μνᾶς. M.

P. 50. 5. ἐκμαρτυρῆσαι] Ἐν ἄλλῳ μὲν τόπῳ σημαίνει τὸ ἐκμαρτυρῆσαι περὶ ἀπόντος τινὸς ἀποδήμου. ἐνταῦθα δὲ τὸ ἐκφῆναι τὴν αὐτοῦ συμφορὰν διὰ τῆς μαρτυρίας. M.

— 14. ἀνητὴς] Οἱονεὶ πολέμιον ἀγοράσαι αὐτὸν βουλόμενος. M.

— 17. Νικοφήμου] Οὗτος ἦρξε πρὸ Θεμιστοκλέους. ἦν δὲ καὶ ἐπὶ τοῦ αὐτοῦ ἀρχοντος Ἡγήσανδρος.[76] καὶ οὗτοι κοινῇ διέκλεψαν τοῦ δημοσίου χιλίας δραχμάς. B.

— 20. ἐγγυτάτω] Διὰ τὸ ἐπιφέρειν· κλέπτουσι τῆς πόλεως ἀνὴρ καὶ γυνή.[77] M.

P. 51. 4. ἐκφυλλοφορήσασα] Τουτέστι διὰ φύλλων αὐτοῦ καταψηφίσασα.[78] διὰ φύλλων γὰρ οἱ βουλευταὶ ἐψηφίζοντο τῇ πρώτῃ δοκιμασίᾳ ἢ γνάμῃ, ἐν δὲ τῇ δευτέρᾳ ψῆφοις. B.

P. 52. 4. Ἐρετρίᾳ] Ἐρετρία πόλις Εὐβοίας. ἅλη δὲ Εὔβοια ὑπ' Ἀθηναίοις ἦν. B.

— 11. ἐν τοῖς δήμοσ. διαψηφίσεσι] Οὖσιν γε[79] ταῖς δοκιμασίαις τῶν πολιτῶν, τίνες ἀληθῶς πολῖται εἰσι, καὶ τίνες παρεγγεγραμμένοι. ἔλαβε δέ, ἵνα συκοφαντήσῃ τὸν γνήσιον φιλωτάδα (sic) ὅτι οὐ πολίτης. M.

— 14. ἀποψηφίσασθαι] Ἀντὶ τοῦ ἐκβάλλειν, τοῦ εἶναι αὐτὸν πολίτην, καὶ ἀποδοκιμάσαι. ἀντὶ τοῦ μὴ ψηφίσασθαι πολίτην. M.

— 17. ἑρκίους θεοὺς] Ἀπόλλωνα πατρῷον, καὶ Δήμητρα, καὶ Δία, ὡς φησι Δείναρχος. B.

P. 53. 13. τέχνας τῶν λόγων] Τέχνας λέγει τὰς πανουργίας. M.

— pen. πωλεῖ] Μισθεῖ τοῖς τελώναις, ἵν' ἀπαιτήσωσι τοὺς κιναίδους. B.

— ult. πριαμένους] Μισθουμένους παρὰ τῆς πόλεως. B.

P. 54. 2. ἀντιγράψασθαι] Πρότερον γὰρ κατηγόρησεν ὁ Τίμαρχος Αἰσχίνου παραπρεσβείας. B. † Ἤνουν ἀντικατηγόρησεν. ἐπεὶ πρῶτος κατηγόρησεν ὁ Τίμ. Αἰσχ. παραπρ. M.

— 5. ἐκλέξαντος] Ἀπαιτήσαντος. B.

— 12. τῆς ἀπολογίας] Οἷον τοῦ ἀπαιτεῖν ἡμᾶς τὰς τοιαύτας ἀποδείξεις, δηλονότι αἰσχράς. B.

— 13. παραχωρησάτω] Τουτέστι μὴ χρησάσθω ταύτῃ ἀπολογίᾳ. B.

P. 55. 22. ἥξει] Ἐπίλογοί εἰσιν ἐνταῦθα. M.

— antep. Κολανῶ] Δύο εἰσὶ Κολανοὶ δῆμοι τῆς Ἀττικῆς. καὶ ἐν τῷ μὰ[80] ἔργα τὰ (sic)[81] ἦσαν, καὶ ἐκέκλητο ἐργατικός. ὁ δεύτερος[82] ἱππιος. ἄδηλον οὖν ἐν ὁποτέρῳ Κολανῷ. M.

P. 56. 1. Ἀνδοκίδου] Ἀνδοκίδης περὶ τῶν μυστηρίων· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς, ὃν ὁρᾶτε πάντες, ὁ παρὰ πατρῴων οἰκίαν τὴν ἡμετέραν, ὃν ἡ Λίγκης ἀνέθηκεν, οὐ περιεκόπη μόνος τῶν Ἑρμῶν. B.[83]

— 2. παραφέρει] Παράγει. B.

— 3. γελοῖος] Γελοῖος, ὁ γελωτοποιός· προπαροξυτόνως δὲ ὁ καταγέλαστος. M.

— 5. Βάταλον] Αἰσχίνης περὶ παραπρεσβείας· ἐν παιδὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ ἢ κιναιδίαν Βάταλος. B. †. Βάταλος δὲ ὁ κίναιδος λέγεται. Βάταλος δέ τις γέγονεν ἀνὴρ αὐλητὴς ἡταιρηκώς. ἢ οὖν ἐκ τούτου Βάταλος ὁ Δημοσθένης ἐκαλεῖτο, καθότι μεγάλα καθίσματα[84] εἶχεν, ἢ ἐκ τοῦ βαταλίζεσθαι, οἱονεὶ τύπτεσθαι. ΚΑΙ ΑΛΛΩΣ. Εἰσὶ δὲ, οἳ βάταλον προσηγόρευον τὸν πρωκτόν. καὶ Δημοσθένην ἐκ μεταφορᾶς διὰ μαλακίαν Βάταλον ἀνόμασαν. βάταλον γὰρ καὶ τὸν καταπύγωνα καὶ μαλακίν. αὐτὸς μέντοι ὁ Αἰσχίνης φησὶν ὡς Δημοσθένους λέγοντος, ὡς ὑποκορίζομενη παιδίον αὐτὸν ἔντα ἡ τιτθὴ οὕτως ἐκάλεσεν. M.

— ult. Φήμης] Ἀθήνησίν ἐστι βωμὸς Φήμης. Κίμωνος ἐν Παμφυλίᾳ νικήσαντος ναυμαχίαν καὶ πεζομαχίαν. αὐθημερὸν ἔγνωσαν Ἀθηναῖοι, ὡς ὕστερον, αὐτοῦ διὰ γραμμάτων σημήναντος. ὅθεν πεζῶν καὶ βωμὸν τῇ Φήμῃ ὡς θεῷ ἀνιδρύσαντο. M.

P. 57. 23. ἐπισκήψασθαι] Οἱονεὶ ἐξενεγκεῖν ψῆφον. M.

P. 58. 1. κομψὰ] Ἤνουν τὰ τρυφερὰ καὶ μαλακὰ καὶ πολυτελῆ. M.

[75] Κατάρχειν] Lege e Polluce VIII. 99. κατ' ἀρχήν. tenendum tamen hanc lectionem meram esse conjecturam doctorum virorum. nam Pollucis quoque codices in κατάρχειν consentiunt.

[76] Apogr. Tayl. dat καὶ Ἡγήσ.

[77] Pone hoc scholium sequebatur in Meadiano longus locus, quem omisi, quod apud Pollucem VIII. cap. 9. legeretur segm. 85. 89—91.

[78] Καταψηφίσασα] Apogr. Tayl. καταψηφίζουσα. Sed utrumque solœcum est. aut καταψηφισαμένη leg. aut καταψηφιζομένη.

[79] Inter οὖσιν et γε est adhuc parum quid in Apogr. Taylori, quod non possum legere. Locus, ut paret, vitiosus est. Emendent alii.

[80] Μὰ] Lege μὲν ᾱ id est πρώτῳ.

[81] Ἔργα τὰ] Num ἐργάται, an ἔργα ἄττα, an ἔργα τα ἀργυρεῖα.

[82] Ὁ δεύτερος] Leg. ὁ δὲ δεύτερος.

[83] Locum hunc ex edito (Henr. Stephani p. 9, 10.) restitui. nam a tribus apographis meis παρὰ abest.

[84] Καθίσματα] Femora, coxas, partem corporis, cui insidetur. Nostrates quoque *Gesässe*.

— 2. χιτωνίσκους] Οἰονεὶ κοιλιβίωνας γυναικοπρεπεῖς. M.

— 10. ἔνστασιν] Οἰονεὶ αὐτὴν τὴν ὅλην ὑπόθεσιν καὶ τὴν αἰτίαν τοῦ λόγου. M.

— 12. παραφέραν] Παράγαν. B.

— 21. συμφορὰν] Ἤγουν τιμωρίαν προξενοῦσαν τοῖς κεκτημένοις. M.

P. 59. 15. τάς τε ἐκ τοῦ] Ἐκ τοῦ μάχεσθαι περὸς τοὺς ἀντεραστάς. M.

— 24. ἀδιαφόρως] Ἤγουν ἀδωροδοκήτως. περὸς ἀντ.διαστολὴν τοῦ λαβεῖν χρήματα δι' αἰσχρότητα. M.

— ibid. ἐπαρθέντα] Ἀναπεισθέντα. B.

P. 60. 3. ξηραλοιφεῖν] Ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρᾶν ἀλείφεσθαι. ΑΛΛΩΣ. Τὸ ἐξ ἐλαίου ἀλείφειν τὸ σῶμα, ὅπερ εἰάθασι ποιεῖν οἱ γυμναζόμενοι. B. † Ξηροτριβομένου (sic) πρότερον. ἀλείφεσθαι δὲ ὕστερον, ὡς ἀσκητᾶν τοῦτο ἴδιον ὄν. M.

— 15. σωφρονίζει] Πῶς σωφρονίζει; τῷ μὴ διδόναι ἄδειαν αὐτῷ διαλέγεσθαι τῷ παιδί. M.

— 22. ὥςτε τοὺς ἐπαινοῦντας] Εἴ τε ἔρως, εἴ τε τρόπος δέον εἰπεῖν, πρὸς τὸ προσειπεῖν, τὴν αἰτιατικὴν ἐποίησαν. M.

P. 62. 3. πίστιν] Πληροφορίαν. M.

P. 63. 8. εὐηγενέαν] Ἤγουν τῶν καλὰ γένη ἐχίνταν. M.

— 20. ἐνδυκέας] Ἤγουν ἐπιμελῶς. M.

P. 65. antep. Περιθώδευ (sic)] Δῆμος Περιθώδης. M.

P. 66. 15. κατ' αὐτᾶν] Ἀντὶ τοῦ, περὶ αὐτᾶν. ὥςπερ καὶ ἐν τοῖς φιλιππικοῖς· ὅπερ ἐστὶ καθ' ὑμᾶν μέγιστον ἐγκάμιον. B. M.[85]

— 16. ἂν ἥκιστα] Ὧν ἐλάχιστα. ἀντὶ τοῦ, οὐδὲ ὅλως μοι μέλει. M.

— 17. τίς γὰρ ὑμᾶν] Πικρὲν καὶ δριμύ. M.

— 19. Ἀριστοφᾶν] Ἐκάστῳ ἀρχοντι συναιρεῖται πάρεδρος πρὸς τὸ φυλάττειν τὰ πράγματα. M.

P. 67. 10. αὐτομολήσῃς] Μεταφορὰ ἀπὸ τῶν ἐν τῇ συμμαχίᾳ ἢ πολέμῳ τοὺς ἰδίους λιπόντων καὶ προδόντων, καὶ πρὸς τοὺς ἀντιπάλους ἐλθόντων. τοῦτο γὰρ λέγεται κυρίως αὐτομολεῖν. B.

— 17. ὅπας ἂν ἡ πρ.] Εἴτε κατὰ γραμματεῖον πεποίηκεν, εἴτε καὶ μή. M.

— 20. φιλοτιμίας] Ὅ ἐστιν, ἐν δευτέρῳ ἔθετο τὰ τῆς δόξης καὶ ἀρετῆς. M.

— ult. τὴν ἡλικίαν] Ὁ πρεσβύτερος. B.

P. 68. 9. τὸν τοιοῦτον] Ἤγουν τὸν μισθωθέντα ἐπὶ τὸ ἑταιρεῖν. M.

— 11. ἐπωβελίαν] Ἐπωβελία ἐπίτιμόν ἐστι τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ ἐπράττοντο οἱ γραφάμενοί τινα καὶ μὴ ἑλόντες αὐτοὺς[86] τοῖς γραφείοις. B. † Οἰονεὶ τὸ ἕκτον μέρος τῆς δίκης, ὃ ἐδίδου μὴ ἀποδείξας ὁ κατήγορος περὶ χρήσεως ἐνάγων. ὁ δὲ παρανόμων κατηγορίαν[87] μὴ ἀποδεικνὺς τὰς φιλίας (sic)[88] προσῶφλε.[89] ἐνομοθέτησε δὲ τοῦτο ὁ Ἀρχῖνος ἐγγράψας τῷ νόμῳ, τὰ μὲν πρυτανεῖα εἶναι τοῖς δικασταῖς περὶ[90] τοῦ ἁλόντος. ὅ ἐστιν ἐπιδέκατον. τὴν δ' ἐπωβελίαν τῷ δημοσίῳ περὶ τοῦ μὴ ἑλόντος. M.

— 13. σοφὸς] Ὁ πανοῦργος καὶ δόλιος καὶ πολυμήχανος καὶ δεινός. B.

P. 69. 9. παρεμβολαὶ] Παρεμβολὴ ἡ τῶν ὁμοίων[91] παρένθεσις. μεταφορὰ ἀπὸ τῶν στρατηγικῶν καὶ πολεμικῶν. B.

— 13. πολὺς] Πολλὴν τοῦ Φιλίππου μνείαν ποιήσει. ἢ οὕτω· πολὺν περὶ Φιλίππου ποιήσει λόγον. B.

— 26. ἀντικρούσεις] Οἷον πρὸς κῶλά τινα καὶ ἄσματα. M.

P. 70. 17. Ἀρίσταρχος] Περὶ τούτου πολὺς λόγος ἐν τῷ κατὰ Μειδίου λόγῳ. B.

— 21. εἰσηγητὴς] Ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων. M.

— 24. προλαβὼν] Ἤγουν ἁρπάσας. καθὼν (sic) φεύγων κατέλιπεν αὐτῷ τρία τάλαντα ἀπαιτῆσαι χρεωστούμενα καὶ πέμψαι αὐτῷ ἐν τῇ φυγῇ, καὶ οὐκ ἔπεμψε. M.

P. 71. 4. ἑταίρους ἑξαιτ.] Ἤγουν φίλους σάσει. M.

— 6. ἰσηγορίας] Ὡς ἐν δημοκρατίᾳ ἔχων ἰσηγορίαν ἠναντιοῦτο, οὕτω κακῶς πολιτευόμενος. M.

— 19. διατριβὴν] Ἀντὶ τοῦ πρόφασιν τοῦ ἔχειν πολλοὺς μαθητάς. M.

P. 72. 14. προαισθάνεσθαι] Πάνυ δεινῶς. ἐπεὶ γὰρ ἀμάρτυρός ἐστιν ὁ ἀγὼν, διὰ τοῦτο φησὶν τὸ προαισθάνεσθαι. M.

— 23. καὶ τὰς κρίσεις ἐνίοτε][92] Ἤγουν τῶν νόμων. M.

— 24. ἐπιπλήξεις][93] Ἤγουν ὀβελισμούς. M.

P. 73. 7. οὐδὲ παρ' ἑτέρου] Τουτέστι παρ' οὐδετέρου. B.

— 15. καλὴν δέ ἐστι][94] τοῦτο

[85] Scholiastes Meadianus in hoc scholio a Bernardino discedit in his duobus. 1) utroque loco dat ἡμᾶν pro ὑμᾶν. deinde in fine addit ἀντὶ τοῦ ὑπὲρ ἡμῶν.

[86] Αὐτοὺς] Apogr. Taylori dat αὐτοῖς. In vulgatis Harpocrationis, unde hoc manavit, legitur αὐτοῖς τοῖς γραφείσιν. item apud Suidam.

[87] Κατηγορίαν] Num κατηγορῶν.

[88] Φιλίας] Imo vero χιλίας.

[89] Προσῶφλε] Sic dedi. Apogr. Taylori dabat προσόφλει.

[90] Περὶ] Fort. παρὰ, et sic quoque in continenti.

[91] Ὁμοίων] Num ἀνομοίων.

[92] Hic vocem unam alteram Siglis vel ciphris, sibi quidem familiaribus, nobis autem obscuris, designaverat Taylor, pro more suo, quo magnam partem suorum Adversariorum exaravit. Nobis quidem ista omnia periere.

[93] Hic rursus ciphris usus erat Taylor, ut parum constet, quam ad glossam scholium hoc referendum sit. Ego ad ἐπιπλήξεις retuli.

[94] Rursus ciphræ. Videor mihi deprehendisse ex illa crebritate ciphrarum, quibus obsita sunt ejus adversaria, Taylorum

καλεῖται ἐπιδιόρθωσις. M.

— 20. γεξόνταν] Ἕνα λέγει τῶν εἰκοσιτετρώ. M.

— 21. ἀρχὴν μεγίστην] Καθὸ ἡ γεξόνταν ἀρχὴ ἐλέγετο γερουσία. M.

— 22. καθιστᾶσι] Τοῦτο πρὸς τὸν Τίμαρχον εἶπεν. ἐπειδὴ γὰρ εἶπε γέροντας, ἦν δὲ ὁ Τίμαρχος γέρων, διὰ τοῦτο φησί· καθιστᾶσι δὲ αὐτούς. M.

P. 74. 6. ὑποδεδειλιακότων] Ὑποδεδειλιακότας καλεῖ τοὺς κακῶς ζήσαντας, καθὸ ἐν δέει οὖτοι ζῶσιν, ὑποπτεύοντες ἀεὶ τιμωρίαν. M.

— 12. οὕτω γὰρ] Οὕτω, φησὶν, ἐλυπεῦντο εἰς τὸ θεωρεῖν τινὰς αἰσχύνης ἄξια τῆς πόλεως πραττομένους. (sic). M.

— 14. ἀνὴρ εἷς τῶν πολιτῶν] Ἱππομένης ἀπὸ Κόδρου καταγόμενος. ἡ δὲ θυγάτηρ Λειμωνίς,[95] οὗτω Καλλίμαχος.[96] ΑΛΛΩΣ. Ἱππομένης τὸ μὲν γένος Κοδρειδῶν, βασιλεὺς δὲ Ἀθηναίων, λαβὼν ἐπὶ τῇ θυγατρὶ μοιχὸν, τοῦτον μὲν αἰκισάμενος ἀπέκτεινε, τὴν δὲ θυγατέρα καθείρξεν ἐν οἰκήματι μεθ' ἵππου. ὁ δὲ λιμάττων κατέφαγε τὴν ἄνθρωπον, καὶ ὕστερον καὶ αὐτὸς ὑπὸ λιμοῦ ἀπώλετο. B.

— 16. ἐγκαταποδόμησεν] Τουτέστιν, ἐν οἰκήματί τινι ἐγκατέφραξεν. B.

— pen. παρ' ἵππον καὶ κόρην] Ἴσως ἐκαλεῖτο ἱπποκόρειον. B.

P. 76. 1. ὅταν οἱ τὴν τ. ν.] Ὅταν οἱ δικασταὶ πρόσκειντο τοῖς πόρνοις, καὶ ἐν αἰσχύνῃ ζῶσι. M.

— 7. σεμναῖς θεαῖς] Τρεῖς ἦσαν αὗται αἱ λεγόμεναι σεμναὶ θεαὶ, ἡ Εὐμενίδες, ἢ Ἐρινύες. ὧν τὰς μὲν δύο[97] Σκοπᾶς ὁ Πάριος πεποίηκεν ἐκ τοῦ λυχνίτου λίθου,[98] τὴν δὲ μέσην Κάλαμις. οἱ δὲ Ἀρεοπαγῖται τρεῖς τοῦ μηνὸς ἡμέρας τὰς φωνὰς δίκας ἐδίκαζον, ἑκάστῃ τῶν θεῶν μίαν ἡμέραν ἀπονέμοντες. ἦν δὲ τὰ πεμπόμενα αὐταῖς ἱερὰ πόπανα καὶ γάλα ἐν ἀγγείοις κεραμείοις. φασὶ μέντοι αὐτὰς, οἱ μὲν Γῆς εἶναι καὶ Σκότους, οἱ δὲ Σκότους καὶ Εὐανώμου, ἣν καὶ Γῆν ὀνομάζεσθαι· κληθῆναι δὲ Εὐμενίδας ἐπ' Ὀρέστου, πρότερον Ἐριννύας καλουμένας. B. M.

— 9. ἐπιγραφομέναν] Ἐγράφετο γὰρ ἐν τοῖς ψηφίσμασιν, ὁ δεῖνα εἶπεν, Αἰσχίνης, ἢ Τίμαρχος, ἢ τις ἕτερος. M.

— antep. ἀνατετροφότας (sic)] Ἀπὸ τοῦ ἀνατρέπω. καὶ Ἀριστοφάνης· τὰς δ' ἐμβάδας πῇ τέτροφας ἀνόητε σύ· ἤγουν, ἔρριψας, ἀπώλεσας.[99] M.

P. 77. 5. ἐπακτροκέλητα] Κέλης δὲ καὶ ἐπακτρὶς εἶδη πλοίων εἰσὶ, καὶ ἐξ αὐτῶν σύνθετον ἐπακτροκέλης λῃστρικὸν πλοῖον. M.

— 13. τῶν νέων ζῆλ.] Οἷον τὰ ἤθη καὶ τὰς πράξεις. M.

P. 78. 4. ἐπαρεῖ] Ἐρεθίσει, προτρέψεται. M.

— 5. ἀποσκήψατε] Τὴν ὀργὴν συνεισβάλλετε. B. † Ἤγουν δίκην κεραυνοῦ ἐμπέσετε καὶ οἱονεὶ ἐξαγάγετε τὴν ὁρμήν. M.

— 19. βοηθείαις] Ταῖς ἐπὶ τῶν δικαστηρίων δυνάμεσι. M.

— ibid. πιστεύοντες] Οἱ πάσχοντες δηλονότι. M.

— 23. οὐδὲ γὰρ ὁ νόμος] Οὕτω καὶ Λυκοῦργος. φησὶ γὰρ δοκιμάζεσθαι δεῖν, οὐ πάντας ἐπὶ τῷ ἑταιρῆσαι, ἀλλά τινας πολιτευομένους καὶ ῥήτορας καὶ τὰ ψηφίσματα γράφοντας. B.

— 26. τοὺς δὲ τῶν νέων] Τοὺς εὐχερεῖς εἰς τὸ ἐρᾶν. B. † Ἡ σύνταξις οὕτως ἔχει. τούς τε τῶν νέων θεραπευτὰς, ὅσοι ἐξ αὐτῶν ῥᾳδίως τῷ νοσήματι ἁλίσκονται, αὐτοὺς κελεύετε τρέπεσθαι εἰς τοὺς μετοίκους. καθ' ὑπόθεσιν δὲ ὁ λόγος, ἀσανεὶ ἔλεγεν· εἰ δὲ συγχωρεῖ τοῦτο ὅλως γίνεσθαι, εἰς τοὺς μετοίκους ἄρα, μὴ εἰς τοὺς πολίτας. τὸ δὲ ἁλίσκονται, ἀντὶ τοῦ εὐχερεῖς εἰσὶν εἰς τὸ ἐρᾶν. M.

P. 79. 3. εἰ οὖν βουλήσεσθε] Λείπει ταῦτα ἔν τινι τῶν ἀντιγράφων. B.

alias voluisse indicare, sibi non liquere, alias, in adminiculum memoriæ, taciturnitati horum amicorum arcanos animi sui sensus, quos non auderet planis verbis apertos chartæ mandare, credidisse.

[95] Λειμωνὶς] Sic Apographa Taylori et Griesbachii. item Scholiastes Meadianus. Goensianum autem dat Λυμωνίς.

[96] In hoc poetæ nomine desinit scholium codicis Meadiani ad hunc locum. Insequentia ab eo absunt.

[97] Post δύο addit Sch. Mead. τὰς ἑκατέρωθεν. non male, quanquam haud necessario.

[98] Τοῦ λυχνίτου λίθου] Melius Sch. Mead. τῆς λυχνίτιδος λίθου.

[99] Locus est in Nub. vers. 856. Restitui ex hoc Scholiastæ loco lectionem ἀνατετροφότας pro vulgato ἀνατετραφότας. quod suo loco admonere oblitus fui.

SCHOLIA
AD ÆSCHINIS ORATIONEM
DE FALSA LEGATIONE,
E CODICE BERNARDINO.[1]

P. 84. 4. τὰς τέχνας] Ἢ ὡς τὰ μετ' αὐξήσεως συκοφαντήματα, ὅτι ἐδυνήθη νικῆσαι τὴν κατηγορίαν Εὐβούλου συνηγανισμένου κατὰ τοῦ Δημοσθένους ἐν τῷ πείσαι τοὺς δικαστὰς ἀναστῆναι τοῦ Δημοσθένους λέγοντος, ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς. συνέβη δὲ αὐτῷ ἐκπεσεῖν τῆς πατρίδος ὕστερον, διὰ τὸ κατηγορῆσαι τοῦ ψηφίσματος τοῦ Κτησιφῶντος, τοῦ ὑπὲρ τοῦ Δημοσθένους, ὡς παρανόμου, καὶ ὁρίσαντος τὸ πρόστιμον ἐὰν μὴ δείξῃ αὐτὸ παράνομον, καὶ ἡττηθέντος, καὶ διὰ τὸ μὴ δύνασθαι καταβάλλειν τὴν καταδίκην, ἣν αὐτὸς ὥρισε, φυγῇ χρησαμένου, ὡς καὶ τοῦτο ἔγνωμεν ἐν τῷ ὑπὲρ Στεφάνου. φυγὼν δὲ τὴν πατρίδα καὶ θελήσας ἀνελθεῖν πρὸς Ἀλέξανδρον, μετὰ τὴν τούτου τελευτὴν καὶ τὴν ταραχὴν τῶν τούτου διαδόχων εἰς Ῥόδον ἔπλευσε καὶ Ῥοδιακὴν διδασκαλεῖον συνέστησε. καὶ παιδεύει μὲν οὕτω τοὺς νέους καὶ τοὺς νεωτέρους[2]. ἀναγινώσκων δὲ τὸν λόγον, ὃν εἶπε κατὰ τοῦ Δημοσθένους, καὶ θαυμαζόμενος σφόδρα παρ' αὐτοῖς ἐπὶ τούτῳ καὶ ἐρωτώμενος παρ' αὐτῶν, Πῶς οὖν ἐπὶ τούτου λόγου (sic) ἥττησαι; ἀπεκρίνατο, Θαυμάζετε πῶς ἥττημαι, καθ' ὃ οὐκ ἠκούσατε ὑμεῖς τοῦ θηρίου ἐκείνου. θηρίον γὰρ αὐτὸν ἐκάλει διὰ τὸ δεινὸν τῶν τρόπων καὶ ἀνελεῆμον. λέγεται δὲ, ὅτι καὶ τὰς λεγομένας μελέτας καὶ τὰ πλάσματα τῶν ζητημάτων αὐτὸς πρῶτος εὗρεν ἐκεῖ ἐν τῷ σχολάζειν, Ὅτι μαθητὴς ἐγένετο, ὡς μὲν Δημήτριος ὁ Φαληρεὺς, Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον τοῦ Πλάτωνος. ὡς δὲ Καικίλιος[3] καὶ Ἰδομενεὺς καὶ Ἕρμιππος, οὐκ ἤκουσε τῶν ἀνδρῶν μαθήσεως χάριν. φησὶ γὰρ ὡς οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σῴζει, οὔτε τὸ ἀκριβὲς καὶ καθαρὸν, [οὔτε τὸ][4] ἀπέριττον καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά πως ἐστὶν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου, καὶ ἄτεχνος μὲν καὶ προπετὴς καὶ εὐχερὴς,[5] ἐπὶ τὸ λοιδορεῖν αἰσχρῶς καὶ ἀπρεπῶς ῥήτορι ἐξαγομένη,[6] ἔχουσα δέ τι καὶ εὐφυὲς καὶ εὐάγωγον[7] καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως καὶ μελέτης ἀφανοῦς.

— 8. ταῦτ' εἶπεν] Τοῦτο λέγει, ὅτι συνειδὼς ἑαυτῷ ψευδομένῳ οὐ δύναται ὀργίζεσθαι· τότε γάρ τις ὀργίζεται, ὅταν αἰσθάνηται ἀσθενῆ[8] ἀδικίαν.

— ibid. οὐδεὶς γὰρ] Ἀντὶ τοῦ οὐδὲ οἱ τἀληθῆ λέγοντες, οὐδὲ οἱ τὰ ψευδῆ· ἴσασι γὰρ, εἴτε ἀληθῆ εἴτε ψευδῆ λέγουσιν, ὡς οὐδὲν αὐτοῖς ἐντεῦθεν ὄφελος.

P. 85. 2. ἀπίθανος ἂν] Οὐ πιστὸς ἂν μὴ δυνάμενος πεῖσαι. τουναντίον δὲ βούλεται λέγειν, ὅτι γνώριμος ἂν ἐπὶ τῇ αἰτίᾳ ταύτῃ καὶ ὁμολογουμένως δωροδόκος. ἢ οὕτως· ἀπιθάνως τοιαύτην ὑποψίαν ἐμοὶ ἐπιφέρων, οἱονεὶ ψευδολογίαν· καθὸ καὶ τὰ τέρατα γενόμενα ψεύδονται τὴν φύσιν.

— 11. ψυχαγωγηθέντες] Τουτέστι τῇ τῶν λόγων αἰτοῦ ἡδυῇ παραπεισθέντες, καὶ τοῖς ἐξ ἀντικειμένων λεγομένοις. ἀντίθετα γὰρ ἔλεγον τὰ ἐν περιόδῳ διπλῇ ἐξ ἀντικειμένων. οἷον, τοὺς φίλους μὲν λυπῶν, τοὺς δ' ἐχθροὺς εὐεργετῶν. ἔστι γὰρ τοῦτο δίκωλον ἀντικείμενον. ἡδονὴν δ' ἔχει τὸ ἀντίθετον σχῆμα, οἷον ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων.

— antep. ἐξεβάλετε] Οὐλπιανὸς ὁ Δημο-

---

[1] De Brookio, qui scholia ad hanc orationem primus edidit, Taylorus in adversariis ita judicavit: "In lucem proferebantur scholia MSS. in hanc orationem ab Oxoniensi, non admodum neque supra censum erudito. Iis ergo describendis supersedebo, varietatem ipsam lectionis adnotaturus, quam ille per incuriam effecit." Tum quatuor solummodo, aut quinque leviculos Brookii errores notavit, quos deinceps suo quemque loco commemorabimus. Tenendum Taylorum Cantabrigiensem, h. e. in schola Cantabrigiensi educatum fuisse, honoresque ibi gessisse. Inde macula illa iniquioris animi, emicans ex illo *ab Oxoniensi quodam*. Videtur inter ambas illas scholas nescio quid clandestinæ æmulationis esse. REISK.

[2] Τοὺς νεωτέρους] F. τοὺς πρεσβυτέρους.

[3] Καικίλιος] Sic editio Brookiana. Apogr. Goensianum dat Καλκίδιος.

[4] Hæc duo vocabula uncis inclusa, οὔτε τὸ, de meo addidi, quæ ab utroque exemplo, Goens. et Whyt. absunt.

[5] Vitiose exemplum Goens. dat εὐγενής.

[6] Idem rursus vitiose dat ἐξειομένη.

[7] Apogr. Goens. male εὔλογον (sic).

[8] Ἀσθενῆ] Sic editio Brook. In Apogr. Goens. loco hujus vocabuli sunt hæc tria αθηνη ασθεη ατεν (sine vocalibus et spiritibus, ut reliqua omnia erant) hoc ordine aliud infra aliud columnatim exarata.

σθένους ἐξηγητής, ἐνταῦθα, φησίν, οἱ δικασταὶ ἀνέστησαν.[9]

P. 86. 10. ἀνόσιον] Τὸν μὴ ἃ ἐπιτέτραπται ποιοῦντα. ὅσιον γὰρ καὶ τὸ ἐκ τῶν νόμων ἐπιτετραμμένον.

— 14. εἰ οἷόν τ' ἐστὶ] Τοῦτο οἱ περὶ τὸν Μαρκελλῖνον προκατασκευὴν φασιν, ἐστὶ δὲ τοῦτο [illegible] ταῦτά φησι εἰρηκέναι Δημοσθένην, ἃ ἀπαιτητέον ἐκ τοῦ λόγου τοῦ Δημοσθενικοῦ. πολλὰ γὰρ εἰκὸς εἰπεῖν αὐτὸν ἐν τῷ ἀγῶνι καὶ παραλιπεῖν ἐν τῷ λόγῳ, ἀποδοκιμάσαντα ὡς περιττά.

— 19. ἀπογνοὺς] Ὁ μὴ καταψηφιζόμενος ἑαυτοῦ ἀδικίαν, ἀλλ' ἀπολύων τῷ συνειδέναι ἑαυτῷ [illegible].

P. 87. 5. Εὐβούλου] Δημαγωγὸς οὗτος ἔνδοξος κατὰ τοὺς περὶ Δημοσθένη γεγονὼς χρόνους.[10] οὗ ἀποθανόντος Ὑπερίδης ὑπὲρ τῶν τιμῶν λόγον ἔγραψε. λεγομένου δὲ τοῦ λόγου τούτου, ἐπὶ τῷ τέλει ὁ Αἰσχίνης αὐτὸν παρεκάλει συνδικεῖν αὐτῷ ἐν οἵῳ δήποτε μέρει.

— pen. ἱερείας] Περὶ τὴν γραφὴν ἡμάρτηται. δεῖ γὰρ γεγράφθαι Ἱμεραίας. Τιμαῖος γὰρ ἐν τῇ ἕκτῃ ἱστορεῖ· γυναῖκά τινα, Ἱμεραῖαν τὸ γένος, ἰδεῖν ὄναρ ἀνιοῦσαν αὐτὴν εἰς τὸν οὐρανὸν πρός τινος ἄγεσθαι θεασομένην τὰς τῶν θεῶν οἰκήσεις· ἔνθα ἰδεῖν καὶ τὸν Δία καθεζόμενον ἐπὶ θρόνου, ὑφ' οὗ ἐδέδετο πυρός τις ἀνθρωπος καὶ μέγας ἀλύσει καὶ κλοιῷ· ἔρεσθαι οὖν τὸν περιάγοντα ὅστις ἐστὶν, αὐτὸν δὲ εἰπεῖν ἀλάστωρ ἐστὶ τῆς Σικελίας καὶ Ἰταλίας, καὶ εἴπερ ἀφεθῇ, τὰς χώρας διαφθερεῖ· περιαναστᾶσαν[11] δὲ χρῆναι ὑστέρῃ ὑπαντῆσαι τῷ Διονυσίῳ τῷ τυράννῳ μετὰ τῶν δορυφόρων, καὶ ἰδοῦσαν ἀνακραγεῖν ὡς οὗτος εἴη ὁ τότε δεικνύειν, καὶ ἅμα ταῦτα λέγουσαν πεσεῖν εἰς τὴν ἄφαρος ἐκλυθεῖσαν· μετὰ δὲ τρίμηνον οὐκ ἔτι ὀφθῆναι τὴν γυναῖκα μηδενὸς τοῦτο ἱστορήσαντος.[12]

P. 88. ult. σπονδαῖς] Οἱ καταγγελεῖς τῶν ἀγώνων καλοῦνται σπονδοφόροι, καὶ ὁ χρόνος ἐκεῖνος, καθ' ὃν ἄγονται οἱ ἀγῶνες, σπονδαί, διὰ τὸ τῆς θεᾶς τότε γενέσθαι σπονδὰς, ἐπὲρ τῆς Ἑλλάδος. τὸ οὖν ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς, ἐν τῷ χρόνῳ ᾧ τὰ Ὀλύμπια (sic). ΑΛΛΩΣ. Ἐν ταῖς ἐπισήμοις ἑορταῖς ἐσπένδοντο οἱ Ἕλληνες πρὸς οἷον δήποτε ἦκον πόλεμον, εἰς τὰ χώματα τῆς ἑορτῆς.

P. 89. antep. ἐγγραψάμενοι] Ἀντὶ τοῦ προγράψαντες, καὶ ὑποβαλόντες, ἵνα αὐτὸς κατηγορήσῃ.

P. 90. 9. ἱκετηρίαν] Ἱκετηρία ἐστὶν ἡ ὑπὲρ τοῦ νόμου δέησις γινομένη. οὗτω δὲ ἐγίνετο ἡ ἱκετηρία· ῥάβδον βαλὼν στέφος ἔχων καθῆτο εἰς τὴν ἑλέου ζωμὸν, μέχρις οὗ ἔτυχε τῶν δικαίων.

P. 91. 17. τὴν ἐκμαρτυρίαν] Μαρτυρία ἐστὶ ὅταν τινὲς μαρτυρῶσι παρόντι τινὶ· ἐκμαρτυρία δὲ ὅταν περὶ ἀπόντος τινὸς καὶ ἀπόδημα ἀπαγγέλλοντος λέγωσιν, ὅτι μαρτυροῦμεν, ὅτι, ὅτε παρῆν, ἔλεγε τόδε. καὶ λοιπὸν, εἰ ἐπανελθὼν ἐκεῖνος εἴπεν, ὅτι οὐδὲν εἴπον, ἐκρίνοντο οὗτοι συκοφάνται. θέλει δὲ εἰπεῖν ὅτι ἀρβαβῶνας ἦν δεξάμενος ἀπό τινων πόλεων πρὸς τὸ ἀγωνίζεσθαι ἐν αὐταῖς. ἦν γὰρ τραγῳδὸς, καὶ ἔδει αὐτὸν ἀγωνίσασθαι, ἢ διπλοῦν τὸν ἀρβαβῶνα[13] καταβαλεῖν. ἔδει οὖν πρέσβεων τῶν πεισόντων τὰς πόλεις μὴ διπλοῦν τὸν ἀρβαβῶνα κομίσασθαι, ἀλλ' ἁπλοῦν. ΑΛΛΩΣ. Ἡ τοῦ μὴ παρόντος μαρτυρία καλεῖται ἐκμαρτυρία τῶν ἀποδημούντων καὶ μὴ δυναμένων ἐλθεῖν εἰς τὸ δικαστήριον καὶ τὰς τῶν τετελευτηκότων μαρτυρίας ἐκ γραμματείων ἀνεγίνωσκον, αἳ ἐκαλοῦντο ἐκμαρτυρίαι.

— pen. καὶ τίς ὁ τὰς δωρεὰς] Ὑπέσχετο γὰρ, εἰ μὲν αἱ πόλεις συγχωροῖεν τὰς ζημίας Ἀριστοδήμῳ, ὀρθῶς ἔχειν, εἰ δὲ μὴ, τὸν δῆμον πείσειν δωρεὰς αὐτῷ δοῦναι, ἃς[14] λάβοιεν ἀλλαχόθεν.

P. 93. 5. ὁλοσχοίνῳ] Τὸ ὁλόσχοινον φυτόν ἐστιν, ᾧ χρῶνται ἀντὶ βελόνης. ἄβροχον δὲ εἶπεν· εἰώθασι γὰρ βρέχεσθαι ἐν τῷ ὕδατι, ἵνα μαλακὰ γενόμενα εὐθέα γένηται εἰς τὴν ἄλλων ἔργων πλοκήν. ΑΛΛΩΣ. Τοῦτό τινες λέγουσιν εἶδος εἶναί τινος φυτοῦ ἱμαντώδους, ὡς περὶ τῶν λ[15] λέγει ὁ ποιητής. ἀβρόχῳ δὲ εἶπεν οἱονεὶ ξηρῷ, ἵνα διὰ τῶν σιάλων τοῦ στόματος φυσηθὲν ἐδίνει δῆθεν παίσῃ τῷ στόματι ἐν τῷ ἐρράφθαι.

— 6. Λεωσθένη] Ὁ Λεωσθένης Ἀθηναῖος ἦν. οὗτος ἐφυγαδεύθη Ἀθήνηθεν ὡς Φιλιππίζων, καὶ ἦν παρὰ Φιλίππῳ ἐς τὰ μάλιστα τιμάμενος ἀνὴρ εἰπεῖν δυνατός.

P. 94. 6. ἐγγενὴς] Διεβάλλετο ὡς πρὸς πατρὸς Σκύθης ὤν, ἀστὸς ἐξ ἀστῆς.

— 12. οὐδὲν ἄπρατον] Διεβάλλετο γὰρ ἑταιρεῖν καὶ μισθοῦ λόγους γράφειν, καὶ δωροδοκεῖν.

P. 95. 10. ὑπήρξατε] Ἀντὶ τοῦ προκατήρξασθε τῆς πρὸς ἐκεῖνον εὐνοίας, καὶ εὐεργεσίας.

— ibid. Ἀμύντα] Ἐκβληθέντα γάρ ποτε τὸν Ἀμύνταν ἐκ τῆς βασιλείας ὑπὸ Θετταλῶν, Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατήνεγκαν πάλιν ἐπὶ τὴν βασιλείαν. Ἀμύντα δὲ τῷ Φιλίππου πατρὶ υἱοὶ ἐγένοντο τρεῖς ἐξ Εὐρυδίκης, Ἀλέξανδρος, Περδίκκας καὶ Φίλιππος. Παυσανίας δὲ συγγενὴς τῶν περὶ Φίλιππον ἐφυγα-

[9] Hoc scholium a Goens. Apogr. abest.

[10] Χρόνους] Ad hoc vocabulum a Tayloro in schedis hæc annotata reperi: [deest χρόνους, h. e. exscalpitur, cum olim apparuerit.]

[11] Apogr. Goens. περιαναστα.

[12] Apogr. Goens. ιστοσοστησαντος.

[13] Apogr. Goens. των αρβαβων, forte leg. τῶν ἀῤῥαβῶνων.

[14] Ἃς] Ap. G. ἅ.

[15] λ] Sic ed. Brook. Ap. Goens. dat figuram, quam quia formulæ typographis nullæ sunt, quæ imitentur, ideo necesse est, verbis describi. λ est cum crure posteriore paulo projectiore, cui duæ lineolæ transversæ, tanquam gemini acuti insident, medium secantes, cum superimposito circumflexo. Videant siglarum Græcarum intelligentiores, quid hæc sibi velit.

δεύθη.[16] Ἀμύντας καὶ Εὐρυδίκη· Ἀλέξανδρος, Περδίκκας, Φίλιππος. ὁ Ἀλκμείτης ἐπικαλούμενος, ὁ γήμας τὴν Εὐρυδίκην, καὶ ἐπιτροπεύσας Περδίκκαν καὶ Φίλιππον, παῖδων ὄντων, ἐβασίλευσεν ἔτη πέντε, ἀποθνήσκει ἀναιρεθεὶς, Περδίκκου αὐτοῦ τὴν ἐπιβουλὴν αὐτῷ συστήσαντος.

— 14. Ἀλεξάνδρου] Τοῦτον ἔκτανε Πτολεμαῖος.

— 17. Παυσανίου] Οὗτος ἦν τοῦ βασιλικοῦ γένους, καὶ περὶ τῆς ἀρχῆς ἠμφισβήτει.

— 18. τῷ καιρῷ] Ἀντὶ τοῦ τῇ εὐκαιρίᾳ θαρροῦντος, καθ' ὃ κατὰ νέων τὴν ἡλικίαν ἐπεχείρει κατὰ τῶν περὶ Φίλιππον.

— 20. Ἀνδεμοῦντα] Ταῦτα Μακεδονίας χωρία ἐχυρά.[17]

P. 96. 22. ἀνοχὰς] Ἀνοχαὶ αἱ πρὸς ὀλίγον χρόνον τοῦ πολέμου ὑπερθέσεις, ἃς καλεῖ Θουκυδίδης ἀνακωχὰς, παρὰ τὸ ἀνέχειν καὶ τέως πρὸς ὀλίγον ἀναβάλλεσθαι.

P. 97. 1. ἐκδοχὴν] Οἱονεὶ διαδοχήν. διεδέξαντο γὰρ τὸν ἀδελφὸν εἰς τὸν πρὸς ἡμᾶς πόλεμον περὶ Ἀμφιπόλεως.

— 4. ψηφίσματα] Οἱ μὲν πρόγονοι αὐτῶν ἀεὶ ἔγραφον πολεμεῖν, ἡμεῖς δ' ἀντεγράψαμεν αὐτοῖς ἀντειρηνικά.

— 6. ἐννέα ὁδῶν] Ἠτύχησαν Ἀθηναῖοι ἐννεάκις περὶ τὰς ἐννέα καλουμένας ὁδοὺς· ὅς ἐστι τόπος τῆς Θρᾴκης. ἡ νῦν καλουμένη Χερρόνησος. ἠτύχησαν δὲ διὰ τὰς Φυλλίδος ἀρὰς, ἡ Δημοφῶντος ἐρασθεῖσα, καὶ προσδοκῶσα αὐτὸν ἐπανήξειν, ἀποτελέσοντα τὰς πρὸς αὐτὴν συνθήκας, καὶ ἐννεάκις ἐπὶ τὸν τόπον ἐλθοῦσα, ὡς οὐχ ἧκε, κατηράσατο τοῖς Ἀθηναίοις τοσαῦτα ἀτυχῆσαι περὶ τὸν τόπον. τὰ δὲ ἀτυχήματά ἐστι ταῦτα. πρῶτον μὲν Λυσιστράτου καὶ Λυκούργου καὶ Κρατίνου στρατευσάντων ἐπ' Ἠιόνα, τὴν ἐπὶ τῷ Στρυμόνι· διεφθάρησαν γὰρ ὑπὸ Θρᾳκῶν, εἰληφότες Ἠιόνα, ἐπὶ ἄρχοντος Ἀθήνησι Φαίδωνος. δεύτερον, οἱ μετὰ Λεωγόρου κληροῦχοι ἐπὶ Λυσικράτους. τρίτον οἱ μετ' Εὐκλέους καὶ Θουκυδίδου. τέταρτον, οἱ μετὰ Κλέωνος, ἐπὶ ἄρχοντος Ἀλκαίου. πέμπτον, οἱ ἐνοικοῦντες ἐπ' Ἠιόνα Ἀθηναῖοι ἐξηλάθησαν. ἕκτον οἱ μετὰ Συμβίχου[18] στρατηγοῦντος διεφθάρησαν. ἕβδομον, ὅτε Πρωτόμαχος ἀπέτυχεν. ὄγδοον, ἐκπεμφθεὶς ὑπὸ τοῦ Τιμοσθένους[19] Ἀλκίμαχος ἀπέτυχεν, αὐτοῦ παραδόντος αὐτὸν Θρᾳξὶν, ἐπὶ Τιμοκράτους Ἀθήνησιν ἄρχοντος. ἔνατον Τιμόθεος ἐπιστρατεύσας ἡττήθη, ἐπὶ Καλαμίωνος[20] ἄρχοντος. τὰς δὲ ἐννέα ὁδοὺς Ἄγνων συνοικίσας Ἀθηναῖος Ἀμφίπολιν ἐκάλεσεν, ἐπὶ ἄρχοντος Ἀθήνησιν Εὐθυμένους. τὴν[21] Φυλλίδα οἱ μὲν Φυλλίδα οἱ δὲ Βίασον[22] ὀνομάζουσι· καὶ τὸν πατέρα αὐτοῦ (sic) οἱ μὲν Φίλανδρον οἱ δὲ Μίσισον.

— ibid. Θησέως παῖδων] Θησέως παῖδες Δημοφῶν καὶ Ἀκάμας. τούτων Δημοφῶντι λέγεται δεδῶκαι πρῶτα τὰς ἐννέα ὁδὸς οὕτω καλουμένας. οὗτος δὲ παρὰ τὴν ἱστορίαν Ἀκάμαντι φησὶ δοῦναι, οὐ Δημοφῶντι, οὐχ ὡς μύθου ὄντος τοῦ περὶ Φυλλίδα γάμου, ἀλλ' ὡς παλαιοῦ τινὸς . . . . . .[23] ὄντος.

[P. 98. 2. ἀπέστη] Παρεχώρησε. Mead.]

— pen. σκοτεινὸν] Ἡ ἀσαφὲς, ἢ οὐδεμιᾶς λαμπρότητος ἐχόμενον καὶ οὐκ ἄξιον τῆς ἡγεμονίας τῆς πόλεως, ἀλλὰ ταπεινοῦ φρονήματος. τεθνικὸς δὲ ἀντὶ τοῦ οὐδὲν φανερὸν ἔχον, ἀλλ' ἀφανὲς, ἀπὸ μεταφορᾶς τῶν τεθνηκότων, καὶ ταπεινόν.

— ult. τῶν πραγμάτων] Οὐκ ἀρξάμενος ἀπὸ τῶν κυρίων πραγμάτων.

P. 99. 3. τι ποιοῦσθαι] Οἱονεὶ συρίττειν ἤ τι τοιοῦτον πάσχειν. λεληθότως δὲ διασύρει τὴν δημοκρατίαν, ὡς ἐν αὐτῇ τὰ τοιαῦτα πολιτεύεται.

— 6. τῶν γεγραμμένων] Οἱ γὰρ μὴ δυνάμενοι ἀπὸ μνήμης εἰπεῖν, γράφουσι πολλάκις, ἃ μέλλουσι λέγειν, ἢ ὡς σκηπτόμενος αὐτὸν λέγειν, ἢ ἐπειδὴ ἔγραφεν ἐν ὑπομνηστικῷ περὶ τίνος καὶ τίνος δεήσει λέγειν.[24]

— ibid. διεσφάλη] Γρ. παρεσφάλη, ἐπελάθετο.

P. 100. 16. ἀφορμώντων] Ἀντὶ τοῦ ἀναχαρούντων. παρασημειωτέον, ὅτι καὶ ἐπὶ τῆς κατὰ γῆν ὁδοῦ εἴρηται ἡ λέξις.

— antep. παραδόξως] Οἱονεὶ παρὰ τὴν φύσιν τὴν ἑαυτοῦ, καθὸ ὠμός ἐστι φύσει, καὶ ἀγνοεῖ τὸ φιλάνθρωπον.

— pen. ὁ κέρκωψ] Οἱ κέρκωπες γένος τι ὑπῆρχον λῃστῶν καὶ πανούργων περὶ τὴν Λιβύην, οὓς ἐτιμωρήσατο Ἡρακλῆς διὰ τὴν κλοπὴν τῶν βοῶν τοῦ Γηρυόνου. ἦσαν δὲ δύο.

— ult. παιπάλημα] Παίπαλοι οἱ τραχεῖς. τὸν οὖν μὴ εὐγενῆ, μηδ' ἁπλοῦν οὕτω προσαγορεύουσιν. ΑΛΛΩΣ. Τοὺς μὴ εὐθεῖς[25] ταῖς γνώμαις, ἀλλὰ πλαγίους καὶ ποικίλους οὕτως ἐκάλουν. μετῆκται δὲ ἀπὸ τῶν ὁδῶν· τὰς γὰρ μὴ εὐθείας, ἀλλὰ πολλὰς ἔχούσας ἐκτροπὰς παιπάλους ἐκάλουν. ΑΛΛΩΣ. Οἷον περιτέμμα ἀγορᾶς τὸ λεγόμενον ἀεὶ ἐν τῇ συνθείᾳ ἀς περὶ παντόργου τινός. κυρίως δὲ παιπάλημα λέγεται τὸ λεπτὸν τρίμμα τοῦ ἀλεύρου.

— ibid. παλίμβολον] Οἱονεὶ εὐμετάβλητον, παρὰ τὸ πάλιν μεταβάλλεσθαι, οἷον εἰς τοὐπίσω καὶ ἐξ ὑποστροφῆς. ὡς ὁ ποιητὴς· παλίντονα τόξα τιταίνων.

P. 101. 3. ἔφαγον συστήσειν] Ἀντὶ τοῦ, ὥστε τρέφεσθαι ἀπὸ τῶν δημοσίων χρημάτων. ΑΛΛΩΣ. Ὥστε ἕκαστόν τι αὐτῷ δοῦναι πρὸς

[16] Quæ insequuntur ad finem scholii, omnia desunt Ap. Goensiano.

[17] Ἐχυρὰ] Sic admonebat Taylor in schedis, legi in codice Bern. non ἰσχυρὰ, quod dedit Brook. Caret hoc scholio Ap. Goens.

[18] Συμβίχου] Ap. Goens. συμβίχου.

[19] Ad Τιμοσθένους addit Ap. Goens. τινος, quod ab ed. Brook. recte abest.

[20] Καλαμίωνος] Ap. Goens. καλαιωνος.

[21] Τὸν] Sic ed. Br. Ap. G. τό.

[22] Ap. Goens. βιος.

[23] Lacunula hæc est in ed. Br. Scholium hoc una cum proximo insequente prorsus abest ab Ap. Goens.

[24] Deest hoc scholium Ap. Goens.

[25] Apogr. Goens. εὐήθεις.

χρῆσιν ἀεγύρειον. πᾶν γάρ, ὃ πολλοὶ διδόασιν εἰς χρῆσιν, ἔρανος καλεῖται· ἐὰν μὴ πρὸς χρῆσιν δῇ, ἀλλὰ δωρεάν. ἡ ἔρανον τὴν παρὰ τῶν φίλων συνεισφορά.

— antep. ὁ Σίσυφος] Καὶ γὰρ ὁ Σίσυφος ὁ Αἰόλου πανοῦργος ἐνομίσθη. περὶ πανουργίας γὰρ οὗτος διεβέβλητο. ἐπὶ οὖν τοῦ πανούργου καὶ κακοπράγμονος χρῶνται τῷ ὀνόματι.

P. 102. 19. θεάσασθαι] Τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχεῖαν ἔχει τὴν διάγνωσιν.[26]

— 21. κεφαλαίων] Ἀντὶ τοῦ συντόμως αὐτὰ τὰ κεφάλαια λέγοντες. [Ἤγουν συντόμως. Mead.]

— 22. ἐπιστολὴν] Ἐπιστολὴν φησι τὴν περιέχουσαν περὶ τῆς εἰρήνης, καὶ ἐπαγγελλομένην πολλὰ ἀγαθὰ ποιήσειν τοῖς Ἀθηναίοις ἐὰν γένηται.

— pen. τὴν βουλαίαν] Καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν. τὸν βωμὸν αὐτοῦ λέγει τοῦ Διὸς τὸν ὄντα ἐν τῇ βουλῇ. ὤμοσε δὲ, οὐ κατὰ βουλευτὴς ἦν. ἡ Ἑστία βουλαία λέγεται τὴν τράπεζαν, διότι ἐστὶν ὅτε συνεδείπνευν ἀλλήλοις οἱ πρεσβεῖται.[27]

P. 104. 5. ἐπισημαινόμενον] Ἐπαινοῦντα καὶ ἀποδεχόμενον.

[— 6. θαυμάζειν] Ἤγουν καταγινώσκειν. Mead.]

— 8. οἱ μὲν τὸν τοῦ βουλεύσασθαι] Τί δεῖ ἀποκείνασθαι πρὸς τοὺς πρέσβεις τοῦ Φιλίππου τοὺς ἐλθόντας περὶ τῆς εἰρήνης.

— 9. ὑπερόριον] Οἷον μάτην ἀναλίσκουσι τοὺς χρόνους τὰ ἔξωθεν τοῦ πράγματος διαλεγόμενοι. ὑπερόριον δὲ λαλιὰν λέγει τὴν ἔξωθεν τοῦ πράγματος ὁμιλίαν· τὰ γὰρ ἔξω τῶν ὅρων πραχθέντα ἀπαγγέλλουσιν. ὁ δ' αὐτὸν τὸν λόγον λαλιὰν εἶπεν, ὡς φλυαρίαν. ἡ ὑπερόρια τὰ ἐν Μακεδονίᾳ Ἀθήνησι λέγοντες.

— 20. ὡς ποιηρὸς] Καθὸ οὐκ ἐᾷ τοὺς συμπρέσβεις τὰ καθήκοντα λέγειν.

P. 105. 19. θέαν] Ἐν τῷ θεάτρῳ, ἐν ᾧ καθεζόμενοι θεᾶνται[28] τοὺς ἀγῶνας ἐν τοῖς Διονυσίοις.

P. 106. 5. τὴν μὲν τείνυν] Πληράσας τὴν κατασκευὴν ἐνταῦθα λοιπὸν ἔτι λογίζεται.[29]

— 8. τῶν μὲν γὰρ ἀπηγγελμένων] Ἀεχὴ τῶν ἀγάνων. εἰς δὲ τὰ σημεῖα, ἅπερ ἐστὶ τοῦ στοχασμοῦ ἰσχυρότατον κεφάλαιον, διότι καὶ αὐτὸς κεῖται τὰ ἔθνη τέλους σχεδὸν εἰπεῖν.

[P. 107. antep. παράσχῃς] Δείξῃς. Mead.]

P. 108. 10. συνέδρων] Συνέδρους καλεῖ τοὺς συμμάχους, ἢ τοὺς παρὰ τῶν[30] συμμάχων πεμφθέντας.

— 14. ἐν ᾧ κελεύει] Ἐπειδὴ πρὸ τῆς ἐκκλησίας ἐγράφοντο αὐτοὶ οἱ πρυτάνεις περὶ τίνων ἡ ἐκκλησία μέλλει βουλεύεσθαι.

— 15. τὴν ἐν Διονύσου] Ἐν τῷ θεάτρῳ αὐτῷ μετὰ τὴν ἑορτὴν ἐκκλησία ἠθροίζετο, ἐν ᾗ οὐδὲν ἕτερον ἢ τὰ περὶ τὴν ἑορτὴν ἐσκοποῦντο, καὶ τοὺς πλημμελήσαντας περὶ αὐτὴν ἐκόλαζον.

— 17. προϋφαιρᾶν] Προαρπάζων, ἢ ἐπείγων γενέσθαι, ἵνα ἐκκλείσῃ τοὺς Ἕλληνας τῆς εἰρήνης.

— 21. λέγε αὐτοῖς] Τῶν συμμάχων δηλονότι, ἢ τοῦ Δημοσθένους. αὐτοῖς δὲ, τοῖς δικαστοῖς δηλονότι.

P. 109. 23. λόγον δὲ μὴ προτιθέναι] Γέγραφε γὰρ ὁ Δημοσθένης ἐν τῷ ψηφίσματι τῇ δευτέρᾳ ἡμέρᾳ μόνον ἐπιψηφίζειν, ὅ ἐστι κυροῦν· συμβουλεύειν δὲ μηδένα. πῶς οὖν, φησὶν, ἔμελλον συνηγορεῖν φιλοκρατεῖ, μὴ οὔσης ἀδείας διὰ τὸ ψήφισμα;

P. 110. 1. τοὺς ἐφ' ἡμέραν καιροὺς] Γρ. ἐφημέρους. καιροὺς λέγει ἐνταῦθα τοὺς χρόνους. πρὸς γὰρ τὰς χρείας περιπιπτούσας οὕτω καὶ τοὺς λόγους μεταβάλλουσι.

[— 4. προτεθέντων] Προβληθέντων. Mead.]

P. 111. 4. ἐκκλήτευε] Ἀντὶ τοῦ ἐκκαλοῦ αὐτὸν ἐπὶ ὅρκον ὅλον. τῇ σῇ φανῇ κάλεσον αὐτὸν, ὦ κῆρυξ. ἐκινδύνευε γὰρ ὁ καλούμενος καὶ μὴ ὑπακούων, ὡς καταφρονῶν τῶν νόμων.

— 15. στρατηγὸν] Χάρητα.

— antep. τὸ συνέδριον] Οἱονεὶ εἰς τὴν πόλιν τῶν Ἀθηναίων. συνέδριον δὲ αὐτὸν καλεῖ, καθὸ οἱ σύμμαχοι εἰς τὴν εἰρηνέμενον πόλιν συνήεσαν συνεδευόντες καὶ βουλευόμενοι.

— ult. καταχρήσασθε] Φονεύσατε, καταδικάσατε.

P. 112. 3. οἱ κατήγοροι] Οἷον ὅταν πολλάκις αὐτούς τινες κατηγορήσωσιν.

— 5. ἀλαζονείας] Ψευδολογίας, ἢ προσποιήματα.

— 6. Δηϊάρην etc.] Οὗτοι ξενικῶν στρατευμάτων καὶ μισθοφορικῶν ἡγεμόνες. τούτους καὶ λέγει ἡγουμένους τῶν ξενικῶν στρατευμάτων, οὓς παρέφερον οἱ περὶ τὸν Χάρητα εἰς μαρτυρίαν, λέγοντες, ὅτι εἰς τούτους ἀνηλώσαμεν. δραπέτας δὲ οἱονεὶ πλαναμένους τινὰς καὶ μὴ ἔχοντας πατρίδα.

— 10. κατῆγον] Οἱονεὶ ἐπειράτευον, ἐλῃστευον, καὶ ὡς ἑαυτοὺς λῃστρικῶς κατῆγον τοὺς πλοϊζομένους.

— 13. Μυσνήσου] Μικρὰ νῆσος, ἣν λῃσταὶ καταλαβόντες [καὶ ἐξ αὐτῆς ὁρμώμενοι τοὺς][31] πλέοντας ἐλῃστευον.

— antep. Λήμνου etc.] Αὗται νῆσοι Ἀθηναίων ὑπήκοοι.

— ult. συγκλήτους ἠναγκάζεσθε ἐκκλησιάζειν] Σύγκλητος ἐκκλησία ἐκαλεῖτο ἡ μὴ κατὰ τὸν νόμον, μηδὲ κατὰ τὸ ἔθος γινομένη, ἀλλὰ ἐκ τοῦ παραχρῆμα καὶ κατὰ χρείαν τινὰ, οἷον εἴ τι ἐξαίφνης κατεπείξειεν.[32]

P. 114. 3. Τολμίδου] Τοῦτον μνημονεύει Διόδωρος ὁ Σικελιώτης ἐν βίβλῳ ἑνδεκάτῃ.

[26] Deest hoc scholium Ap. Goens.

[27] Item hoc deest.

[28] Ἐν ᾧ καθεζόμενοι θεᾶνται] Apogr. Goens. ἐνωκατε ζυγγυνοι θεωται.

[29] Ap. Goens. λογιζεσθαι.

[30] Παρὰ τῶν] Ap. Goens. παρ' αλλων.

[31] Verba uncis inclusa absunt ab Ap. Goens.

[32] Κατεπείξειεν] Sic dedi melius e schedis Taylori, quam ed. Brook. κατεπέξειεν, errore forsitan typographico. vitiose quoque Apogr. Goens. κατεπιξειν.

— 20. ἁρμοστὴν] Ἁρμοσταὶ οἱ εἰς τὰς ὑπηκόους πόλεις ὑπὸ Λακεδαιμονίων ἐκπεμπόμενοι ἄρχοντες.

P. 115. 11. ἐν τοῖς μυείοις] Μύριοι Ἀρκάδων συιέδριον ἐν Μεγαλοπόλει.

P. 116. antep. Κριτόβουλος] Ὁ Κερσοβλέπτου τοῦ Θρᾴκης βασιλέως πρεσβευτής.

— ult. ἀποδεῖναι] Ἵνα, ὥσπερ οἱ Ἀθηναῖοι καὶ οἱ αὐτῶν σύμμαχοι ἐδίδοσαν ὅρκους τοῖς παρὰ Φιλίππου, οὕτω καὶ ὁ Κριτόβουλος δῷ ὑπὲρ Κερσοβλέπτου, ὡς ὄντος ἐκείνου ἐκ τῶν συμμάχων.

P. 117. 8. ἐπιψηφεῖν] Ὁπότε ἐν τῇ ἐκκλησίᾳ ψήφισμα ἐγράφη, ἐπεψήφιζον αὐτὸ οἱ πρέσβεις πρότερον, εἶτα τῷ δήμῳ ἀνεγνώσαντο. ἐπιψηφίζειν δέ ἐστι τὸ ἐπί τινι ψῆφον φέρειν, ἢ ὑποβάλλειν, ὥστε κυρῶσαι τὸν δῆμον.

P. 118. 11. ἐν τῷ στρατηγίῳ] Οἶκός τις δημόσιος ἦν, ἔνθα συνήεσαν οἱ στρατηγοί, ὥσπερ τὸ ἀρχεῖον ἐκάλουν, ἐν ᾧ συναμίλουν οἱ ἄρχοντες.

— 19. ἀπὸ τῶν ἱερῶν] Ἱερὰ λέγει τὰ καλούμενα τόμια, καθ' ἃν ὤμνυον.

— pen. κατ' ἀνδρὶς πολίτου] Κατ' ἀιδρὸς, ὃς πολίτης ἐστὶν Ἀττικὸς, οὐ Σκύθης, ὡς Δημοσθένης.

P. 119. 3. ἐπὶ Παλλαδίῳ] Δικαστήριον ἐπὶ Παλλαδίῳ ἐστὶν ἀκουσίων φόνων. τοῦτο δὲ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

— ibid. κατέδειξαν] Ἀπέδειξαν.[33]

P. 120. 1. κάλλιστον γὰρ] Δηλονότι τὰ δημόσια γράμματα.

— 10. ταῦτα μὴ ποιεῖν] Τουτέστι μὴ πολιορκεῖν Κερσοβλέπτην.

— 14. τὸ ἱερὸν ὄρος] Γράφεται τὸ Ἡραῖον ὄρος. ἔστι δὲ κατὰ στόμα Πόντου ἐμπόριον.[34]

P. 121. 16. ἐπιβολὴν] Τὴν ζημίαν, τὸ ἐπιτίμιον.

— pen. τούτοις] Τοῖς δικασταῖς καὶ τοῖς περιεστηκόσι. γράφεται καὶ τοῦτο.

P. 122. 2. ἐξομοσάμενος] Σὺν ὅρκῳ ἀπωσάμενος.[35] ἐξωμοσία ἐστὶ μεθ' ὅρκου ἄρνησις. ἀντωμοσία δέ ἐστιν ἐπὶ δίκῃ· διὰ γὰρ τὸ ὀμνῦναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα ὅτι ἠδίκηκας, τὸν δὲ ἐγκαλούμενον ὅτι ἠδίκημαι ἢ ὅτι ἡ πόλις ἠδίκηται, εἴρηται ἀντωμοσία. οἱ δὲ, ὅτι ἐπ' ἀδικήμασιν ἀμαρτυρήτοις καὶ ἀνεπιγράπτοις εἰς ὅρκους παρεστάμενη δίκη, ἐφ' ᾗ ὅσοι κεῖται δικάζουσιν· ἔνιοι δὲ, ὅτι ἐπὶ δημοσίου ἀγῶνος τοῦ φεύγοντος σκηπτομένου καὶ ὀμνύοντος, ὁ ἀντίδικος ἀνθυπόμνυται, φάσκων αὐτὸν πεσσοπιεῖσθαι.

— 15. μηδὲν ἧττον] Αὕτη ἐστὶν ἡ τρίτη πρεσβεία.

— 18. ἀλλ' ἐπὶ ταύτην] Τὴν δευτέραν.[36]

P. 123. 8. στρωματόδεσμα] Στρωματόδεσμον, ἡ στρωματόδεσμος, στρωμνὴ δεδεμένη, πήρα στρατιωτικὴ καὶ ὁδοιπορικὴ,[37] ἣ καὶ πρὸς τὸ ἀναπαύεσθαι χρησίμη ἐστί.

— 11. ἐν παισὶ μὲν γὰρ ἄν] Ἑπτὰ καὶ δέκα γοῦν ἔτι γεγενὼς ἐδοκιμάσθη κατὰ τὸ ψήφισμα, ἴσως συγχωρηθέντος αὐτῷ τούτου, ἵνα δικάσηται τοῖς ἐπιτρόποις. κατὰ γὰρ τὴν νόμον ὀκτωκαιδεκαετεῖς ἐδοκιμάζετο· εἶτα μετ' ἔτη δύο ἐλάμβανον ἀπὸ τῶν ἐπιτρόπων οἱ ὀρφανοὶ τὰς οὐσίας.

— 12. Βάταλος] Πλούταρχος ἐν τῷ Δημοσθένους βίῳ· Βάταλος μόριόν τι τοῦ σώματος παρὰ τοῖς Ἀττικοῖς αἰσχρὸν, πρωκτός.

— 14. Ἀργὰς] Ἀργὰς ὄφεις εἶδος. οὕτω δὴ ἀνομάσθη διὰ τὸ τῆς φύσεως πονηρὸν καὶ κακόηθες.

— 15. ἐνεκαλύψαντο] Τὰ πρόσωπα ἐκάλυψαν ὑπ' αἰσχύνης τῶν ὑπὸ Δημοσθένους εἰρημένων.

P. 129. 2. ἀρὰ ἰσχυρὰ] Αὕτη ἡ ἀρά ἐστιν ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ.

— 10. ἐκ Δωρίου] Δώριον καὶ Κυτύνιον καὶ Σπάρτα τρεῖς πόλεις Δωρικαί.

P. 130. 19. Θήβας Βοιωτίας] Τουτέστι τὰς Θήβας ὅλας τῆς Βοιωτίας μέρος εἶναι, καὶ μὴ τὴν ὅλην Βοιωτίαν ἐν Θήβαις εἶναι.

P. 132. 16. τὸν Λυδίαν] Γραπτέον Λοιδίαν. ἔστι δὲ Λοιδίας Μακεδονίας ποταμὸς, ὥς φησιν Ἁρποκρατίων.

— 19. οὐ δυνατὸς ἦν] Εἰρωνεία.

P. 133. 11. ἐνδέχεται τὸ λοιπὸν] Τοῖς περὶ τῶν μεγίστων ἀγωνιζομένοις δικηεῖτο ἡ ἡμέρα, καὶ ἐδίδοτο αὐτοῖς[38] ἥμισυ τῷ κατηγόρῳ, ἥμισυ τῷ ἀπολογουμένῳ, καὶ διεμετρεῖτο ὕδωρ, ὅσον ἐπαρκεῖν εἰς τὰς ὥρας τοῦ ἡμίσεως τῆς ἡμέρας· τοῦτο δὲ ἀπὸ μιᾶς ὥρας. ΑΛΛΩΣ. Μέτρον τι ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ἐρρεεν. ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνὶ, ἃς ἐν τούτῳ ἠγωνίζοντο οἱ μέγιστοι ἀγῶνες. διενέμετο δὲ εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ τοῖς δικασταῖς.

P. 137. 6. κατοικεῖ] Ἀνίστησι, τειχίζει. Δημοσθένης ἐν τῇ κατηγορίᾳ· οὗτος μὲν γὰρ ἔφη καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν.

— 20. οὐκ ἐδέχοντο] Οἱ Φωκεῖς δηλονότι.

P. 138. 7. καὶ δεομένων] Δεομένων βοηθείας τῆς παρ' ἡμῶν, ἢ δεομένων Φιλίππου τὴν Βοιωτίαν πορθῆσαι.

— ult. κατηλόησαν] Ἐπάτησαν, ἐκάκωσαν, ἔτυψαν.

P. 140. 4. ὡς ἐγὼ τοῖς ἐμαυτοῦ] Τουτέστιν ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις ἐλέγχομαι καὶ ἁλίσκομαι, ἢ ὡς τὰ ὑπ' ἐμοῦ κατὰ τοῦ ἄλλου[39] εἰρημένα, ἤγουν κατὰ τοῦ Τιμάρχου, ταῦτα εἰς ἐμὲ πάλιν ἔρχεται καὶ κατ' ἐμοῦ ἰσχύει τῇ συκοφαντίᾳ.[40]

[33] Scholium hoc deest Ap. Goens.

[34] Item hoc, cum duobus proximis insequentibus.

[35] Melius Apogr. Goens. ἀπομωσάμενος.

[36] Hoc scholium cum proximo insequente deest Apogr. Goens.

[37] Ap. Goens. παρὰ στρατιωτικοῖς καὶ ὁδοιποροικοῖς.

[38] Leg. αὐτῆς.

[39] Ap. Goens. του αντα. sic. fort. τοῦ ἀνθρώπου.

[40] Postrema hæc duo vocabula sunt in Ap. Goens., sed desunt editioni Brook. v. dicenda ad scholium deinceps proximum.

— 20. προβολὰς] Προβολὴ κατηγορία πρὸς τὴν δῆμον ἀσεβείας ἢ συκοφαντίας.[41]

P. 141. 2. ἀναβιβᾶμαι] Τοῦτ' ἔστι, φανερὰ ποιῶν.

— 9. διὰ τὸν πόλεμον] Πελοποννησιακόν.

— 12. Ἐτεεβουτάδαις] Ἐτεεβουτάδαι οἱ βάτραχοι τοῦ λίμνας ἀπόγονοι, γένος λαμπρὸν παρ' Ἀθηναίοις. τὸ δὲ ἐτεὸν τὸ ἀληθὲς δηλοῖ.

— 13. τῆς πολιάδος] Τῆς πολιούχου, τουτέστι τῆς τὴν πόλιν φυλαττούσης καὶ συνεχούσης.[42]

— 20. σὺ δὲ ἀμφισβητῶν] Ἀνδρόγυνον εἶναι δηλοῖ. ἀναγκαστέον δὲ ἀμφισβητούμενος ἀνὴρ εἶναι, τουτέστιν οὐχ ὁμολογούμενος ἀνὴρ εἶναι.

— pen. Ἀριστάρχου] Τοῦτον μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Μειδίου καὶ ἀλλαχοῦ. τούτου δὲ μειρακίου ὄντος ἐρασθεὶς, καὶ δι' αὐτὸ παροινήσας εἰς Νικόδημον, ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ὡς φασί τινες.

— ult. ἐμβάλλεις] Οὐ προσήκων εἰσέρχῃ.[43]

P. 142. 10. ἀλλ' οὐ Κυνσίᾳ] Λέγεται Δημοσθένης Κυνσίᾳ τοῦτον μειρακίσκον ὄντα, καὶ τα γυναῖκα ἔχων,[44] ὥστε καὶ αὐτὴν ἀγανακτεῖν τοῖς συμπαίζουσι τῷ Κυνσίᾳ, ἀναλαβεῖν καὶ εἰσδέξασθαι εἰς τὴν οἰκίαν.

[— 15. πόῤῥωθεν] Ἐξ ἀρχῆς. Mead.]

P. 143. 6. Ἐπικράτους] Τοῦτον Δημοσθένης λοιδορῶν Κηρύβανα[45] ἐπονομάζει ἐν τῷ κατ' Αἰσχίνου.

— 12. τοὺς πάντων] Τοὺς παῖδας.[46]

P. 144. 8. ἐξεῤῥίφη] Ἐξεβλήθη.

— ibid. τῶν τοιούτων] Αἰσχρῶν.

P. 145. ult. προστρόπαιον] Μιαρὸν, κατάρατον. [Προστρόπαιόν ἐστιν ὁ εἰς ἑαυτὸν ἐπισπώμενος τὰ κακά· ὅπερ ἐστὶν ἐναντίον τοῦ ἀποτρόπαιον. προστρόπαιον δὲ φησιν ἑαυτοῦ· μὴ γὰρ γένοιτο τῆς πόλεως. Harley.]

P. 147. 4. συνῆδον] Τουτέστι συνεπαιώνιζον Φιλίππῳ. τούτῳ γὰρ ῥήματι χρῆται Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

— 19. ἀνηλέντος] Μηδενὸς ἐλέου ἄξιος.

P. 148. ult. περίπολος] Εἴρηται περίπολος παρὰ τὸ περιπολεῖν τὴν χώραν. οἱ γὰρ ἔφηβοι τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιεπόλων, τουτέστι περιήρχοντο τὴν χώραν, καὶ διέτριβον ἐν τοῖς φυλακτηρίοις, ἢ ἐν τοῖς φρουρίοις, ἐνίοτε ἔτος ἓν μόνον, ἐνίοτε δύο. *Ulpian.*[47]

[P. 149. 3. συμπαραπέμπων] Ἤγουν συστρατεύων. Mead.

— 5. Φλιοῦντα] Πόλιν Ἀρκαδίας. Mead.

— antep. χαράδρα] Τόπος κοῖλος. Mead.

P. 150. 4. ἐκινδύνευσα] Ἤγουν ἀνδρείως ἐπολέμησα. Mead.

— 8. συμπρεσβεύσαντος] Παρακαλέσαντος. Mead.]

P. 151. 12. ἐπριάμεθα] Τουτέστι ἐμισθωσάμεθα.

P. 152. 20. ἀναφθέντος] Ἀναφύντος, ἀναζωπυρωθέντος.

[41] Sic utrumque exemplum. Sed melius absint hæc duo postrema vocabula, perperam e superiori scholio huc illata.

[42] Deest hoc scholium Apogr. Goens.

[43] Leg. προσῆκον (in neutro). Deest hoc scholium Apogr. Goens.

[44] Taylor suspicatur hic aliquid deesse.

[45] Ap. Goens. Κορυβανα. lege Κηρυβίανα.

[46] Hoc scholium deest Ap. Goens. una cum duobus deinceps proximis.

[47] Admonitionem hanc de Ulpiano tam in editione Br. quam in Ap. Goens. reperi.

AD ORATIONEM IN CTESIPHONTEM.

*** Scholia ad hanc orationem, a Reiskio edita, litera R. signantur; a Bekkero (in Editione sua, Halis Saxonum, 1815.), litera B.

P. 162. 1. τὴν μὲν παρασκευὴν] Τὴν τῶν σπουδαίων σπουδὴν. παρασκευὴν δὲ εἶπεν ὡς καθ' ἑαυτοῦ γινομένην, δέησιν δὲ ὡς πρὸς τοὺς δικαστάς. φασὶ γὰρ ἐμοὶ μὲν ἀπειλοῦσιν, ὑμᾶν δὲ δέονται. B.

— 2. τὴν παράταξιν] Ἀντὶ τοῦ σύνταξιν καὶ παρακλήσεις καὶ συναγωνιστὰς σπουδῶν. δοκεῖ δὲ τραγικωτέρᾳ κεχρῆσθαι εἰθὺς ἐν ἀρχῇ τῇ μεταφορᾷ, πολιτικώτερον δὲ ὑπὸ Δημοσθένους εἰρῆσθαι τὸ αὐτὸ νόημα ἐν τῷ τῆς παραπρεσβείας, εὐθὺς ἐν ἀρχῇ, ἔχον οὕτως· ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ καὶ παραγγελία γέγονε κ. τ. ἑ. B.

P. 163. 1. τὰ μέτρια καὶ τὰ συνήθη] Μέτρια τὰ προσήκοντα, τὰ καθήκοντα· συνήθη δὲ τὸ ἐξ ἴσου ἀκροᾶσθαι καὶ μηδὲν παρὰ τὸ δίκαιόν τινι χαρίζεσθαι. ΑΛΛΩΣ. Ἀντὶ τοῦ τὰ δίκαια. συνήθη δὲ τὰ εἰθισμένα τῇ δημοκρατίᾳ, ὅ ἐστι τὰ ἴσα. B.

— 6. τὴν βουλὴν τοὺς πεντακοσίους] Πρὸς διαστολὴν τῆς Ἀρειοπαγιτικῆς βουλῆς, ἥτις ἦν ἀδιάδοχος. R. B.

— 10. τῷ πρεσβυτάτῳ] Τῷ ὑπὲρ πεντήκοντα ἔτη. R. B.

P. 164. 2. οὐκ ἐκ τοῦ δικαιοτάτου] Ἑκάστη φυλὴ κατὰ μῆνα ἐπρυτάνευε, καὶ ταύτης τινὲς ἦσαν πρόεδροι, καὶ τούτων πρῶτος ὁ ἐπιστάτης, ὃς πρῶτος ἐπεψήφιζεν. ἦσαν δὲ οὗτοι κληρωτοί. φησὶν οὖν ὅτι οὐ κληρωτοὶ ἦσαν οἱ ἐπιψηφίσαντες, οὐδὲ νομίμως εἰληχότες προε-

δρεύειν, ἀλλὰ κατασκευαστοὶ καὶ ἐγκάθετοι σπουδασταί. εἰκὸς δὲ πανουργεῖσθαι περὶ τὰς διακληρώσεις τινὰς, καὶ ὑπωνεῖσθαι τοὺς κλήρους, καὶ ἄλλως πως πραγματεύεσθαι περὸς τὸ δοκεῖν εἰληχέναι. ἐγίνετο γάρ τινες, ὡς εἴπομεν, κληρωτοὶ ἐξ ὅλου τοῦ δήμου πρόεδροι. οὗτοι δὲ μετὰ τῆς προεδρευούσης φυλῆς ἐκάθηντο, καὶ ἐπεψήφιζον τὰ δοκοῦντα τῇ ὅλῃ βουλῇ. B.

— 4. ὄντως] Οἱονεὶ ἀληθῶς καὶ οὐ κεκακουργημένως. λάχῃ δὲ κληρούμενος ἀντὶ τοῦ ἀπὸ κλήρου σχοίη τὴν ἐξουσίαν τοῦ προεδρεύειν. P. 165. 2. τὸ κάλλιστον] Τοῦτο δὲ ὡς δημοτικὸν ἐπαινεῖ. ἔστι δὲ προσαγωγὸν τῶν δικαστῶν, εἰ μὴ τοὺς πλουσίους καλεῖ, ἀλλὰ τὸν βουλόμενον. B.

— 7. οἱ πρόεδροι] Πρόεδροι ἐλέγοντο οἱ δέκα ἄνδρες οἱ καθ' ἑκάστην πρυτανείαν τὰ τῆς ἐκκλησίας διοικοῦντες. οὗτοι δὲ ἐκαλοῦντο, ὅτι τῶν ἄλλων ἁπάντων προήδρευον. ἦσαν δὲ πρυτανεῖαι δέκα, ἕσαι καὶ Ἀθηναῖαν φυλαί. εἶχε δὲ ἑκάστη φυλὴ πρυτάνεις πεντήκοντα, οἱ τὰ ὅλα διῴκουν ἡμέρας τριάκοντα πέντε. οὗτοι δὲ διηροῦντο εἰς δεκαδαρχίας πέντε τῶν προέδραν λεγομένων, οἳ ἡμέρας ἑπτὰ διῴκουν τὰ πολιτικὰ, καὶ προήδρευον κατὰ μέρος. καὶ οὗτοι τρεῖς ἦσαν τῆς διοικήσεως ἄμοιροι. ὁ δὲ μίαν ἡμέραν τὸ ὅλα διοικῶν, ἄρχων ἐφήμερος καὶ ἐπιστάτης ἐκαλεῖτο. R. B. ΑΛΛΩΣ. Ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς, ὅτι ἑκάστη τῶν δέκα φυλῶν τριάκοντα ἐξ ἡμέρας διῴκει τὴν πόλιν, καὶ αὐτὴ εἶχε τὴν προεδρίαν τῶν ἄλλων. πάλιν δὲ αὐτῆς τῆς προεδρευούσης φυλῆς ἦσάν τινες τιμιώτεροι, οἱ πρόεδροι, οἵ τινες δι' ἑαυτῶν διῴκουν αὐταῖς ταῖς ἡμέραις πάντα τὰ καθήκοντα τῇ ἑαυτῶν φυλῇ. B.

— 8. τὸ δέκατον μέρος] Δέκα γὰρ ἦσαν φυλαὶ καθισταμέναι Ἀθήνησιν ἀπὸ τῆς Κλεισθένους πολιτείας, εἰς ἃς ἅπαντες ἦσαν Ἀθηναίων διανενεμημένοι. ἔοικε δὲ ἡ βουλὴ πόλις εἶναι μικρά· ἔστι γὰρ ἐκ τῶν δέκα φυλῶν καὶ ὅλη ἡ πόλις. τὸ γὰρ δέκατον μέρος ταύτης δέκατον μέρος ἐστὶ τῆς πόλεως. B.

— 11. τοιούτων, ὁποίους] Τὸ ἐπαχθὲς ἔφυγεν, ἵνα μὴ λυπήσῃ. B.

— ult. τυραννὶς] Τυράννους ἔλεγον καὶ τοὺς βασιλεῖς. — ταύτην τινὲς ἀριστοκρατίαν λέγουσιν. B.

P. 168. 17. εὐθύναις] Εὐθῦναι αἱ τῶν δικαιωμάτων ἐξετάσεις. B.

— ibid. τῶν ἀρχόντων] Τῶν λογιστῶν. λογισταὶ δὲ ὄνομα ἀρχῆς. δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς οἱ πρεσβεύσαντες ἤ τι δημόσιον διοικήσαντες [δικασάντες R.] ἤ τινα ἀρχὴν ἄρξαντες ἐδίδοσαν τὰς εὐθύνας. εὐθῦναι δὲ αἱ τῶν διῳκημένων ἐν ταῖς ἀρχαῖς δοκιμασίαι καὶ ἐξετάσεις καὶ ἀπολογισμοί. R. B.

P. 169. 1. τὰς εὐθύνας ὠφληκὼς] Ὥσπερ λέγομεν εὐθύνας δέδωκεν, ἐὰν ἄμεμπτος εὑρεθῇ, οὕτω καὶ ὠφληκὼς, ἐὰν ἀδικήσας ὀφθῇ. B.

— 5. τοὺς ὑπευθύνους] Τοὺς μήπω λόγον τῶν διῳκημένων ἀποδεδωκότας. B.

— 11. προβάλλονται] Προκάλυμμα ποιοῦνται τῆς αἰσχύνης. B.

— 13. λόγον] Ἀντὶ τοῦ ἀπολογίαν. καὶ γὰρ ἐν τοῖς Φιλιππικοῖς ὁ Δημοσθένης· οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις. B.

— 18. Κτησιφῶν δὲ] Εἰπὼν οἱ μὲν μέτριοί εἰσιν, ἤδει ἐπενεγκεῖν οἱ δὲ ἀναιδεῖς, ὧν ἐστὶ Κτησιφῶν. ὁ δὲ οὐχ οὕτως ἐποίησεν, ἀλλ' οἱ μὲν φύσει μέτριοι, ὁ δὲ Κτησιφῶν ὑπερπηδήσας τὸν νόμον κ. ἑ. B.

— ibid. ὑπερπηδήσας] Ὑπερβάς. R. B.

— 21. μεταξὺ Δημοσθένην ἄρχοντα] Ἀντὶ τοῦ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἀρχῆς. ἢ μεταξὺ τοῦ χρόνου τοῦ εἶναι αὐτὸν ὑπεύθυνον. — οἷον κατὰ μέσον ἄρχοντα, μεσοῦντα τῆς ἀρχῆς. B.

— antep. ἕτερον] Οὐδένα προεῖπε τῶν ἀντιδικούντων λόγον. πῶς φησὶ δὲ καὶ ἕτερον; B.

P. 170. 1. ἀρχὰς] Τρεῖς ἦσαν Ἀθήνησιν ἀρχαί, αἵ τε κληρωταὶ, καὶ ἃς ὁ δῆμος ἐν ἀρχαιρεσίαις χειροτονεῖ, αἵ τε κατὰ καιροὺς φυλακαὶ τειχῶν ἐπισκευῆς καὶ ὅσα τοιαῦτα. αἱροῦνται δὲ ταύτας καὶ φυλαὶ καὶ δῆμοι. τὸν γὰρ Δημοσθένην καὶ τειχοποιὸν εἵλετο ἡ Πανδιονὶς φυλή. τούτων δὲ τῶν τριῶν τὰς τελευταίας ἴσως φησὶ καλοῦσιν ἐπιστασίας καὶ πραγματείας, ὧν μίαν ὁ Δημοσθένης ἔπραττε. δείκνυσιν οὖν κατὰ τοὺς νόμους ἀρχὰς λεγομένας καὶ συμπάσας τὰς ὑπὲρ μῆνα ἐπιστασίας. B.

— 2. ἀποκληροῦσιν] Ἀντὶ τοῦ διὰ κλήρου αὐτοῖς παρέχουσι τὴν ἀρχὴν ἐν τῷ Θησείῳ, ἴσως τῶν Θεσμοθετῶν ἐκεῖ ἀεὶ χειροτονούντων εὐτελεῖς τινὰς διοικήσεις, ὡς πρὸς τιμὴν τοῦ Θησέως τοῦ οἰκιστοῦ, οὗ τινὸς τὰ ὀστᾶ ἐκεῖ ἐκεῖτο. νόμος δ' ἦν τοὺς ἀποφυγόντας τῶν οἰκετῶν εἰς τὸ τοῦ Θησέως τέμενος ἀτιμωρήτους εἶναι. οἱ δὲ Θεσμοθέται τῶν ἐννέα ἀρχόντων εἰσὶ, τὸν ἀριθμὸν ὄντες ἑξ. διαλλάσσουσι δ' αὐτοὺς οἱ καλούμενοι νομοφύλακες. — Δύο Θησεῖα ἐν τῇ πόλει . . . . . αὐτοῦ ἐπιτάφιον ποιήσαντες καὶ ἔξω τῆς πόλεως, ὃ ἔκτισεν αὐτῷ ἱερὸν, ὅτε κατήνεγκεν αὐτοῦ ἐκ Σκύρου τὰ ὀστᾶ. ἔφυγε δὲ διὰ τὸν Ἱππολύτου θάνατον, ὑπὸ Λύκου κατηγορηθείς. B.

— 8. ἐν ᾧ] Ὑπερβὰς τὰς χειροτονητάς φησιν ἀρχὰς καὶ τοὺς ἐπιστάτας καὶ τούσδε καὶ τούσδε καὶ τούσδε οὐ διακονεῖν ἀλλ' ἄρχειν δοκιμασθέντας. B.

P. 171. 2. ἡγεμενίας δικαστηρίαν] Οἷον ἐξουσίαν τοῦ καταδικάζειν τοὺς ὑπεναντίους. — Ἄρχοντες ἕκαστοι εἰσῆγόν τινας δίκας εἰς τὸ δικαστήριον. ἐκαλεῖτο δὲ τοῦτο ἡγεμονία δικαστηρίου. — Ὑπάρχει τις βασιλεὺς, θεσμοθέτης, τειχοποιὸς, λογιστής. οὗτοι τοὺς ὑφ' αὑτοὺς ἐκκληροῦντας δικαστήριον εἰσάγουσιν εἰς τοῦτο, οἷον λογιστὴς τοὺς ἄρχοντας κληρώσας δικαστήριον, οὗ προέστη τε καὶ εἰσάγει· καὶ πάλιν ὁ θεσμοθέτης. διὸ καὶ παρ' Ἀριστοφάνει δικαστὴς φησιν·

ὁ θεσμοθέτης ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω. B.

— pen. οὐ διακονεῖν] Οὐχ ὅτι ἐν τῷ νόμῳ γέγραπται μὴ διακονεῖν, ἀλλὰ τοῦ νόμου λέγοντος τούσδε καὶ τούσδε ἄρχειν δοκιμασθέντας. ἀλλ' ὑπολαβὼν φησιν οὐ διακονεῖν, ἀλλ' ἄρχει δοκιμασθέντας. B.

— ult. ἐπειδὴ] Ὅ λέγει, τοιοῦτόν ἐστιν. ἐπειδὴ οἱ ἀπὸ κλήρου γινόμενοι δοκιμάζονται, οἰκοῦν πλεῖον δεῖ δοκιμάζειν καὶ τοὺς ἄρχοντας. B.

P. 172. 2. τὸν γραμματέα] Γραμματέα λέγει τὸν εἰωθότα ἐν τῷ κοινῷ τὰ τοῦ δήμου γράμματα ἀναγιγνώσκειν. R. B.

— ibid. τοὺς λογιστὰς] Λογιστὴς ἑκάστης φυλῆς εἷς. γραμματέα δὲ ἕκαστοι εἶχον. λέγει οὖν νῦν τὸν λογιστῶν. B.

— 17. πρὸς δὲ] Δημοσθενικῶς προδιαβάλλει τὴν ἀντίθεσιν, μετὰ ἥθους δέ. ἔστι δὲ κατὰ ῥητὸν καὶ διάνοιαν. φησὶ γὰρ ὁ Αἰσχίνης ὅτι ὑπεύθυνος εἶ· τειχοποιὸς γὰρ εἶ. ὁ δὲ Δημοσθένης τειχοποιὸς εἶναι συντρέχει, τὸ δὲ τὰ γὰρ ἴδια ἀνάλωσα διάνοια τοῦ ῥητοῦ ἐστὶ, καὶ ἀμφισβητεῖται, ποῖα ἀνάλωσε τὰ ἴδια ἢ τὰ κοινά. B.

P. 173. 2. τηλικαύτῃ] Ἐν γὰρ τῇ μεγάλῃ ἐνδέχεται καὶ λαθεῖν. B.

— 4. ὁπωσοῦν] Δι' ἣν τινα πρόφασιν, ὁποία ποτ' ἂν ᾖ. B.

— 5. παράδοξαν] Τῶν παρὰ τὴν δόξαν, περὶ ἃν τις οὐκ ἂν προσδοκήσειεν οὐδ' ὑπολάβοι. B.

— 10. γένη] Γένη οὐ τὰς συγγενείας καλεῖ, ἀλλὰ ταῦτα ἅν οἱ μετέχοντες γενῆται καὶ ἀμεγάλακτες καλοῦνται. εἰσὶ δὲ ἅπερ παῦρι τινές, ἱερὸν κοινωνίας ἔχουσαι. B.

— ibid. Εὐμολπίδας] Εὐμόλπου ἀπογόνους. ἐγένετο δὲ Εὐμολπος Μουσαίου εἷς ἢ μαθητὴς, τοῦ τὰ μυστήρια εἰρηκότος. R. B. — Οἱ Εὐμολπίδαι γένος εἰσὶν ἀπὸ Εὐμόλπου. οὗτοί εἰσιν οἱ μυοῦντες· ἐκ τούτων γίνεται δαδοῦχος, ἱεροφάντης. οἱ δὲ Κήρυκες καὶ αὐτοί εἰσι τῶν περὶ τὰ μυστήρια. καὶ τοῦτο δὲ τὸ γένος ἀπό τινος διομαστικῶς λεχθέντος Κήρυκος. — Γένη καὶ πατρίαι τινὲς διάσημοι ..... Ἀθήνησιν ἱεροφάνται μὲν τῆς Δήμητρος ἀπὸ Εὐμολπιδῶν, δαδοῦχοι δ' ἀπὸ Κηρύκων. B.

P. 177. 15. ἐκκλησίᾳ] Τρεῖς γὰρ ἐκκλησίαι κατὰ μῆνα ἐγίνοντο. B.

— ult. πρότερον μὲν] Τοῦτο ὡς ἀντιπίπτον βούλεται λῦσαι, ἵνα γὰρ μὴ εἴπῃ ὁ Δημοσθένης ὅτι οὗτος εἶνους ἦμην τῇ πόλει, πολλάς μοι ἀρχὰς ἐπίστευσε, λύει λέγων ὅτι οὐ διὰ τὴν εὔνοιαν τὴν σὴν, ἀλλ' ἐπειδὴ ἦθος τοῦτο ἔχουσι. ἀπὸ Ἐπιθέλου. οὗτος γὰρ πολιτευόμενος ἦρχε τῶν θεωρικῶν, καὶ διὰ τὴν εὔνοιαν αὐτοῦ καὶ ἄλλας διοικήσεις ἐπίστευσεν αὐτῷ καὶ τὴν τοῦ ἀντιγραφέως ἀρχήν. ἐκ τούτου λοιπὸν καὶ εἰς τοὺς ἀναξίους ἔδραμε τὸ ἔθος. B.

P. 178. 1. πεντανείαν] Ἢ ἓν ἡμερῶν τριάκοντα πέντε, ὡς ἄνω εἴπομεν. R. B.

— 5. ἀποδεκτῶν] Ἀποδέκται ἦσαν οἱ δεχόμενοι τὰ χρήματα τῶν καταβολῶν, εἴ τις ἐχρεώστει τῷ δημοσίῳ ἐκ καταδίκης. ὁδοποιοὶ δὲ οἱ ἐπιμελούμενοι τῆς καθαρότητος τῶν ὁδῶν τῆς πόλεως. B.

P. 179. 8. ἐπιβολὰς] Οἷον ζημίας καὶ καταδίκας τοῖς ὑπ' αὐτὸν, ὅπερ ἐστὶν ἔργον τῆς ἀρχῆς. B.

— ult. ἱσταμένου] Καλῶς τὸ ἱσταμένου μηνὸς, ἐπειδὴ ἐστι καὶ δευτέρα φθίνοντος. B.

P. 180. ult. ἀντιδιαπλέκει] Οἷον ἄλλο ἀντ' ἄλλου εἰσάγει. μὴ δυνάμενος γὰρ δεῖξαι, ὅτι οὐκ ἦν ὑπεύθυνος, λέγει ὅτι ἀλλ' οὐχ ὑπὸ τῆς πόλεως ἐχειροτονήθην, ἀλλ' ὑπὸ τῆς φυλῆς μου. B.

P. 181. pen. τριττύες] Ὅ ἐστι τρίτον μέρος τῆς φυλῆς. πολλάκις γὰρ καὶ ἡ πᾶσα φυλὴ ἑαυτῆς ἕνα προεβάλλετο· πολλάκις δὲ καὶ ἓν ἕκαστον μέρος τῶν τριῶν μερῶν τῆς φυλῆς ἕνα ὑπὲρ ἑκάστου μέρους. καὶ οἱ δῆμοι οἱ μεριοὶ, οἷον ἅπερ αἱ κῶμαι. τοῦτο δὲ εἶπεν, ὡς ὅτι οἱ δῆμοι ἐξ αὐτῶν αἱροῦνταί τινα, ἵνα ὑπὲρ τοῦ δήμου αὐτοῦ τοῦ μεριοῦ φροντίζῃ. B.

P. 182. 11. ὁ δὲ ῥήτωρ] Κατ' εἰρωνείαν εἴρηται, μᾶλλον δὲ κατ' ἀλήθειαν. βούλεται γὰρ αὐτὸν εἶναι ῥήτορα διὰ τὸ χρήσιμον αὐτοῦ, ἐπειδὴ λέγει, διὰ τί μὴ αὐτὸς ἀπολογεῖται ὑπὲρ ἑαυτοῦ, ἀλλὰ τὸν Δημοσθένην εἰς συνηγορίαν ἐκάλει. B.

— 14. τοὺς ἀντιδίκους] Διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἀντιλέγειν πρὸς τὰ προειρημένα. B.

— 19. διαῤῥήδην] Φανερῶς, διωρισμένως. R. B.

P. 183. 2. οὖτος] Ἐπὶ τὸ δεύτερον νόμιμον μεταβαίνει. B.

— 5. ἐργολαβεῖν] Ἵνα διὰ τοῦ ἐν τῷ θεάτρῳ στεφανοῦσθαι ἔχῃ ἑαυτῷ τοὺς παρέχοντας τὰ χρήματα, ὡς δυνατῶν καὶ τιμώμενος ἐν τῇ πόλει. B.

— 10. Πυνὺξ] Πυνὺξ τόπου ὄνομα, ἐν ᾧ ὁ δῆμος ἐκκλησίαζον συνήγετο. R. B.

P. 184. 1. νόμον] Θέλει εἰπεῖν τὸν περὶ τῶν ξένων, ὅτι κελεύει ὁ νόμος τὸν ξενικὸν στέφανον ἐν τῷ θεάτρῳ ἀναγορεύεσθαι. τοῦτον γὰρ καλεῖ Διονυσιακόν. ὁ δὲ Δημοσθένης διακόψας τὸ ἥμισυ τοῦ νόμου τοῦ πολιτικοῦ παρενέβαλε τῶν τῶν ξένων, ὡς ἔγνωμεν ἐκεῖσε ἐν τῷ ὑπὲρ τοῦ Στεφάνου. διὸ ἐπάγει μέρει τινὶ λέγων. B.

P. 185. 2. ἐπιγράψαντας] Οἰονεὶ ὑποβαλόντας. B.

— 11. ἀποδόνταν] Δηλονότι τὸ κρίνειν. B.

— 17. οἱ νόμοι] Πάλιν πληθυντικῶς εἶπεν ἀντὶ ἑνικοῦ. B.

P. 186. 1. ὑποκηρυξάμενοι] Ἀττικῶς ἀντὶ τοῦ κηρύξαντες. χαίρουσι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παθητικοῖς. B.

— 3. ὃ δ' ἦν ἐπιφθονάτατον] Λείπει τοῦτο προσθῆσαι.

— 4. εὑρημέναι] Ἀντὶ τοῦ ποιούμενοι. τοῦτό φησι· τινὲς ἐνταῦθα ἑαυτοῖς κατεσκεύαζον, προσποιούμενοι εἶναι πόλεών τινων, ἵνα αὐταὶ αἱ πόλεις πέμπωσιν αὐτοῖς στεφάνους. B.

— 6. ἕνεκ' ἀρετῆς] Εἰρωνείας καὶ ἤθους μεστὸς ὁ λόγος. B.

— 9. καταθέμεναι] Ἀντὶ τοῦ ὁμολογήσαντες. B.

P. 187. 12. ἐρανίζαν] Ἀντὶ τοῦ συλλέγων. B.

— 15. ὅταν δὴ] Ἐνταῦθα ἡ ἀπόδοσις ἐν σχήματι ἐπαναλήψεως, ἐπειδὴ διὰ πολλῶν ἦν ἠρτημένη ἄνωθεν ἀπὸ τοῦ ὅταν δὲ ἀποδείξῃ. B.

P. 188. 18. ὑποβάλλειν] Ἀποκρίνασθαι, ἀπαντῶν λόγοις. B.

P. 189. 7. ἁπλοῦς] Τριχῶς λέγεται τὸ ἁπλοῦν, ἢ ἐπὶ τοῦ ἀπανουργήτου, ἢ ἐπὶ τοῦ ἐρήμου, ἢ ἐπὶ τοῦ συντόμου. ἐνταῦθα οὖν ἁπλοῦν λέγει τὸ σύντομον, ὥςπερ Εὐριπίδης·

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

ἐντεῦθεν δὲ μετέρχεται ἐπὶ τὸν τρίτον νόμον, τὸν περὶ τῶν ψευδῶν γραμματίων, οἷον ὅτι οὐ δεῖ ψευδῆ γραμμάτια ἐγκεῖσθαι ἐν τῷ Μητρῴῳ· τοιοῦτοι δὲ οἱ περὶ Δημοσθένους ἔπαινοι. B.

— 13. κἂν τοῦτο] Τῷ κατὰ παράληψιν σχήματι κέχρηται. B.

— 16. τοὐναντίον] Οὐκ ἔστι τοῦτο πρὸς τὸ πρὸ αὐτοῦ, ἀλλὰ πρὸς τὸ ἔτι ἀνώτερον. οὐ γὰρ λέγει ὅτι δεικτέον αὐτῷ, εἰ ἔξεστι ψευδῆ γράμματα ἐνθέσθαι, ἀλλ' εἰ ἀληθεῖς οἱ περὶ αὐτοῦ τοῦ Δημοσθένους ἔπαινοι. B.

P. 190. 1. Κηφισοδότου] Οὗτος πολιορκήσας Ἀλωπεκόννησον, εἰσαγγελθεὶς διὰ τὴν συνθήκην τὴν πρὸς Χαρίδημον γενομένην, καὶ καταψηφισθεὶς, πέντε ταλάντοις ἐζημιώθη. εἰσαγγελία δέ ἐστι κατηγορία διὰ τὰ ἀδίκως ἢ κακῶς πεπραγμένα. R. B.

— 3. περιάγων] Δοκεῖ γὰρ τοῦτο ὥςπερ τιμή τις εἶναι τοῦ τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιδῇ τῆς νεὼς, καθὸ δοκεῖ τῶν ἄλλων τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατεσκευασμένην. οὐκ ἐμνήσθη δὲ τούτου ὁ Δημοσθένης ἐν τοῖς κατ' Ἀριστοκράτους, ἐπειδὴ μάλιστα μὲν οὐ δι' ἑαυτοῦ λέγει ἐκεῖνον τὸν λόγον, ἀλλ' Εὐδυκλῆς ἐστὶν ὁ ἐκεῖσε λέγων, λαβὼν τὸν λόγον παρὰ Δημοσθένους· εἶτα οὐκ ἀναγκαῖον ἦν. B.

— 5. τούτων ἀξιωθεὶς] Ἵνα λέγῃ περὶ τῆς προβολῆς ἐκείνης. B.

— 12. προδιδοὺς ὑμᾶς] Λείπει τούτῳ τῷ Δημοσθένει. B.

— 16. ὦ Κτησιφῶν] Τὸ σχῆμα ἀποστροφή. B.

— ibid. ὅτῳ] Ἀντὶ τοῦ ᾧ τινι, τῷ Δημοσθένει. B.

— antep. ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα] Πῶς τὰ αὐτὰ ἀρχαῖα καὶ ὁμολογούμενα; ὀφείλει γὰρ λήθην παθεῖν ὑπὸ τῆς παλαιότητος τοῦ χρόνου. ὅτι οὕτω φησὶ μεγάλα ἐστὶν, ὅτι οὐδὲ ὁ χρόνος τὴν μνήμην αὐτῶν ἠδυνήθη ἀφελέσθαι. B.

P. 191. 3. περὶ δὲ] Μετέρχεται ἐπὶ τὸ δίκαιον κεφάλαιον ἐντεῦθεν, πληρώσας τὸ νομικόν. μερίζει δὲ τὸ δίκαιον εἰς τέσσαρας καιροὺς, ὡς πολλάκις ἔγνωμεν. B.

— 9. τοῦτον δ' ἀφορίζεται] Οἱονεὶ εἰς ἕνα χρόνον συνάπτει τῇ γενομένῃ εἰρήνῃ. ἀντὶ τοῦ μέχρι τῆς γενομένης εἰρήνης, συλλαμβάνων καὶ αὐτὴν τὴν εἰρήνην. B.

— 21. ἐγκαλύπτομαι] Τὸ πρόσωπον καλύπτω ὑπ' αἰσχύνης. R. B. ΑΛΛΩΣ. Ἀντὶ τοῦ σκέπω ἐμαυτὸν, ὡς ἀπορῶν δῆθεν. ἐκκαλύψει δὲ ἀντὶ τοῦ γυμνώσει με σκεπόμενον. B.

P. 192. ult. ἐπὶ Φιλίππου] Ἀντὶ τοῦ κατὰ Φιλίππου. B.

P. 193. 4. συστάντες] Ἀντὶ τοῦ φατριάσαντες ἐπὶ τὰ δημόσια ὑμῶν πράγματα. B.

— 8. ἐπὶ τοὺς λογισμοὺς] Ἐπὶ τὸ ἀπαιτῆσαι λόγον τῶν ἀναλωθέντων χρημάτων. B.

— 11. συγκεφαλαιωθῇ] Ἀντὶ τοῦ πλήρης ἀποδειχθῇ. B.

— 13. αἰρῇ] Ἐλέγχῃ. R. B. Ἀντὶ τοῦ καταλάβῃ. B.

P. 195. 6. ἐπιλαχὼν] Ἐλάγχανον οἱ ἄρχοντες καὶ σὺν αὐτοῖς ἄλλοι ὥςπερ δεύτεροι αὐτῶν, ἵνα εἷς αὐτῶν εἰ ἀπέθανεν ἐν τῷ μεταξὺ τῆς ἀρχῆς ἢ ἠρρώστησεν, ὁ ἀντ' αὐτοῦ ἐγίνετο ἄρχων. ἐκ παρασκευῆς δὲ πριάμενος, οἷον ὑποφθείρας χρήμασι τοὺς προέδρους τῆς βουλῆς, ὥςτε αὐτὸν βουλευτὴν ποιῆσαι. ἵνα εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι, οἷον τὰ ἀρέσκοντα αὐτῷ. B.

— 12. ἐπαινέτης ἦν] Ἐν γὰρ τῇ πρώτῃ φησὶ πρεσβείᾳ ἐπῄνει αὐτοὺς, ὕστερον δὲ ἐν τῇ δευτέρᾳ διέβαλλεν ὡς προδότας. B.

P. 196. pen. ἀνεμέσητον] Ἄμεμπτον. R. B.

— ult. κατακοινωνήσαντες] Οἱονεὶ κοινωνήσαντες ἀλλήλοις καὶ τῶν πραγμάτων τῆς πόλεως. B.

P. 197. 4. τοὺς καιροὺς] Οἱονεὶ τὰς εὐκαιρίας καὶ τὸ δύνασθαι διὰ τοῦ ἀναμεῖναι τοὺς Ἕλληνας ἐλθεῖν καὶ κοινωνῆσαι τῆς εἰρήνης. B.

P. 198. 7. νικᾷ] Ἀντὶ τοῦ γράφει μηδενὸς αὐτῷ ἐναντιουμένου. B.

P. 199. 10. τῆς τριήρους] Προθεσμίας ὑπακουστέον. R. B.

P. 200. 2. τὸ ῥῆμα] Ῥῆμα ἐνταῦθα καλεῖ οἷον τὴν ῥῆσιν αὐτὴν καὶ τὸ κῶλον, ὄνομα δὲ τὴν λέξιν, οἷον τὸ ἀποῤῥῆξαι. B.

— 8. ἐρήσεται] Ἐρωτήσει, ἐρωτᾶν μέλλει. R. B.

— pen. παρεγγράψας] Οἱονεὶ ὑποβαλών. B.

P. 201. 11. αὐτομολοῦσιν] Οἱονεὶ τὰ τῶν πολεμίων φρονοῦσι καὶ μεταβάλλουσιν ἑαυτούς. B.

— ibid. ἐπέδωκε] Αὐτά φησι τὰ δημόσια πράγματα ἐπέδωκε τῷ δήμῳ. B.

— antep. ἐνιαυτὸν] Ἐπειδὴ οἱ βουλευταὶ οἱ πεντακόσιοι ἐνιαύσιοι ἦσαν. B.

P. 202. 1. φοινικίδας] Οἱονεὶ πυῤῥὰ πάλλια. B.

— ult. ἑβδόμην δ' ἡμέραν] Οὕτως οἱ Ἀττικοὶ λέγουσι, δέον εἰπεῖν πρὸ ἑπτὰ ἡμερῶν. B.

P. 203. 2. ἐβουθύτει] Ὡς χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ Φίλιππος. B.

P. 204. 14. ὑπὲρ τῆς δωροδοκίας] Οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτοὺς χρήματα παρὰ Φιλίππου, καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ πωλεῖσθαι πρὸς ἀλλήλους. B.

P. 207. 7. τοῦ Καλλίου] Οὗτός ἐστιν ὁ Καλλίας ὁ ποιήσας τὴν Εὔβοιαν γενέσθαι πάλιν ὑπὸ Ἀθηναίους, μετὰ τὸ ἐξελασθῆναι ἐξ αὐτῆς τοὺς περὶ τὸν Φιλιστίδην καὶ τὸν Κλείταρχον, ἐν τῷ χρόνῳ τοῦ δεκάτου λόγου τῶν Φιλιππικῶν. διὸ καὶ κακῶς αὐτοῦ μέμνηται ὁ Αἰσχίνης. B.

— 8. Ἀθηναίους εἶναι] Καὶ γὰρ τῇ ἀληθείᾳ πολίτας αὐτοὺς ἐποίησαντο οἱ Ἀθηναῖοι

διὰ τὸ τὴν Εὔβοιαν ποιήσασθαι ὑφ' αὐτούς. B.

— 16. ἀπέδοτο] Τοῖς Εὐβοεῦσι. B.

— 18. αὐτοῖς] Τοῖς Εὐβοεῦσι δηλονότι. R.

P. 208. 1. Ταμύνας] Χωρίον Εὐβοίας. B.

— ibid. παρήλθομεν] Ἀντὶ τοῦ παρηρχόμεθα. B.

— 10. τοὺς Φωκικοὺς ξένους διαβιβάσας] Οἱονεὶ συνάγων τινὰς Φωκέων τῶν ἔτι σωζομένων, καταπυγωσῆσαι τοὺς Εὐβοέας· τοῦτο δὲ ἔξωθεν ἔλαβε πρὸς διαβολήν. διαβιβάσας δὲ οὐ λέγει τοὺς Φωκέας, ἀλλὰ τὸ στρατόπεδον ὃ συνήγειρεν. B.

— 14. ἐκ παρατάξεως] Ἀντὶ τοῦ φανερῶς καὶ οὐ λάθρα. B.

— antep. συνάγων] Ἵνα δῆθεν εἰς ἓν συνέρχηται ἡ πᾶσα Εὔβοια καὶ ἐπακούῃ τοῖς Ἀθηναίοις. B.

— ibid. ἐφ' ὑμᾶς] Ἀντὶ τοῦ καθ' ὑμῶν. B.

P. 209. 5. τοῦ Εὐρίπου] Θέλει δὲ . . . . . διὰ τούτου δηλῶσαι ὅτι ἐμιμήσατο διὰ τοῦ τρόπου τὸ εὐμετάβλητον τοῦ Εὐρίπου, ὡς πλησίον αὐτοῦ οἰκῶν. ἔστι δὲ τὸ κᾶλον χαριεντισμός· ἐπαινοῦσι δὲ τοῦτο τὸ κᾶλον οἱ κριτικοί, λέγοντες σωφρόνως αὐτὸ πεφράσθαι καὶ οὐ κούφως. B.

— 13. τὸν δολιχοδρομήσαντα] Εἶδός ἐστι δρόμου ὁ δολιχός, ὡς ἐκ τῶν Πινδαρικῶν ἔστιν ἰδεῖν, ἴσως ἓν στάδιον ἐκτεταμένον δραμεῖν. B.

— 16. οὐδὲν γὰρ] Ἡ πίνταξις τοῦ κάλου ἐν ὑπερβατῷ οὕτως· οὐδὲν γὰρ ἦν ἐν μέσῳ, ἀλλ' ὑπῆρχεν αὐτῷ ἡ φεύγειν ἢ τεθνάναι, εἰ μνησθεὶς ὁ δῆμος τῶν ἀδικημάτων αὐτοῦ μὴ προσδέξοιτο τὴν συμμαχίαν. B.

P. 210. 3. ἔγραφε δ' ἐν] Ἡ πᾶσα διάνοια τοιαύτη ἐστίν· ἔγραφε ψήφισμα βοηθεῖν ἡμᾶς τοῖς Χαλκιδεῦσιν. εἶτα ἵνα μὴ δόξῃ ἄτοπον λέγειν τὸ μένειν ἡμᾶς ἐκείνοις βοηθεῖν, μὴ μέντοι καὶ αὐτοὺς ἡμῖν, προσέθηκε δῆθεν εὐφημίας χάριν, ὥστε καὶ αὐτοὺς βοηθεῖν ἡμῖν κινδυνεύουσι, καὶ ἀντικατήλλαξε ῥῆμα ἔργῳ. B.

— 8. αἰσχίστας πράξεις] Οἷον τὸ παραχαρῆσαι τοῖς Χαλκιδεῦσι τὸ συνεδρεύειν καὶ τοὺς φόρους. B.

— ult. ἀνέστησαν] Ἀντὶ τοῦ μετέστησαν. B.

P. 211. 7. σύνταγμα] Οἱονεὶ πλῆθος χρημάτων. λέγεται δὲ καὶ ἀλλαχοῦ τὸ σύνταγμα καὶ ἐπὶ τοῦ τάγματος τῶν στρατιωτῶν. ὅθεν καὶ παρὰ Μενάνδρῳ ἀνέγνωμεν τὸ σύνταγμα τῆς ἀρχῆς. τὸ δὲ λεγόμενον περὶ βιβλίου παρά τινων οὐ λέγεται σύνταγμα τοῦδε τοῦ ἀρχαίου, ἀλλὰ μᾶλλον σύγγραμμα. B.

P. 213. 2. ἀριθμῶν] Ἀντὶ τοῦ ἀπατῶν ἡμᾶς διὰ τῶν πιθανῶν τούτων λόγων ἐν τῷ καὶ ὁρίζειν τὴν ἡμέραν καὶ ἄλλα τοιαῦτα. B.

— 13. οἵ τινες δέησονται] Τὸ ἀκόλουθον εἰπεῖν ἦν, ὥστε συμμαχῆσαι αὐτοὺς ἡμῖν. ὁ δὲ ἐπάγει παρ' ὑπόνοιαν κατ' εἰρωνείαν· ναί, ἵνα αὐτοὺς παρακαλέσωσι μὴ φέρειν ἔτι τοὺς φόρους ἡμῖν, ἀλλὰ τῷ Καλλίᾳ. B.

P. 215. 4. δημοκρατουμένων] Ἐδημοκρατεῖτο, καὶ φανερῶς ἔλαβε τὰ χρήματα ὁ Δημοσθένης, ἡ γὰρ Ἐρέτρια καὶ ἡ Χαλκὶς, ὡς τυραννούμεναι, λάθρα αὐτῷ παρέσχον. B.

— 14. ὑπέθεσαν] Οὐχ ἵνα λάβῃ αὐτὰς καὶ ἀναλώσῃ, ἀλλ' ἵνα σχῇ αὐτὰς ὑποθήκην, ἕως οὗ λάβῃ τὸ τάλαντον. B.

P. 216. 9. ἀπώλεσε] Διότι ἐν αὐτῷ ἡττήθησαν ἐν Χαιρωνείᾳ. B.

— 11. οὐδαμῶς ἴσην] Διότι οὐκ ἐποίησε Θηβαίους ἐξ ἴσου τῶν Ἀθηναίων ἀναλῶσαι, ἀλλὰ τοὺς μὲν Ἀθηναίους τὸ δίμοιρον, τὸ δὲ ἄλλο τρίτον τοὺς Θηβαίους, ὡς ἐγνωμεν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. B.

P. 217. 4. ἀναθεῖναι] Ἀνιερῶσαι. λέγει δὲ τὴν γῆν αὐτῶν. πρὸς γὰρ τοῦτο ὑπήντησεν, ἀλλ' οὐχὶ πρὸς τοὺς ἄνδρας.

P. 218. 2. ἀρὰν] Οἱονεὶ κατάραν, ἐκ τοῦ εἰς αὐτὸν καταρᾶσθαι τὸν ὀμνύοντα τραπῆναι τὴν ἐπιορκίαν, εἰ μὴ τόδε ποιήσει, ὅπερ ὤμοσε. καὶ περὶ τούτου δὲ ἤδη ἔγνωμεν ἐν οἷς ἔλεγε τὸν προστρόπαιον. B.

P. 219. 8. συνῴκισαν] Ἀντὶ τοῦ οἰκισθῆναι ἐποίησαν. B.

— 9. ἐξέλεγον] Ἀντὶ τοῦ ἀπῄτουν. ὡς καὶ ἐν τῷ κατὰ Τιμοκράτους· τούτους ἐκλέγοντας τὰ τέλη. B.

— ult. ὅτου ἂν προσάψηται] Οἵου δ' ἂν ἅψηται πράγματος, ὡς δυσοιώνιστος ἀπόλλυσιν αὐτό. ἅψηται δὲ λέγει ἀντὶ τοῦ ἐθελήσῃ αὐτοῦ προστῆναι καὶ ὑπὲρ αὐτοῦ εἰπεῖν. B.

P. 220. 6. Μειδίαν] Τὸν δόντα Δημοσθένει τοὺς κινδύλους. B.

P. 221. 3. πρὸς τὸν καινὸν νεὼν] Οὐ λέγει ὅτι δύο ἦσαν ναοὶ ἐν Δελφοῖς, ἀλλὰ τὸν αὐτὸν λέγει. καλεῖ δὲ αὐτὸν καινὸν, καθὸ τὸν παλαιὸν πρησθέντα ἀνωκοδόμησαν οἱ Ἀμφικτυόνες. πρὶν δὲ ἐξεργάσασθαί φησιν ἀντὶ τοῦ τελειωθῆναι τὸ ἔργον τῶν τῆς οἰκοδομίας. λέγουσι δ' ὅτι ἔμεινεν ἐπὶ πολὺν χρόνον ἀτελὴς, ἕως οὗ ὕστερον Νέραν, ὁ βασιλεὺς Ῥωμαίων, ἐπλήρωσεν αὐτὸν, ἐκεῖσε παραγενόμενος. B.

— 4. ἐξειργάσθαι] Γρ. ἐξαρᾶσθαι, τουτέστι περὶν τὰς ἀρὰς ἐπιτελέσαι, ἃς ἐν ταῖς ἱδρύσεσι τῶν νεῶν εἰώθεσαν ποιήσασθαι.[1] R. B.

— 11. μεθεστηκότων] Οἱονεὶ ἐκστάντων τοῦ δημηγορεῖν. B.

P. 222. 9. κεραμεῖα] Εἰς τὴν μει ὁ τόνος ἐστίν. ἔστι γὰρ κτητικὸν, οἷον οἰκίαι τινὲς, ἔνθα κεραμεῖς εἰργάζοντο κεράμους. B.

— 13. τέλη πεπραχότας] Ἀντὶ τοῦ μισθώσαντας τὰ τέλη τοῦ λιμένος. B.

— pen. ἀφοσιῶ] Οἱονεὶ καθαρὰν ποιῶ καὶ ἄμεμπτον διὰ τὸν ὅρκον τὸν περιέχοντα, ὥστε μὴ περιιδεῖν τοὺς ἐργαζομένους αὐτὴν τὴν ἱερὰν γῆν. B.

— ult. τὰ καινᾶ] Ἑορτὴ παρ' Ἀθηναίοις, ἐν ᾗ αἱ παρθένοι ἱερά τινα Δήμητρος ἐν κανοῖς, ἤγουν ἐν κανισκίοις ἐβάσταζον ἐπὶ κεφαλῆς· ὅθεν καυηφόροι κέκληνται. R. B. Οἱονεὶ εὐτρεπῆ ἤδη εἰσὶ τὰ κανίσκια τὰ πρὸς θυσίας. B.

P. 224. 2. ἐπὶ δίετες ἠδῶσι] Ἐπὶ δίετες ἠδῆσαι Δίδυμος λέγει τοὺς ἑκκαίδεκα ἔτη γε-

[1] Hoc scholio caret Apogr. Oxoniense.

νομένους. τὸ γὰρ ἡδῆσαι μέχρι τεσσαρωνκαίδεκα ἐτῶν ἐστίν. ἔφηβοι δὲ παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο. R. B. Πολλάκις ἔγνωμεν ὅτι ἀπὸ ὀκτωκαίδεκα ἐτῶν ἐνεγράφοντο εἰς τὸ ληξιαρχικὸν οἱ Ἀθηναῖοι, καὶ ἐφύλαττον δύο ἔτη τὰ πλησίον τῆς πόλεως, καὶ ἀπὸ εἴκοσιν ἐτῶν ἐξήρχοντο εἰς τοὺς ὑπερορίους πολέμους. οὐκοῦν τοὺς ἀπὸ ὀκτωκαίδεκα ἕως εἴκοσιν ἐτῶν ἡβᾶντας λέγει, κοινὸν ποιῶν τὸν λόγον ἐπὶ πάντων Ἑλλήνων. B.

P. 225. 2. χρωμένους] Οἱονεὶ ὑπηρετοῦντας. B.

— 6. πρὸ τῆς ἐπιούσης Πυλαίας] Οἷον πρὸ μηνὸς τῆς Πυλαίας τῆς ἑξῆς. ἔγνωμεν γὰρ ἐν τοῖς Δημοσθενικοῖς, ὅτι δὶς συνήεσαν, ἅπαξ ἐν τῷ ἔαρι καὶ ἅπαξ ἐν τῷ φθινοπώρῳ. B.

— 10. τὸ ψήφισμα] Οἷον τῶν Πυλαγόρων. ἔστι δὲ παραγραφικὸν ἐκ χρόνου. καὶ πῶς, εἴπερ διετάραξα τότε τὰ Ἑλληνικὰ, συμβουλεύσας περὶ τῶν Λοκρῶν, μηδεὶς τῶν πολιτῶν μοι ἀντεῖπε τότε; B.

— 15. ὑπὲρ τοῦ μεσεγγυήματος] Ἕνεκεν τῶν χρημάτων ὧν ὑπέσχοντο αὐτῷ παρασχεῖν, ἐὰν σώσῃ αὐτοὺς δι' Ἀθηναίων. καὶ ἐν μέσῳ δεδώκασι ταῦτα τὰ χρήματα, ἵνα ἐὰν ποιήσῃ, λάβῃ αὐτά. B.

— 20. πρεσβλαβὼν] Οἱονεὶ πείσας τινὰ εὐήθη βουλευτὴν γράψαι τοῦτο τὸ ψήφισμα. B.

— ult. ἐπαναστάσης] Οἱονεὶ διαλυθέντων καὶ ἀναχωρησάντων, ὡς καὶ Δημοσθένης φησί· τῆς βουλῆς δὲ ἀφειμένης· ἐν τῷ κατὰ Τιμοκράτους. B.

P. 226. 16. μετέχειν] Δοκεῖ σολοικοφανὲς εἶναι. οὐδεὶς γὰρ λέγει πρὸς δοτικὴν μετέχω σοι, εἰ μὴ πρὸς τὴν ἀντίλεξιν νοήσομεν τὸ κῶλον, οἷον πρὸς τὸ κοινωνεῖν. B.

— ult. μιᾶς πόλεως] Θήβης, ἣν ἤδη κατέσκαψεν Ἀλέξανδρος. R. B.

P. 227. 11. ἐν ῥητῷ χρόνῳ] Ὡς ἂν εἰ ἔλεγεν οὐκ εὐθὺς, ἀλλὰ προθεσμίαν τινὰ αὐτοῖς δόντες, ὅπερ ἦν πάλιν φιλανθρώπως αὐτοῖς χρήσασθαι. B.

— ult. τοῖς μυστηρίοις] Μυστήρια δεῖ νοεῖν τὰ Κόρης καὶ Δήμητρος. ἡ δὲ τῶν μυστῶν τελετὴ ἐπεξήγησίς ἐστι τοῦ προειρημένου. λέγει δὲ δι' ἐκείνο τὸ τέρας, ὅτε κατελθόντων τῶν μυστῶν ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ καθαρθῆναι, ἥρπασεν ἕνα αὐτῶν τὸ κῆτος. πληθυντικῶς δὲ εἶπε, δέον ἑνικῶς. οἱ δὲ λέγουσιν ὅτι δύο κατέφαγεν. B.

P. 228. 7. ἀθύτων καὶ ἀκαλλιερήτων] Ἐκ παραλλήλου. B.

P. 229. 6. μεθ' ἡμέραν] Ἀντὶ τοῦ ἐν ἡμέρᾳ. B.

— 16. ἡ δ' ἡμετέρα] Οἷον ὅτι οἱ Ἀθηναῖοι, τοσαῦτα διαπραξάμενοι καὶ πρὸς τὸν Πέρσην καὶ ἄλλους πολλοὺς, ὑπὸ Φιλίππου οὕτως ἠττήθησαν, ὥστε μὴ δυνηθῆναι ἀναλαβεῖν ἑαυτοὺς λοιπὸν ἔτι καὶ ἀνανῆψαι. B.

P. 230. pen. Φρυνώνδας] Οὗτος ἐπὶ πονηρίᾳ διαβεβοημένος ὑπῆρξεν. ὅθεν Ἀριστοφάνης πού φησιν·

ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρέ. R. B.

Ὁ μὲν Εὐρύβατος Λυδὸς, ὁ δὲ Φρυνώνδας Ἀθηναῖος. ἑκάτερος δὲ ἐπὶ πονηρίᾳ διεβέβλητο. B. — Εὐρύβατοι δύο ἐγένοντο, ἄμφω πονηροὶ, ἄπιστοι, πανοῦργοι. R. B.

P. 232. antep. ὁ Ἀζηνιεὺς] Ἀζηνία δῆμος φυλῆς Ἱπποθοαντίδος. R. B.

— ult. ὁ Ἀναφλύστιος] Ἐκ φυλῆς Ἀντιοχίδος. R. B.

— ibid. ἔτι καὶ νῦν] Ἐκ παραλλήλου. B.

P. 233. 2. τὸ δ' αἴτιον] Θέλει εἰπεῖν, ἐπειδὴ ἀεὶ μηδίζουσιν ἡ φιλιππίζουσιν.

— 20. ἀπεκρύψατο] Ἰστέον ὅτι ἄλλως τοῦτο εἰρηκότος τοῦ Δημοσθένους ὁ Αἰσχίνης ἐπὶ τὸ βιαιότερον ἐξήγαγεν. ὁ γὰρ Δημοσθένης εἶπε λάθρα ὑμῶν πρεσβεύων, ἵνα μὴ μαθὼν Φίλιππος πέμψῃ καὶ αὐτὸς πρέσβεις τοὺς ἀπατήσοντας ἐκείνους. B.

— 28. κλέπτων] κρύπτων. R. B.

— antep. ὡς τοὺς Βοιωτοὺς] Σχῆμά ἐστι κατ' ἀντίπτωσιν, οὕτως· ὡς τῶν Βοιωτῶν τῶν ἐν τοῖς ἔργοις ἀδικουμένων, ἀγαπησάντων τῶν ὀνομάτων τὴν σύνθεσιν, καὶ οὐχὶ γινωσκόντων ὅτι πανούργως ἔγραψεν, ὥστε ἀδικηθῆναι αὐτούς. οὐδὲ γὰρ εἶπε Βοιωτοῖς μόνον, τῷ κοινῷ γένει, ἀλλὰ Βοιωτοῖς τοῖς ἐν Θήβαις. R.

P. 234. 14. εἰ χρὴ] Πάλιν ῥητορικὸν τὸ σχῆμα, ἀντὶ τοῦ ὥσπερ χρή. οὐ γὰρ ὡς ἀμφίβολον λέγει. B.

— 16. δεύτερον] Δεῖ νοῆσαι τὸ δεύτερον ἐνταῦθα ἀντὶ τοῦ μετὰ ταῦτα, οἱονεὶ μετὰ τὸ γενέσθαι τὰ τρία τὰ προειρημένα. μετήνεγκε δὲ εἰς Θήβας, φησὶ, καθὸ αὐτοῖς παρέδωκε τὴν ἡγεμονίαν, ὡς εἶπεν ἀνωτέρω. B.

— ult. διαδικασίαν] Κυρίως μὲν ἡ δίκη ἡ περὶ χρημάτων ἢ περὶ κτημάτων λέγεται διαδικασία. καταχρηστικῶς δὲ ἐνταῦθα δηλοῖ τὴν δοκιμασίαν. γράφειν δὲ ἀντὶ τοῦ ποιεῖσθαι. B.

P. 235. 4. μισθοφορῶν] Μισθὸν δεχόμενος ἐκ τῆς πόλεως ὑπὲρ τοῦ μισθώσασθαι ξένους καὶ διαδοῦναι αὐτοῖς χρήματα. B.

— 5. καὶ τοὺς μυρίους] Τὸ ἀκόλουθον οὕτως· καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι προσέμιξε φέραν τῇ πόλει ἀπαρασκεύαστον κίνδυνον. εἶτα ἡ αἰτία ἐν μέσῳ· ἁρπασθέντων τῶν ξένων, περὶ ὧν λόγος, δι' αὐτὸν ἐκ τῆς πόλεως, προσχωρησάντων τοῖς Ἀμφισσεῦσιν. B.

P. 236. 19. ἀνέστρεψαν] Ἀντὶ τοῦ ὑποστρέψαι ἐποίησαν. B.

P. 237. 18. μνήμη] Τὸ μεμνῆσθαι ὡς ὅτι τοσούτων συμφορῶν αἴτιος ἐγένετο. B.

— 24. μετὰ ταῦτα] Δοκεῖ ἐνταῦθα δηλοῦν ὅτι ὁ στεφανούμενος πρὸ τοῦ ἀγωνίσασθαι τοὺς τραγῳδοὺς ἐστεφανοῦτο. B.

— antep. ἐκεῖνό γε] Ἀττικῶς εἶπε, δέον εἰπεῖν ἀναμνησθεὶς ἐκείνου, ὡς καὶ παρὰ τῷ ποιητῇ κεῖται ἐκεῖνο·

μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον γε. B.

P. 238. 10. εἰς προεδρίαν] Δηλονότι ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἵνα θεωρήσωσιν ἔν τινι τόπῳ

τιμίᾳ ἐν τῷ θεάτρῳ τοὺς τραγῳδοὺς καὶ τὰ ἄλλα. ἀντιστρέφας δὲ γοητεύει, καλεῖ εἰς προεδρίαν καὶ εἰκάδε κελεύει οὕτως ἀναχωρεῖν. B.

— 21. ἀφ' ὑμᾶν] Οἷον ὡς ὅτι περιεγένετο ὑμᾶν ὁ Δημοσθένης. B.

— antep. αἰρεῖτε] Ἀντὶ τοῦ χειρωθῆναι ποιεῖτε, ὡς καὶ παρὰ τῷ ποιητῇ·

φῆ γὰρ ὅγ' αἱρήσειν. B.

P. 239. 3. τὸ βασιλικὸν χρυσίον] Ὁ δέδωκε Δαρεῖος ὁ τελευταῖος Δημοσθένει ὑπὲρ τοῦ πεῖσαι Θηβαίους, ἀνελόντας τὴν φρουρὰν, ἵν κατέλειψε κατ' αὐτῶν ὁ Φίλιππος, ἀποστῆναι Ἀλεξάνδρου, ἵνα δῶσιν ἀφορμὴν ἐστιστρατεύσῃ κατ' αὐτῶν, καὶ μετενέγκῃ ἑαυτὸν ἀπὸ τοῦ πρὸς αὐτὸν πολέμου ἐπὶ Θηβαίους. B.

— 6. νομίσατε] Ὑποτύπωσις, δι' ἧς οἰκτεῖρε θέαμα ἁλισκομένης πόλεως πρὸ ὀφθαλμῶν παρίστησι. ταὐτὸ ποιεῖ Ὅμηρος Ἰλιάδος ι'. R. B.

P. 240. 2. καταγαγούσης] Ὡς ἂν εἰ ἔλεγε· κατελθὼν δὲ ὕστερον ἀπροσδοκήτως. οὐδὲ γὰρ προσεδόκα ζῆν τοιαῦτα εἰργασμένος εἰς τὴν πόλιν, ἀλλ' ἀπολέσθαι παρ' ὑμῖν, ἐρεθίσας ὑμᾶς ἐπὶ ἀκαίρους πολέμους. B.

— 3. τοὺς μὲν πρώτους χρόνους] Μετὰ τὴν φυγὴν τὴν ἐν Χαιρωνείᾳ καὶ κάθοδον. B.

— pen. εἰς αἰτίαν] Οἱονεὶ κατηγορίας, ἐπειδὴ ἡ βουλὴ, ἀνατεινθεῖσα παρ' αὐτοῦ, ἔδωσε δίκας, χάριν ὁμολογοῦσα ὑπὲρ τοῦ Φιλίππου θανάτου. ἕνεκα τούτου Ἀθηναίοις ὕστερον ἐπιστέλλων Ἀλέξανδρος οὕτως ἔγραψεν· Ἀλέξανδρος τῷ μὲν δήμῳ χαίρειν, τῇ δὲ βουλῇ εὐδέν. B.

— ult. Μαγνῆτιν] Τουτέστιν ἡλίθιον. Πλάτων Ἀλκιβιάδῃ περὶ Μαγνήτου·

ὃς μὲν ἐπίστατο πολλὰ, κακῶς δ' ἠπίστατο πάντα. R. B.

Ἀντὶ τοῦ μαινόμενον. B.

P. 241. 2. ἀγαπᾶν] Ἀντὶ τοῦ ἀγαπῶντα ἐὰν ζήσῃ· παρὰ τὸ ἐν τοῖς σπλάγχνοις εἶναι ἅπερ τὴν ζωὴν τοῦ ἀνθρώπου. B.

— 10. τοῦ Κιθαιρῶνος] Ὄρος Βοιωτίας. R. B.

— 11. οὔτ' ἐν εἰρήνῃ] Ὅμηρος·

οὔτε ἐν πτολέμῳ ἐναρίθμιος οὔτ' ἐν βουλῇ. R. B.

P. 242. 1. οἱ παράλιοι] Οἱ τὴν παραλίαν οἰκοῦντες τῶν Ἀθηναίων, καὶ κατασκευάζοντες τὴν ναῦν τὴν πάραλον, καὶ ἐν αὐτῇ πλέοντες. B.

— 10. ὑποτρέχει] Κολακευτικῶς μετέρχεται. R. B.

P. 243. 11. χρυσόκερον] Εἰάθασιν οἱ ταῦρον προσάγοντες πρὸς θυσίαν ἢ ἔλαφον ἢ τι τῶν κερατοφόρων χρυσοῦν τὰ κέρατα καὶ στέφειν τὴν κεφαλήν· ὁ λέγει ὁ ποιητὴς χρυσὸν κέρασιν περιχρύσῳ. τὰ δὲ παρεστῶτα τῷ μέλλουσι σφάττεσθαι, οἷον τὸ δειλιᾶν καὶ ἀγωνιᾶν, περὶ Αἰσχίνου ἔταξεν ὁ Δημοσθένης, διὰ τὴν ἀδυμίαν δῶδεν τὴν περὶ Ἀλεξάνδρου. B.

— pen. ἐπίδοξος] Προσδόκιμος. B.

P. 244. pen. φορμοῤῥαφούμεθα] Ἀντὶ τοῦ συῤῥάπτουσί τινες καθ' ἡμῶν πράγματα, ἢ τῆς φορμοῦ. φορμὸς γὰρ λέγεται τὸ ψιαθῶδες πλέγμα, ὡς καὶ ὁ Θουκυδίδης φορμηδὸν λέγει. B.

— ibid. ἐπὶ τὰ στενά] Ἐπὶ τὰ δυσχερῆ. B.

P. 245. 1. θαύματα] Οἱονεὶ παραδοξολογήματα τερατώδη. B.

P. 246. 10. δημοτικὸς] Χαίρων τῇ δημοκρατίᾳ. B.

P. 247. antep. ἐκ Κεραμέων] Δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος. R. B.

— ibid. Νυμφαῖον] Νεὼν Νυμφῶν. R. B.

P. 248. 1. τὴν κρίσιν] Οἷον τὴν τιμωρίαν. ἐᾷν γὰρ φυγεῖν μετὰ τὴν πρώτην κρίσιν, εἰ καὶ θάνατός τινος κατεγνώσθη. ἔγνωμεν ἐν τῷ κατὰ Τιμοκράτους. B.

— 4. Σκύθιν] Ὡς ε . . . . εἴρηται τοῦτο μᾶλλον βαρυτόνου· κακῶς δέ. τὰ γὰρ τοιαῦτα ἐθνικὰ ὀξύνεσθαι θέλει, ὡς Κολχὶς, Περσὶς, Σκυθίς. οὐκοῦν Σκυθῖδα καὶ οὐ Σκύθιν, ὡς τὸ Κολχίδα, Περσίδα· τινὰ δὲ τῶν βιβλίων ἔχει κατητικῶς Σκυθικήν. B.

P. 249. 4. ἐπικέκλυκε] Οὕτω πολύ ἐστι. λέγει δὲ ὅπερ ἔπεμψεν αὐτῷ Δαρεῖος. B.

— 5. πανηρῶν] Ἀντὶ τοῦ ἀσάτου. B.

— 6. τὸ κεφάλαιον] Οἱονεὶ τὸ μέγιστον ἀδίκημα. B.

P. 250. 7. ὁ μὲν τοίνυν] Ὅτι ἐκ τοῦ παρακολουθοῦντος τοῖς ἀτίμοις ἠθέλησε σημᾶναι, ὡς καὶ τούτους δεῖ εἶναι ἀτίμους. οἱ γὰρ ἄτιμοι ἐξείργονται ἱερῶν, ἐκκλησίας, τοῦ δημηγορεῖν καὶ τῶν τοιούτων. περιῤῥαντήρια δέ ἐστιν οἷον τὰ ὕδατα πρὸ τῶν ἱερῶν, ἐν οἷς περιῤῥαίνονται οἱ μέλλοντες εἰσιέναι τοῖς ἱεροῖς πρὸ τοῦ εὐξασθαι. τὰ δὲ τῆς ἐκκλησίας περιῤῥαντήρια ἦν τὰ καθάρσια τὰ ἐκ τοῦ περιστιάρχου γινόμενα. B.

— 13. τοῖς τραγῳδοῖς] Πάλιν ἀντὶ τοῦ τραγῳδῶν ἀγωνιζομένων. B.

— 21. τὰς ἀφθόνους] Τὰς ἁπλῶς καὶ χύδην διδομένας, ὅ ἐστι τὰς πολλάς. ὡς ἔχομεν καὶ παρὰ Ἡροδότῳ καὶ ἀλλαχοῦ ἄφθονον ὕδωρ ἀντὶ τοῦ πολύ. B.

— antep. ἐμβαλεῖτε] Διότι ὁρῶσιν ἑαυτοὺς ἐξ ἴσου τοῖς πολλοῖς τιμωμένους. B.

P. 251. 7. καταπέπλυται] Καταπλύνειν λοιδορεῖν, ὑβρίζειν, καταφρονεῖν, ἀτιμάζειν. τὸ αὐτὸ ἰσχύει πλύνειν ποιεῖν. R. B.

— 15. τὰ Ὀλύμπια] Ἕνα λέγει τῶν τεσσάρων. B.

— 16. τῶν στεφανιτῶν] Στεφανῖται ἀγῶνες, ὧν ἆθλα ἦσαν οἱ στέφανοι. R. B. Ἐπειδὴ καὶ ἄλλοι εἰσὶν ἀγῶνες, ἔνθα οὐ στέφανοι παρέχονται εἰς τιμὴν, ἀλλ' ἄλλα τινὰ, οἷον ἄργυρος, χλανίδες, ἤ τι τοιοῦτον, ὡς ἔγνωμεν ἐν τοῖς Πινδαρικοῖς. B.

— pen. τῷ διαπραξαμένῳ] Οἷον τῷ σπουδάσαντι ἑαυτῷ, ὥστε στεφανωθῆναι, διὰ τοῦ διαφθεῖραι χρήμασι τοὺς Ἑλλανοδίκας, ἤ τι τοιοῦτον ποιῆσαι. τινὲς δέ φασι τῷ ἁπλῶς ἀθλεύσαντι, ἀλλὰ μὴ νικήσαντι. B.

P. 252. 2. παρακαταθέμενοι] Οἱονεὶ ἐμπιστεύσαντες τοῖς πόνοις. B.

— 15. Φυλῆς] Φυλὴ χωρίον τῆς Ἀττικῆς ὀχυρὸν σφόδρα, ἀπέχον τῆς πόλεως στάδια [σταδίους R.] ἑκατὸν, ὥςτε πολλὰς ἀφορμὰς αὐτοῖς παρέχεσθαι εἰς ἐφόδια. νοεῖται δὲ ὁ Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ τὴν Φυλὴν καταλαβόντες ἐπὶ τῷ τὸν δῆμον φυγόντα καταγαγεῖν καὶ τὴν τῶν Τριάκοντα ἀρχὴν καταλύειν. R. B.

P. 253. 12. Ἑρμᾶς] Οἰονεὶ προσωπεῖα Ἑρμοῦ. καὶ κάτω ἐν τῇ βάσει ἦν τὰ ἐπιγράμματα. B.

P. 254. 1. ἦν] Ἀντὶ τοῦ ἦσαν. B.

— 2. ἐπ' Ἠΐονι] Ἠΐων πόλις Θρᾴκης, ἣ ὕστερον Ἀμφίπολις ἀνομάσθη. R. B.

— 3. αἴθωνα] Ἀντὶ τοῦ διάπυρον καὶ μέγαν. B.

— 4. δυσμενέων εὖρον ἀμηχανίην] Ἀντὶ τοῦ ἀμηχανίαν ἐνέβαλον τοῖς πολεμίοις. B.

P. 255. 13. Μητρῴαν] Ἔγνωμεν καὶ ἐν τοῖς Φιλιππικοῖς, ὅτι μέρος τοῦ βουλευτηρίου ἐποίησαν οἱ Ἀθηναῖοι τὸ Μητρῷον, ὅ ἐστιν ἱερὸν τῆς Ῥέας διὰ τὴν αἰτίαν ἐκείνου τοῦ Φρυγός. συντακτέον δὲ τοῦτο πρὸς τὸ ἰδεῖν. B.

P. 256. ult. Παταικίωνος] Οὗτος ἦν κλέπτης.[2] R. B.

P. 257. 1. ἐφικόμενος] Τουτέστι γενόμενος ἀνὴρ ἀγαθὸς, κρατήσας τῆς ἀρετῆς, ἐγκρατὴς ὢν τῆς ἀνδραγαθίας. R. B.

— 10. ἤρξαν] Ἤρξαντο. R. B.

— 12. ἔναυλον] Οἷον ἐν τοῖς ὠσὶ τὸν τῶν αὐλῶν ἦχον καταλιπὸν, τουτέστιν οὔπω ἐκ τῆς μνήμης ἀποκεχωρηκὸς, ἤγουν ἔτι ἐν μνήμῃ διαμένον. R. B. Οἱονεὶ πρόσφατον καὶ ἐγγὺς, ἐκ τοῦ ἐγγὺς εἶναι καὶ ἐντὸς τῆς ἐπαύλεως τὰ πρόβατα. B.

— pen. γεφὴν] Γραφὴν οὐ λέγει ἐνταῦθα τὴν κατηγορίαν, ἀλλ' αὐτὰ τὰ γράμματα τὰ τοῦ ψηφίσματος τοῦ παρανόμου. οὕτω φησίν· οἰχ ἧττον ἐμίσουν τοῦ πράττοντος παράνομα ἐν ἔργοις αὐτὸν τὸν γράφοντα παράνομα. B.

P. 258. 6. ἀνεπόδιζον] Πάλιν λέγειν ἐκέλευον, ὡς ὕστερον αὐτὸς ὁ Αἰσχίνης μνημονεύει.[3] R. B.

P. 259. 9. Κέφαλος] Λυσίας κατ' Ἐρατοσθένους τοῦ γενομένου τῶν Τριάκοντα. R. B.

— 16. ἐκ Κοίλης] Ἀπὸ δήμου. B.

P. 260. 10. συνηγόρῳ] Οἱονεὶ τοῖς συνηγόροις τοῦ φεύγοντος. B.

— pen. τὸ μὲν πρῶτον] Τὸ λέγειν πρὸς κλέψυδραν ἐνταῦθα αἰνίττεται. κλέψυδρα γὰρ ἀγγεῖον ἦν μικροτάτην ὀπὴν ἔχον περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, καὶ πρὸς τοῦτο ἔλεγον οἱ ῥήτορες. R. B.

P. 261. 2. λυθῇ] Ἀντὶ τοῦ γνωσθῇ. B.

— 4. τὴν ψῆφον] Οἷον ἵνα ψηφίσησθε καὶ αὐτῷ μᾶλλον προσθῆτε. B.

— 5. παραιτεῖται] Οἱονεὶ συγγνάμην αἰτεῖ, ὡς ἔχομεν ἐν τῷ κατὰ Μειδίου τὴν ὁμοίαν χρῆσιν, ἐν οἷς λέγει τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι. B.

P. 262. 5. τὰ συντεταγμένον] Ἀντὶ τοῦ μηδεμιᾶς ἀληθείας ἐχόμενον. περοίμιον δὲ εἶπεν, ἐπειδὴ ὁ προβαλλόμενος ἄλλον τινὰ εἰπεῖν ὑπὲρ αὐτοῦ, ἀνάγκην εἶχεν αὐτὸς εἰπεῖν τι προοίμιον τοῦ λόγου, καὶ οὕτω καλέσαι τὸν συνήγορον. B.

P. 264. 5. πάλαισμα] Οἷον δι' οὗ βούλεται καταγωνίσασθαι ὑμᾶς. B.

— 13. περιΐστασθαι] Ἀντὶ τοῦ ἐνίστασθαι καὶ καταφεύγειν. B.

— pen. εἰσελαύνετε] Εἰσελαύνετέ φησιν ἐκ μεταφορᾶς ἀγωνιστῶν ἐκτρεπομένων ἐκτὸς τοῦ ἀγῶνος. ὡς καὶ ἐν τῷ Παραπρεσβείας εἶπε τοῦτο τὸ ἐπιχείρημα. B.

P. 265. 3. ζαλαντιοτόμον] Ἀντὶ τοῦ τὸν λῃστήν. ἐκ μεταφορᾶς τῶν λῃστῶν τῶν τεμνόντων τὰ βαλάντια κάτωθεν τῶν βαστα-ζόντων, ἵνα ἐκπέσῃ τὰ ἐν αὐτοῖς. B.

— 8. διηθημημένους] Ἠναγκασμένους. B.

P. 266. 5. λογοποιεῖς] Πλάττεις λόγους συγκρουστικούς. B.

— 6. τῶν αὐθημερὸν] Οἱονεὶ τῶν ψευδῶν καὶ τῆς προσπιπτούσης χρείας ἕνεκεν γινομένων. B.

— 12. τοὺς θεοὺς καινοὺς] Εὐριπίδης Μηδείᾳ·

ὄρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν,
εἰ [ἢ R.] θεοὺς νομίζω τοὺς τότ' οὐκ ἄρ-
χειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν·
ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
R. B.

— pen. περιγράψατε] Ἀντὶ τοῦ ἐκβάλετε. B.

P. 267. 7. ἐξορμεῖς] Ἐξέρχῃ. R. B. Ὡς ἂν εἰ ἔλεγε· σχεδὸν εἰπεῖν ἐν αὐτῷ τῷ πελάγει εἴσω οἰκεῖς, ἵνα αὐχερᾶς φύγῃς, ὅταν χρεία σοι γένηται. B.

P. 269. 8. ἐκείρατο] Οἱ Ἕλληνες ἐν ταῖς εὐπραγίαις τὴν κόμην ἔτρεφον, ἐν δὲ ταῖς δυστυχίαις καὶ τῷ πένθει ἐκείροντο. Ὅμηρος αὐτοὺς πανταχοῦ κερηκομώντας καλεῖ. ἀνάπαλιν δὲ Ἐπαμεινώνδας·

ἠμετέραις βουλαῖς Σπάρτα μὲν ἐκείρατο δόξαν.

Λυσίας ἐν ἐπιταφίῳ τοῖς Κορινθίων βοηθοῖς·[4] Ὥςτε ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους. R. B.

— 10. ζηλοτυποῦν] Τὴν ἀρετὴν δόξης ἕνεκα ζηλοῦν, εἴδωλον ἀρετῆς διῶκον, ἤγουν τὴν ἀρετὴν μισοῦν, ἢ τῇ ἀρετῇ φθονοῦν. R. B.

P. 271. 22. τὸ μὲν κεφάλαιον] Ἀντὶ τοῦ καθολικῶς. B.

P. 272. 1. Ἐγὼ δὲ] Ἔστι παραγραφικὸν ἀπὸ χρόνου. B.

— 13. οὔπω σου] Χαριεντισμός. B.

[2] Deest hoc quoque Apogr. Oxoniens.

[3] Deest hoc Apogr. Goens.

[4] Κορινθίοις Gon.] Sic utrumque exemplum. Sed lege: Κορινθίων βοηθοῖς. Locus est p. 192. 10. ed. Steph.

— 21. τὴν ἀξίωσιν] Τὸ νομίζειν ἄξιον εἶναι, δεῖν ἐξ ἀνάγκης λέγειν, καὶ οὕτω πολιτεύεσθαι, οἷον ἂς ἂν ἐν τυραννίδι καὶ οὐ δημοκρατίᾳ. B.

P. 273. 2. ἐργαζομένου] Πολυπραγμονοῦντος. B.

— 10. ἀρπάγματα] Κλέμματα. B.

— pen. ἐν Νάξῳ] Στρατηγοῦντος Χαβρίου. R. B.

— ibid. Πόλλιν] Στρατηγὸς Λακεδαιμονίων, περὶ οὗ καὶ ὁ Ἀριστείδης λέγει ἐν τῷ ὑπὲρ τῶν τεσσάρων, ὅτι οὗτος ἐπώλησε τὸν Πλάταιαν. B.

P. 274. 6. τὸ δὲ μέλλον κατεπαγγελλόμενος] Κατ' ἐρώτησιν. B.

— 8. τὰ ἀγοράσματα] Οἶον μύρα καὶ τὰ τοιαῦτα, λυσιτελοῦντα πρὸς γυναικεῖον κόσμον. B.

— 18. τοὺς τῆς πόλεως ἅλας] Ὁ αὐτὸς Αἰσχίνης ἐπάνω ἐν τῷ περὶ Παραπρεσβείας· Τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ἂν ἐπιχώριος — εἰρήσεται γὰρ — οὐδ' ἐγγενὴς ἡμῖν. καὶ Δημοσθένης περὶ Παραπρεσβείας· Ποῦ δὲ ἅλες ; ποῦ τράπεζα ;[5] R. B.

P. 275. 4. τὰ ἔνατα] Τὰ νομιζόμενα τῷ νεκρῷ, τῇ ἐνάτῃ ἡμέρᾳ γινόμενα. R. B.

P. 277. 3. ἑζηλωκότος] Ἀντὶ τοῦ μακαρίζοντος. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τὸ τοῦ ζήλου εἴωθεν ἀεὶ ἐπὶ καλῷ τάττεσθαι, τὸ δὲ τῆς ζηλοτυπίας ἐπὶ φθόνου. ἀντιδίκων δέ φησι τῶν ῥητόρων, καθὸ οἱ μὲν στρατηγοὶ τοῖς ἔργοις κέχρηνται, οἱ δὲ ῥήτορες τοῖς λόγοις, καὶ ἀεὶ φθονοῦσιν ἀλλήλοις ἑκάτεροι. κατὰ κοινοῦ δὲ τὴν εὐπορίαν τῶν λόγων. B.

— 6. ἐξ ὀνομάτων] Οἷον ἐκ λέξεων πανούργων. B.

— 9. οὔ] Δυνατὴν καὶ μὴ δασύνοντας τὴν οὔ, ἀλλ' ἀρνητικῶς καὶ κατ' ἐρώτησιν ἀναγινώσκοντας τὴν περίοδον, καλῶς ἀποσώζειν τὸ νόημα.

— pen. ἐπεισαγόντων] Δηλονότι τὰ ἑαυτῶν δράματα.[5] R. B.

P. 278. 16. τοὺς κυκλίους] Ἐν οἷς εἰσὶ στροφαὶ, ἀντιστροφαὶ καὶ ἐπῳδαί. R. B. Τοὺς τῶν χορηγῶν, καθὸ ἐν κύκλῳ ἱστάμενοι ᾖδον ᾄσματα τῷ Διονύσῳ. B.

— antep. τῷ διαπραξαμένῳ] Τῷ ὠνησαμένῳ. R. B.

— pen. ὁ τοιοῦτος κριτής] Ἀντὶ τοῦ ὁ δικαστὴς ὁ κρίνας τὸν Δημοσθένην ἄξιον εἶναι τοῦ στεφάνου. καταχρηστικῶς δὲ εἶπεν ἐνταῦθα κριτὴν τὸν δικαστήν. κριτὴς γὰρ ὁ κρίνων τραγῳδοὺς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ σκηνῆς. B.

— ult. ἰδιώτης] Οἱονεὶ ὁ δικαστὴς, καθὸ ἰδιῶται καὶ πένητες ὦσαν, γενόμενοι δικασταὶ διὰ τὸ τριώβολον. B.

P. 279. 4. ἡ δὲ χάρις] Ἐκείνῳ, ᾧ ἐχαρίζετο, ἄδηλος γέγονεν. R. B.

— 11. ὅτι δὲ] Ἀντὶ τοῦ καθὸ δέ. B.

— antep. τὸ δημόσιον] Ἡ πόλις. B.

— pen. οὐχ οὓς ἐφοβεῖτο] Οὐκ ἐχθροὶ, οὓς ἐφοβεῖτο ὁ δῆμος, ἀλλ' οἱ δημαγωγοὶ, οἷς ἑαυτὸν ἐνεχείριζε, τὸν δῆμον κατέλυσαν.[5] R. B.

P. 280. 5. οὐχ ὑφ' ὑμῖν] Κατ' ἐρώτησιν. B.

— 12. εἰ μὲν γὰρ] Περιτροπὴ τὸ σχῆμα. B.

P. 282. 20. τὰ δ' ἑβδομήκοντα] Ἃ ὑφείλετο Δημοσθένης ἐκ τῶν τριακοσίων ταλάντων, λέγων τοῖς ἀπαιτοῦσι δούλοις τοῦ Δαρείου, ὅτι ταῦτα ἐμοὶ ἔπεμψεν ὑπὲρ τοῦ συμβουλεῦσαι· εἰ δὲ οὐκ ἐπείσθησαν οἱ Ἀθηναῖοι, οὐδὲν πρὸς ἐμέ. B.

— 21. προλαβὼν] Ἁρπάξας, ἐκ μεταφορᾶς τῶν προλαμβανόντων ληστῶν. B.

P. 283. 23. πυθοῦ] Περισπῶσιν Ἀττικοὶ τοῦτο, καὶ τὸ λαβοῦ καὶ ἐροῦ καὶ τὰ ὅμοια. ἔστι δὲ δεύτερος μέσος ἀόριστος. B.

P. 284. 9. ἀγνώμονα] Οἱονεὶ μὴ ἔχοντα λογισμὸν, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς· Εἶθ' οὕτως ἀγνωμόνως ἔχετε. B.

— ibid. ἐάν τινα] Ἐὰν ἐκεῖνα τὰ ἄφανα καὶ ἀγνώμονα ἐμπεσόντα ἀποκτείνῃ ἀνθρωπόν τινα. R. B.

P. 285. 17. τὰ κοινὰ] Οἷον τὸ λέγειν ὅτι φιλόπολίς εἰμι καὶ τὰ τοιαῦτα. B.

— 18. ἀπίστους] Τουτέστιν ἀπιθάνους ὄντας τοῖς ἤθεσιν, ἤγουν οὐ δυναμένους ὑμᾶς πεῖσαι τοῖς ἤθεσιν, ὅτι εἰσὶν εὖνοι καὶ φιλάνθρωποι καὶ κοινοί. ἢ οὕτως· Τοὺς πονηροὺς ὄντας τὰ ἤθη, καὶ διὰ τοῦτο οὐκ ἀξίους ὄντας πιστεύεσθαι ὑφ' ὑμῶν, ὅτι εἰσὶν εὖνοι εἰς τὴν πόλιν καὶ φιλάνθρωποι. κοινὰ δὲ καλεῖ τὰ ἐλευθέρια καὶ φιλόδωρα καὶ εὐεργετικά.[6] R. B.

P. 286. 16. παρανοίας] Ὅ ἐστι μωρίας, ἵν' ἡ τὸ μὲν προειρημένον τοῦ γήρως, τοῦτο δὲ τοῦ τρόπου. B.

P. 287. 4. ἕτερος δὲ] Τὸν Λεωκράτην νοεῖ, οὗ κατηγόρησε Λυκοῦργος. διαμένει δὲ καὶ ὁ λόγος ἐνταῦθα κείμενος. R. B.

— 13. ἐπ' ὀνομάτων] Οἱονεὶ διὰ τοῦ περιτιθέναι ἑαυτῷ φιλάνθρωπα ὀνόματα. B.

P. 289. 3. Πειθὼ] Οἷον αὐτὴν τὴν θεὸν τὴν Πειθὼ, καθὸ λέγει ὁ Δημοσθένης πάντας πείθεσθαι τοῖς αὐτοῦ λόγοις. B.

— 13. Ἀριστείδην δὲ] Ὁ αὐτὸς ἐν τῷ περὶ Παραπρεσβείας· Ὁ δὲ οὐδὲν ἄπρακτον ἔχων μέρος τοῦ σώματος, οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὧν Ἀριστείδης, ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησι, δυσχεραίνει καὶ καταπτύει τὰς δωροδοκίας.[5] R. B.

— 16. Ἄρθμιον] Τούτου [ἀριθμὸν] Τοῦτον R.] μνημονεύει Δείναρχος ἐν τῷ κατ' Ἀριστογείτονος, καὶ Ἀριστείδης ὁ σοφιστὴς ἐν τῷ Παναθηναϊκῷ, καὶ Πλούταρχος ἐν τῷ Θεμιστοκλεῖ. R. B.

[5] Deest Apogr. Goens.

VARIANTES LECTIONES.

REISKII PRÆFATIO

νομίζουσι φύσει τινὰ τούτοις ἐνυπάρχουσαν δυσμένειαν προκατάρξαι τοῦ μίσους· φασκόντων γε τῶν περὶ τὰ ἄστρα δεινῶν, ὅτι ἔμφυτός ἐστιν ἐνίοις οὐδ' ἤ τις πρὸς ἀλλήλους τοῖς μὲν συμπάθεια, τοῖς δὲ καὶ ἀντιπάθεια. τοῦτο δὲ αὐτὸ τὸ πρᾶγμα δείκνυσιν, πολλῶν ἐκ τῆς πρώτης προσόψεως, τοὺς μὲν φιλούντων, τοὺς δὲ μισούντων, καὶ τῶν μὲν ταῖς εὐεργεσίαις εἰς εὔνοιαν προσάγεσθαι μόλις, τῶν δὲ μηδὲ ταῖς κακοποιίαις ἀλλοτριοῦσθαι ῥᾳδίως δυναμένων. ἀπεφήνατο δὲ καὶ Ἀριστοτέλης, ὅτι αἱ ἀνομοιότητες τῶν ἠθῶν ἥκιστα φιλικόν. ἐγένετο δ' ὁ μὲν Αἰσχίνης, ὥς φασιν, ἱλαρώτερος τὴν φύσιν, ὁμιλητικὸς τὸν τρόπον, ἀστεῖος, θεραπευτικὸς τῶν ἐν ἐξουσίᾳ, ἐρωτικὸς, συμποτικός. ἐκ τοὐναντίου δ' ὁ Δημοσθένης ὑδροπότης, αὐστηρὸς, ἀκριβὴς, δημοκρατικὸς, μισοτύραννος, ἐν τοῖς μάλιστα δὲ ἀνταγωνιστὴς τοῖς τοὺς Ἕλληνας, κατὰ τὸ εἰκὸς, εἰς κίνδυνον καταστῆσαι καὶ βλάψαι μέλλουσι. μόνη δ' οὖν αὕτη εὐσχήμων ἂν εἴη τῶν προφάσεων τῆς ἀπεχθείας. καίπερ γὰρ ἔχοντος Αἰσχίνου ἔγκλημα προδότης τοῖς Μακεδόσι γενέσθαι· τοῦτο δ' ὅμως οὐκ αὐτάρκως ἐξελεγχθὲν ἐν ἀμφιβόλῳ κεῖσθαι ἐάσωμεν· καὶ ἀμφότερον, τόν τε Αἰσχίνην καὶ τὸν Δημοσθένην ἄνδρα σπουδαῖον καὶ φιλόπολιν γενέσθαι συγχωρῶμεν, οἷος ἑκάτερος ὑπολαμβάνεσθαι ἀξιοῖ. κατὰ τοῦτο δὲ διεννηνόχασιν ἀλλήλων, ὅτι ὁ μὲν Δημοσθένης τοῦ τῆς πόλεως ἀξιώματος, μετὰ κινδύνου μὲν ἐν τῷ παρόντι συμπεπλεγμένου, εἰς τὸ μέλλον δὲ βεβαίας ἀσφαλείας περιποιητικοῦ ἐστοχάζετο· ὁ δ' Αἰσχίνης τὴν παροῦσαν εἰρήνην ἔστεργεν ὁποῖαν δήποτ' οὖσαν, ὁρῶν γε τὸν δῆμον τὸν Ἀθηναίων πολλῇ τε φιληδονίᾳ δεδουλωμένον, καὶ ἀσθενέστερον γεγονότα, ἢ ὥστ' ἀξιόμαχον εἶναι πρὸς Φίλιππον καὶ Ἀλέξανδρον, δεινοτάτους πράγμασι χρῆσθαι βασιλεῖς, καὶ κατ' ἐκεῖνο καιροῦ μεγίστην δύναμιν ἔχοντας. ὁπότερος δὲ τοῦ σκοποῦ μᾶλλον ἔτυχεν ἀποφαίνεσθαι, οὐ πρὸς ἐμοῦ μέν ἐστιν· ἕκαστος δ' αὐτὸς καθ' ἑαυτὸν τὰς ἑκατέρου προφάσεις καὶ λογισμοὺς ἀντεξεταζέτω, καίτοι καὶ τοῦτο σχεδὸν ἀμήχανον ὂν ἡμῖν, τοῖς τἀκριβὲς τῆς ἱστορίας ἀγνοοῦσι. τί γὰρ ἀναμφισβήτως ἂν διϊσχυριζοίμεθα χωρὶς ταύτης τῆς ὑποθέσεως· εἰ τοῦτ' ἠλήθευσεν Αἰσχίνης ἢ Δημοσθένης; τίς γὰρ τῶν πάντων οὐκ οἶδεν τοὺς τῶν ῥητόρων λόγους οὐκ ἀεὶ πρὸς τὴν ἀλήθειαν ἐξετάζεσθαι, ἀλλὰ πρὸς πειθὼ πάντα τρόπον ἀναφέρεσθαι ὡς ἐπὶ τὸ πλεῖστον; ἀποφάναι αὐτοὺς, καταφάναι, πλάττειν πάμπολλα τολμηρότατα, οὐχ ἧττον δὲ καὶ ἐπιτυχῶς; οἱ γὰρ πολλοὶ τὴν ῥίνα κορύζης μεστοὶ ὄντες, καὶ εὐμετακίνητοι τῇ φύσει, ὑπὸ τῶν ῥητόρων ἄγονται καὶ φέρονται, καὶ τοῖς μὲν ἐγνωσμένοις ἀπιστοῦσι, τὰ δὲ παραδοξότατα τῶν ὄντων ἀποδέχονται, τῇ δεινότητι τῶν λόγων ἀπατηθέντες. τὸ τοίνυν

τέταρτον τῆς ἀπεχθείας αἴτιον τάχ' ἂν ἀπὸ τῆς περὶ τὸ αὐτὸ ἐπιτήδευμα ζηλοτυπίας ὁρμηθείη· ἑκατέρου τῶν μὲν πρωτείων τῶν ἐν τοῖς λόγοις ἀντιποιουμένου, τὴν δὲ θατέρου λαμπρότητα ἐπισκοτεῖν ἑαυτῷ ἀγανακτοῦντος. ἔστι δὲ τοῦτο τὸ πάθος λυμαντικώτατον τῶν πολιτειῶν, καὶ πλείστης φυλακῆς ἄξιον τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνδρῶν, ἵνα μὴ εἰς πανολεθρίαν τῶν κοινῶν ῥιζωθὲν ἀναβλαστήσειε. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. ὅντινα δὲ τρόπον ἑκάτερος τουτονὶ τὸν ἀγῶνα ἠγωνίσατο, ἐκ τῆς τῶν ἀντιπάλων λόγων συγκρίσεως μετὰ πλείστης μὲν ἡδονῆς, ὠφελείας δ' οὐδὲν καταδεεστέρας, γνωσθήσεται τοῖς περὶ τοὺς λόγους ἐσπουδακόσιν. ἐν τούτοις γὰρ οἱ κράτιστοι τῶν ῥητόρων πᾶσαν μὲν τὴν τῆς διανοίας ἰσχὺν, πᾶσαν δὲ τὴν τῆς παιδείας τε καὶ ῥητορείας πανοπλίαν προὐχειρίσαντο. προὐθήκαμεν δὲ καταρχὰς τὸν κατὰ Τιμάρχου λόγον—καίτοι τόπου τινὸς ἐν αὐτῷ πραγματευομένου, καὶ δακετοῦ τινὸς δίκην ἐμφωλεύοντος τοῦ τοῖς καθ' ἡμᾶς ἀνθρώποις καλῶς ποιοῦσιν ἀπηχθημένου—διά τε τὴν τῶν καιρῶν ἀκολουθίαν, καὶ διότι ὁ Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας, οὐ μόνον Αἰσχίνου ὡς καθυφεμένου τὰ τῆς πόλεως κατηγορεῖ, ἀλλὰ καὶ Τιμάρχου, ἔκ γε τῶν ἐνόντων, ὑπεραπολογεῖται. τούτοις δ' ἕπεται ἡ Αἰσχίνου ἀπολογία, καὶ ἡ γραφὴ ἡ κατὰ Κτησιφῶντος, ᾗ ἀνταγωνίζεται Δημοσθένης. καὶ ἐν τούτοις τὸ δεύτερον τμῆμα τῶν λόγων καταλήγει. καίτοι τῆς τάξεως ἀπαιτούσης, τὰς ἑκατέρου ἐπιστολὰς πρὸς τῷ τέλει κεῖσθαι, ἅμα τῷ Δεινάρχου λόγῳ, διὰ τὸ τελευταῖα γεγράφθαι ταῦτα σχεδόν. ἀλλ' ἵνα μὴ τὸ μέγεθος τοῦτου τοῦ τόμου ἀνάρμοστον γένοιτο καὶ ἀσύμμετρον, τῷ πρώτῳ μέρει αὐτὰ συνετάξαμεν· ὅστις μὲν οὖν κατὰ σχολὴν ταῦτα καὶ μετὰ προσεκτικῆς συνέσεως ἀναγνώσεται, καταπτύσειεν ἂν, ὡς οἶμαι, τῶν καθ' ἡμᾶς λογοδαιδάλων, πρός γε τούτους τοὺς ῥήτορας ἀντεξεταζομένων. Augustæ Vindelicorum, Calendis Augusti Anno 1569.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ

ΒΙΟΣ

ΚΑΤΑ ΠΛΟΥΤΑΡΧΟΝ.

ΑΙΣΧΙΝΗΣ Ἀτρομήτου — φυγόντος μὲν ἐπὶ τῶν τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆμον — καὶ Γλαυκοθέας, [1] τῶν δὲ δήμων Κοθωκίδης, οὔτε κατὰ γένος τῶν ἐπιφανῶν, οὔτε κατὰ περιουσίαν χρημάτων. νέος δὲ ὢν καὶ ἐρρωμένος τῷ σώματι, περὶ τὰ γυμνάσια ἐπόνει. λαμπρόφωνος δὲ ὢν, μετὰ ταῦτα τραγῳδίαν ἤσκησεν. ὡς δὲ Δημοσθένης φησὶν, ὑπογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ ἐν τοῖς Διονυσίοις διετέλει, ἀναλαμβάνων ἐπὶ σχολῆς τὰς παλαιὰς τραγῳδίας, καὶ ἔτι παῖς ὢν ἐδίδασκε γράμματα σὺν τῷ πατρὶ, καὶ μειράκιον ὢν ἐστρατεύετο ἐν τοῖς πολλοῖς. ἀκροατὴς δὲ γενόμενος, ὡς μέν τινες λέγουσιν, Ἰσοκράτους καὶ Πλάτωνος, ὡς δὲ [2] Κεκίλιος, Λεωδάμαντος, καὶ πολιτευόμενος οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος τοῖς περὶ Δημοσθένη, [3] ἐπρέσβευεν ἄλλας τε πρεσβείας πολλὰς, καὶ πρὸς Φίλιππον ὑπὲρ τῆς εἰρήνης. ἐφ' [4] ᾗ κατηγορηθεὶς ὑπὸ Δημοσθένους, ἀνῃρημένου τοῦ Φωκέων ἔθνους, ἔτι δὲ ὡς πόλεμον ἐξάψας, ἡνίκα Πυλαγόρας ῥρέθη Ἀμφικτύοσι πρὸς [5] Ἀμφισσεῖς, τοὺς τὸν λιμένα ἐργαζομένους. ἐξ οὗ συνέβη τοὺς Ἀμφικτύονας Φιλίππῳ προσφυγεῖν, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον ἐπιθέσθαι τοῖς πράγμασι, καὶ τὴν Φωκίδα λαβεῖν. ἀλλὰ συνειπόντος αὐτῷ Εὐβούλου τοῦ Σπινθάρου [6] Προβαλησίου, δημαγωγοῦντος, τριάκοντα ψήφοις

[1] τὸν δὲ δῆμον Κωθωκίδης [2] Καικίλιος [3] ἐπρέσθευσεν [4] ἧς [5] Ἀμφισσεῖς, καὶ τὸν λιμένα ἐργαζομένοις [6] Προβαλλουσίου

Λεωδάμαντος] Apud Suidam est Ἀλκιδάμαντος τοῦ Ἐλεάτου: et ejus mox in Demosthene fit mentio, atque adeo in altero etiam Plutarchi Demosthene, ut qui Demosthenem erudierit; itemque in Lucianica Demosthenis laudatione. Itaque Leodamantem missum feci. XYLANDER.

Ἐφ' ἧς κατηγορηθεὶς] F. ἐφ' ᾗ κατηγορήθη ὑπὸ Δημοσθένους, ὡς δι' αὐτὴν ἀνῃρημένου. REISK.

Πόλεμον ἐξάψας] Prima editio me falsa distinctio decepit. Sic enim verti: *cum apud Amphictyones legatus esset delectus ad Amphissenses.* Tu vero sic verba ordinato: πόλεμον ἐξάψας Ἀμφικτύοσι πρὸς Ἀμφισσεῖς, τοὺς τὸν λιμένα (scil. τὸν ἐξάγιστον) ἐργαζομένους. WOLF. F. Ἀμφισσεῖς τὸν λιμένα ἐργαζομένους. REISK.

Ἡνίκα Πυλαγόρας ῥρέθη] Scil. ὑπ' Ἀθηναίων. Pylagoras fuisse dictos eos, qui ad Amphictyonicum concilium Græcorum in Thermopylas mitterentur, non est ignotum. Hæc clariora erunt ex Orationibus falsæ legationis. WOLF.

Προβαλλουσίου] Ego Προβαλιθίου. Est enim δῆμος Pandionidis tribus *Probalin-*

ἀπέφυγεν. εἰσὶ δ', οἱ φασι συγγράψαι μὲν τοὺς ῥήτορας τοὺς λόγους· ἐμποδὼν δὲ γενομένων τῶν περὶ Χαιρώνειαν, μηκέτι τὴν δίκην εἰςελθεῖν. χρόνῳ δ' ὕστερον, Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐγράψατο Κτησιφῶντα παρανόμων ἐπὶ ταῖς Δημοσθένους τιμαῖς· οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων, ἔφυγεν εἰς τὴν Ῥόδον, χιλίας δραχμὰς ὑπὲρ τῆς ἥττης οὐ βουληθεὶς καταθέσθαι. οἱ δὲ ἀτιμίας αὐτῷ προςτιμηθῆναι λέγουσιν, οὐ θέλοντι ἐξελθεῖν τῆς πόλεως, καὶ ἐλθεῖν εἰς Ἔφεσον ὡς Ἀλέξανδρον. τοῦ δὲ τελευτήσαντος, ταραχῆς οὔσης, ἀπᾶρας εἰς τὴν Ῥόδον, ἐνταῦθα σχολὴν καταστησάμενος ἐδίδασκε. ἀνέγνω τὲ τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος λόγον ἐπιδεικνύμενος. θαυμαζόντων δὲ πάντων, εἰ ταῦτα εἰπὼν ἡττήθη. οὐκ ἂν, ἔφη, ἐθαυμάζετε, Ῥόδιοι, εἰ πρὸς ταῦτα Δημοσθένους λέγοντος ἠκούσατε. σχολήν τε ἐκεῖ προςκατέλιπε, τὸ Ῥοδιακὸν διδασκαλεῖον κληθέν. ἔπειτα πλεύσας εἰς Σάμον, καὶ διατρίβων ἐπὶ τῆς νήσου, ὀλίγον ὕστερον ἐτελεύτησεν. ἐγένετο δὲ εὔφωνος, ὡς δῆλον ἔκ τε ὧν φησὶ Δημοσθένης καὶ ἐκ τοῦ Δημοχάρους λόγου. φέρονται δ' αὐτοῦ λόγοι τέσσαρες, ὅ τε κατὰ Τιμάρχου, καὶ ὁ τῆς παραπρεσβείας, καὶ ὁ κατὰ Κτησιφῶντος, οἳ καὶ μόνοι εἰσὶ γνήσιοι, ὁ γὰρ ἐπιγραφόμενος Δηλιακὸς οὐκ ἔστιν Αἰσχίνου. ἀπεδείχθη μὲν γὰρ ἐπὶ τὴν κρίσιν τοῦ περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ συσταθεὶς συνήγορος· οὐ μὴν εἶπε τὸν λόγον. ἐχειροτονήθη γὰρ Ὑπερίδης ἀντ' αὐτοῦ, ὥς φησι Δημοσθένης. ἔσχε δὲ καὶ ἀδελφοὺς, ὥς φησιν αὐτὸς, Ἄφοβον καὶ Δημοχάρη. [1] ἀπήγγειλε δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος [2] Ἀθηναίοις, ἐφ' ᾧ καὶ ἐστεφανώθη. οἱ δὲ εἶπον μηδὲ μαθητεῦσαι τισὶ τὸν Αἰσχίνην, ἀλλ' ἐκ τῆς ὑπογραμματείας ἀρθῆναι, ἐν τοῖς δικαστηρίοις τότε διάγοντα. πρῶτον δὲ εἰπεῖν ἐν τῷ δήμῳ κατὰ Φιλίππου, εὐδοκιμήσαντά τε, πρεσβευτὴν χειροτο-

[1] ἀντήγγειλε

[2] Ἀθηναίοις τὸ δεύτερον, ἐφ'

thus, vel Stephano teste. *Proballusios* autem et *Probulescios* non novi. Xylander. F. Προβαλησίου τοῦ τότε μάλιστα δημαγωγοῦντος. Reisk.

Καὶ διατρίβων] F. καὶ διατριβὴν καταστησάμενος; ἐπὶ τῆς νήσου, *schola rhetorica instituta*. Idem.

Καὶ ὁ τῆς Παραπρεσβείας] καὶ ὁ περὶ τῆς πρεσβείας. Nam Demosthenes, non Æschines, orationem de nequiter administrata legatione scripsit. Philostratus p. 510. appellat hanc Orat. ἀπολογίαν τῆς πρεσβείας. Idem.

Ἐπὶ τὴν κρίσιν τοῦ περὶ] F. ἐπὶ κρίσιν ἀγῶνος [vel ἀμφισβητήματος] τοῦ περί. Idem.

Ἄφοβον καὶ Δημοχάρη] In oratione Demosthenis π. Παραπρεσβ. dicuntur Φιλοχάρης καὶ Ἀφόβητος. Wolf. Forte Ἀφόβητον, ut Apollonius in vita Æschinis, qui et Φιλοχάρη alterum appellat. Xylander.

Ἀντήγγειλε] Ἀνήγγειλε, aut ἀπήγγειλε. Reisk.

Τὴν ἐν Ταμύναις] Eubœæ locus, de quo in adversariis orationibus. Wolf.

Τὸ δεύτερον] Ex orationis falsæ legationis §. νγ'. apparet inversa esse et legendum ἐφ' ᾧ καὶ τὸ δεύτερον ἐστεφανώθη, *quamobrem secundum est coronatus*. Idem. τὸ δεύτερον delend. Non enim video, quid sibi velit. Reisk.

νηθῆναι πρὸς Ἀρκάδας· πρὸς οὓς ἀφικόμενον, συστῆσαι τοὺς μυρίους ἐπὶ Φίλιππον. ἐγράφατο δὲ καὶ Τίμαρχον ἑταιρήσεως. ὁ δὲ, ἐκλιπὼν τὸν ἀγῶνα, [1] αὐτὸν ἀνήρτησεν, ὥς που φησὶ Δημοσθένης. ἐχειροτονήθη πρεσβευτὴς ὡς Φίλιππον [2] μετὰ Κτησιφῶντος καὶ Δημοσθένους περὶ τῆς εἰρήνης· ἐν ᾗ ἄμεινον τοῦ Δημοσθένους ἠνέχθη. τὸ δεύτερον δέκατος ὢν, κυρώσας ὅρκοις τὴν εἰρήνην, κριθεὶς [3] δ', ἀπέφυγεν, ὡς προείρηται.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ, ΑΔΗΛΟΥ.

ΑΙΣΧΙΝΗΣ υἱὸς μὲν ἦν Ἀτρομήτου τοῦ γραμματικοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους τελούσης. φασὶ δὲ αὐτὸν παῖδα μὲν ὄντα ἐν τῷ διδασκαλείῳ τοῦ πατρὸς ὑπουργεῖν, καὶ τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν. ταύτην δ' ἐκ σκοτεινῶν τόπων τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ὁρμωμένην, Ἔμπουσαν ὀνομασθῆναι. ἐπεὶ νυκτερινὸν φάντασμα ἡ Ἔμπουσα. γενόμενον δὲ μειράκιον ὑποκριθῆναι τραγῳδίαν, ὥςτε τριταγωνιστεῖν. ὄντα δὲ λαμπρόφωνον, γραμματεῦσαι Ἀριστοφῶντι, καὶ μετὰ τοῦτον Εὐβούλῳ· καὶ

[1] αὐτὸν [2] κατὰ [3] Deest δ'.

Μετὰ Κτησιφῶντος] Fortasse μετὰ, et pro Κτησιφῶντος in nonnullis Demosthenicis codicibus legitur Κηφισοφῶντος: δέκατος ὢν καὶ κυρώσας lego. Wolf. κατὰ Κτησιφῶντος καὶ Δημοσθένους delenda. Sunt enim extra locum suum, ut alia quædam hic loci luxata. Reisk.

Τὸ δεύτερον] F. Τὸ δεύτερον δὲ χειροτονηθεὶς πρεσβευτὴς, δέκατος. Idem.

Τοὺς θιάσους τελούσης] *Quæ sodalitia*, sive *sodalitates initiaret*. Ea cujusmodi fuerint, Demosthenes περὶ στεφάνου declarat. παρὰ τὸν θίασον sive θύασον (per υ) qui proprie *bacchantium cœtus* est. unde Θυάδες, αἱ μαινόμεναι γυναῖκες, καὶ Διονυσιάζουσαι ἢ βακχεύουσαι, ἀπὸ τοῦ θύειν, τοῦ ἱερά τε ῥέγειν, καὶ μαίνεσθαι, fit θυασώτης, *gregalis, sodalis*. Venetus interpres ἀνώνυμος: *Quæ eos initiabat, qui sacris Eleusiniæ Cereris interesse cupiebant*. Wolf.

Ὑπουργεῖν] Hoc ut fortunæ tenuitatem arguit, ita laudem pietatis et industriæ potius Æschini, quam infamiam conciliat, apud cordatos quidem homines; qui fortunam nemini objiciendam esse censent: ut Demosthenes etiam confitetur. ἐν τῷ διδασκαλείῳ τῷ πατρὶ, malim legere, quam τοῦ πατρός. Sin hic casus placet: referendus erit non ad ὑπουργεῖν: sed ad διδασκαλείῳ, *navasse operam in schola patris*. Idem.

Ταύτην δ' ἐκ σκοτεινῶν] Utrum de industria se abscondit, territandi causa? (id quod magnæ levitatis esset) an sacra sua (id quod probabilius est) in tenebrosis specubus peregit? Venetus, *quia ex tenebrosis locis, pueris et mulieribus incitata prodibat*. Idem.

Ὁρμωμένην] Utrum τοῖς παισὶν, pro πρὸς τοὺς παῖδας? an, ὀνομασθῆναι τοῖς παισὶν, ἀντὶ τοῦ, ὑπὸ τῶν παίδων. possit (etsi hoc mihi non displicet) eodem fere sensu legi, ἐρωμένην τοῖς παισί. Idem.

Ἔμπουσαν] Παρὰ τὸ ἕνα μόνον πόδα ἔχειν, ut opinor. Hujus sive monstri sive spectri (φάσμα rectius legi puto quam φάντασμα) vide ἐν Βατράχοις apud Aristophanem. Idem.

Τριταγωνιστεῖν] Τῶν τριταγωνιστῶν, auctore Demosthene, γέρας ἐξαίρετόν ἐστι, βασιλέας καὶ τυράννους εἰσιέναι. Honestum igitur, in vitæ genere parum honesto, locum tenuit Æschines. Idem.

Ὄντα δὲ λαμπρόφωνον γραμματεῦσαι] Fortassis ὑπογραμματεῦσαι. Initio putabam turbatum esse verborum ordinem, et sic legendum τριταγωνιστεῖν ὄντα λαμπρόφωνον, καὶ ὑπογραμματεῦσαι Ἀριστοφῶντι. Sed claritas vocis pro concione æque necessaria est, ac in theatris. Idem.

Γραμματεῦσαι] M. ὑπογραμματεῦσαι, ut est apud Demosthenem. *Fuisse notarium*, aut *scribam Aristophontis:* quæ functio quam apud alios honorata, tam apud

ἀναγινώσκοντα, ψηφισμάτων ὁμοῦ καὶ νόμων ἔμπειρον γενόμενον, ἐπιθέσθαι τῷ βήματι, καὶ τῶν κατ' αὐτὸν διενεγκεῖν, ὄντα εὐφυῆ. μετὰ δὲ τὴν Φιλίππου τελευτὴν δόξαντα πολεμεῖν τῷ δήμῳ, καὶ διαπέμπεσθαι τῷ Ἀντιπάτρῳ κατὰ τῆς πόλεως, διὰ τοῦτό τε εἰληφέναι ἐν Θήβαις κτήματα, εὐθύνοντα Κτησιφῶντα, ὅτε ἔγραψε Δημοσθένην ἐν τῷ θεάτρῳ ἀναγορεῦσαι στεφάνῳ, μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων. ἀτιμωθέντα δὲ ἀπῆραι εἰς τὴν Ἀσίαν, καὶ ἐλθεῖν εἰς Ἔφεσον, οἰηθέντα κατάξειν αὐτὸν εἰς Ἀθήνας [1] Ἀλέξανδρον. πυθόμενος δὲ τετελευτηκέναι τὸν βασιλέα, καὶ ταραχὴν εἶναι τῶν διαδεχομένων, καταφυγεῖν εἰς Ῥόδον. ἔνθα δεομένων αὐτοῦ Ῥοδίων τὴν τέχνην διδάξαι τὴν ῥητορικὴν, ἀρνήσασθαι, εἰπόντα μήδ' αὐτὸν εἰδέναι. δίκας γοῦν κελευόντων εἰπεῖν, οὐδὲ τοῦτο θελῆσαι· συμβαλόντα, ὅτι ἐν τῇ πατρίδι ἡττηθεὶς, κομιδῇ γ' ἂν ἐπὶ γῆς ἀλλοτρίας διαφθαρῆναι. τέλος οὖν ἐπὶ τὴν τοῦ πατρὸς ἐλθεῖν τέχνην, καὶ διδάσκειν τοὺς παῖδας γράμματα. Δημοχάρης δὲ, ὁ ἀδελφιδοῦς Δημοσθένους, εἰ ἄρα πιστευτέον αὐτῷ λέγοντι περὶ Αἰσχίνου, φησὶν Ἰσχάνδρου τοῦ τραγῳδιοποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην, καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα, αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου. ἔνθεν δ' οὖν ὁ Δημοσθένης Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων· καὶ

[1] τὸν Ἀλέξανδρον

Athenienses contempta fuit. διότι οἱ γραμματεῖς τριῶν ἢ τεττάρων δραχμῶν πωνηροὶ ἦσαν: ut ex Demosthene, Plutarchi Eumene, et Ulpiano intelligitur. Idem.

Ἐπιθέσθαι τῷ βήματι] *Invasisse suggestum, ad rostra se contulisse*, τῶν λεγόντων γενέσθαι orationes habet ad populum instituisse. Venetus: *ad remp. et res civitatis tractandas se transtulit.* Idem.

Διαπέμπεσθαι] S. ἐπιστολὰς, *missitasse literas.* Idem.

Κτήματα, καὶ εὐθύνοντα] Leg. et v. 13. συμβαλόντα: conjectura et ibi de patria capta: quod conjiceret se, quia in patria damnatus fuisset. Idem.

Στεφάνῳ] Ad hunc locum Wolf p. 332. quidem asteriscum apposuit, annotatum tamen p. 346. (ed. Basil.) nihil reliquit. Videtur legendum esse στεφαναθέντα. Reisk.

Διαφθαρῆναι] Rursus h. l. quoque asteriscum quidem exhibet editio Wolfiana, annotationis autem nihil. Legendum videtur μέλλει διαφθαρῆναι. *ex eo, quod domi victus esset, facta conjectura, fore multo magis, ut foris pereat.* Idem.

Ἀναστῆναι] *Surrexisse a Sannione.* id est τὸν Σαννίωνα ἀναστῆσαι αὐτὸν, *erectum esse.* Sannionem eum sublevasse. Nisi quis τὸ Σαννίωνα ἀναστῆσαι, ἀντὶ τοῦ ἐκβληθῆναι ἀποδοκιμασθέντα malit intelligere, *rejectum et expulsum esse.* Wolf. Rectum vidit Wolf. ἀναστῆναι h. l. valet idem, atque ἀνάστατον γενέσθαι, *coactum esse a Sannione e patria emigrare.* Cujus auctoris hoc sit breve fragmentum, neque mihi constat, et Wolf dudum fassus est neque sibi magis constare, addendo ad hujus fragmenti titulum vocabulum ἀδήλου. quod vocabulum in Aldina non legitur. Mihi tamen videtur Libanii esse. Fragmentum hoc, et alterum statim insequens Apollonii, primus edidit Aldus Manutius, unde repetiit Hieronymus Wolf, sed loco alieno, ubi minime quæras, tomo Demosthenis sui Basileæ editi secundo, p. 332. et 333. cujus ordinem, ut alia non pauca haud probanda, secutus Taylor ambo istæc fragmenta, et tertium item, in fronte orationis in Ctesiphontem, ab ipso quoque Wolfio prætervisum, a me autem restituendum ex Aldina, omisit. Henricus Stephanus ista tria fragmenta, neutiquam illa contemnenda, ab editione sua exclusit, errore magis et inadvertentia quadam, quam consilio. Reisk.

μετὰ Σωκράτους καὶ Σιμύλου, τῶν κακῶν ὑποκριτῶν, ἀλᾶσθαι κατ' ἀγρούς. εἴη ἂν οὖν ἐνθένδε ἀρουραῖος λεγόμενος. ἦν δὲ τὸν δῆμον ὁ Αἰσχίνης Κοθωκίδης.

ΑΠΟΛΛΩΝΙΟΥ ΕΙΣ ΑΙΣΧΙΝΗΝ ΕΞΗΓΗΣΙΣ.

ΑΙΣΧΙΝΗΣ ὁ ῥήτωρ τὸ μὲν γένος ἦν Ἀθηναῖος, τὸν [1] δὲ δῆμον Κοθωκίδης, υἱὸς δὲ Ἀτρομήτου, ὃν φασι πρότερον Τρόμητα καλούμενον, ὕστερον συλλαβῆς προσθέσει ἀντὶ Τρόμητος Ἀτρόμητον προσαγορευθῆναι· γεγονέναι δὲ τὸ [2] καταρχὰς δοῦλον, καὶ παῖδας ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ Θησείῳ καὶ τῷ τοῦ Ἰατροῦ ἡρῴῳ. εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. μητρὸς δὲ ἦν ὁ Αἰσχίνης Γλαυκοθέας, ἢ, ὡς ἔνιοι, Γλαυκίδος. ἣν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι, καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου ἡρῴῳ. ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης, ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. γεγονὼς δὲ ἐκ τούτων ὁ Αἰσχίνης, καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, Ἀφοβήτου καὶ Φιλοχάρους, τοῦ τὰς ἀλαβαστροθήκας καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρέτει γράμματα διδάσκοντι. ἀνὴρ δὲ γενόμενος, τὸ μὲν πρῶτον ὑπεγραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ Ἀφοβήτῳ. ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ ἔργον. ἔπειτα ἀποστὰς τούτου, τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν, καὶ ἐν Κολυττῷ ποτὲ Οἰνόμαον ὑποκρινόμενος κατέπεσε. μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ, ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινε. καὶ δοκεῖ τὴν ὑπὲρ Φιλίππου αἱ Ἀλεξάνδρου πολιτείαν

[1] Deest δέ.

[2] κατ' ἀρχὰς

Καὶ παῖδας ἔχοντα διδάσκειν] Διδάσκειν παῖδας τὰ γράμματα. Venetus: *talem quod ei pueros grammaticam docuisse opus fuit.* Non placet: *eum propter liberos suos, ludum aperuisse.* Cætera, quæ aliquid obscuritatis habere videntur: declarabit lectio τῶν περὶ τῆς παραπρεσβείας ἀντιπάλων λόγων, καὶ τῶν περὶ τοῦ στεφάνου. Wolf. Sententia postulat παιδείας μετέχοντα. Reisk.

Τῷ τοῦ Ἰατροῦ ἡρῴῳ] Id est, ut opinor, τῷ Ἀσκληπιείῳ, *ad ædem Æsculapii.* Sed Ulpianus, si recte memini, Aristomachum quendam medicum fuisse appellatum dicit. Wolf.

Ἡταιρηκέναι] Ἑταίρα, ἀντὶ πόρνης. ἔθεν ἑταιρεῖν. quod ad utrumque sexum refertur. Unde lex Solonis, τὸν ἡταιρηκότα εἴργειν τοῦ βήματος. Idem. Non equidem memini ἑταιρεῖν de meretrice usurpari, a bonis quidem scriptoribus, qui de solis maribus corpus prostituentibus usurpant. Verum ab hac fæce Græcitatis, qua Grammatici redundant, ecquis tandem exquisitam et limatam dictionem requirat? Reisk.

Ὑπηρέτει] Sic leg. Wolf. In Aldina nempe est ὑπηρετεῖ. Reisk.

Ὑπεγραμμάτευσε] Sic leg. Wolf. In Aldina est ὑπογραμμ. Reisk.

Κατέπεσε] Pro ἐξέπεσε. Bene si habet, sequioris est idiotismus Græcitatis. Idem.

Ἐπὶ τὸ] Sic lege. Wolf. Nam in Al-

ἐπανελέσθαι, κοινωσάμενος Φιλοκράτει τὰ πράγματα, καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρασθαι πολιτείαν πρὸς τοὺς περὶ Δημοσθένην, τοὺς τἀναντία τοῖς Φιλίππου πράγμασι καὶ Ἀλεξάνδρου πολιτευσαμένους. ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν, ἄλλα τε πολλὰ μαρτύριά ἐστι, καὶ δὴ πάντων ἐκεῖνο ἐναργέστατον. ἑλομένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν, οὐκ ἐπέτρεπεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλή, ἀλλ' ἀπελάσασα αὐτὸν, ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῶν Ἀθηναίων, Ὑπερίδῃ λέγειν προςέταξε. φασὶ μέν τοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε καὶ Σωκράτους, ψευδόμενοι. ἦν δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος, ὃς καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. λέγεται δ' ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. αὐτὸς δὲ ὁ Αἰσχίνης περὶ τοῦ γένους [1] αὐτοῦ ἐν τῷ [2] περὶ παραπρεσβείας φησὶν, ὡς ὁ πατὴρ αὐτοῦ Ἀτρόμητος [3] φρατρίας μὲν ἦν καὶ γένους τῶν Ἐτεοβουταδῶν, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια. νέος δ' [4] ὢν ἤθλει· καὶ χρόνῳ ὕστερον, τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ, ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα· καὶ στρατευόμενος, εὐνοίας καὶ ἀριστείων ἠξιώθη· καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας, συγκατήγαγε τὸν δῆμον· βιῶναι δὲ ἀναμαρτήτως· εἶναι δὲ αὐτὸν ἐτῶν ἐννενηκόντα τεσσάρων. φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. τὸν δὲ ἀδελφὸν αὐτοῦ Φιλοχάρη μὲν ἐν γυμνασίοις διατρίβειν, καὶ μετὰ Ἰφικράτους ἐστρατεῦσθαι, καὶ συνεχῶς στρατηγεῖν. Ἀφόβητον δὲ, τὸν νεώτατον αὐτῷ ἀδελφὸν, πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενόμενον καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι. περὶ δὲ ἑαυτοῦ φησὶν, ὡς, ἐκ παίδων ἀπαλλαγεὶς, περίπολος τῆς Ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὤν. οὗτοι γὰρ μεθ' ὅπλων τὴν χώραν περιήρ-

[1] αὐτοῦ [2] Deest περί. [3] φατρίας [4] ὢν κάλλει καὶ χρόνῳ,

dina est τῷ. Reisk.

Ἄρασθαι πολιτείαν] Non videtur bene Græcum. Aut αἱρεῖσθαι πολιτείαν dicunt Græci, aut ἄρασθαι πόλεμον. Num ergo πόλεμον hic leg. erit? Idem.

Ἕτερος ῥήτωρ Α. Ἐλευσίνιος] Ex hoc loco dubium emergit an corrigendus ex eo sit Aristides in Platonica I. pro Rhetorica, ubi legitur Αἰσχίνης ὁ Λυσανίου, et legendum pro ὁ Λυσανίου ibi sit ἐλευσίνιος, an contra ex loco Aristidis corrigendus sit Apollonii textus et leg. ὁ Λυσανίου, pro ἐλευσίνιος. Aliunde lux non affulget, et potuit esse idem Αἰσχίνης ὁ Λυσανίου ἐλευσίνιος. Ideo nihil mutandum, donec aliunde veritas emergat. Palmer.

Ἐν τῷ παραπρεσβείας] Lege ἐν τῷ περὶ παραπρεσβ. Wolf. Videtur tamen vulgata quodammodo ferri posse, præsertim cum non sine articulo τῆς dicatur, sed semper cum eo, in ista quidem constructione cum περί. περὶ τῆς παραπρεσβ. Reisk.

Φατρίας] Lege φρατρίας. Wolf. Sed errat. utrumque perinde usurpatur. Reisk.

Κάλλει] Ex oratione περὶ παραπρ. apparet leg. esse, νέος δ' ὢν ἤθλει, καὶ χρόνῳ ὕστερον. Wolf. Scite, me quidem judice. Possit quoque legi κάλλει διαφέρων καὶ ῥώμῃ. *forma præstans et robore corporis.* Reisk.

Εὐνοίας] Fortassis ἐπαίνων. Wolf.

χοντο κατὰ [1] πρόσταγμα νόμου. ἐστρατεύσατο δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς Μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετὰ Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς Φλιοῦντα πομπὴν, κινδύνου [2] δὲ γενομένου περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν, ἀξιεπαίνως ἐμαχέσατο, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε, καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις, εἶτ' ἐστεφανώθη μαχόμενος. ἐτελεύτησε δὲ Αἰσχίνης, ἀναιρεθεὶς ὑπὸ Ἀντιπάτρου, καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν, βεβιωκὼς ἔτη οέ. τριῶν δὲ ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων, — ὁ γὰρ Δηλιακὸς νόθος ἐστὶ —, τὸν μὲν κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον γεγραμμένον· ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται. τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους, πρότερός ἐστι τῇ τάξει ὁ κατὰ Τιμάρχου. ἐν γὰρ τῷ μετ' αὐτὸν, τῷ περὶ τῆς Παραπρεσβείας, μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

[1] πρόσταγὴν [2] [δὲ]

Τὴν ἐν τοῖς Μέρεσι] Hæc tractanda erunt in oratione Æschinea τῆς παραπρ. ubi παραπομπὴν et Νεμεάδα χαράδραν legitur. Idem. Scil. Aldina hic loci simplex πομπὴν et χαράδρα; dat, hoc quidem vitiose. Reisk.

Πομπὴν] Quænam fuit hæc pompa? nulla, mendum est, repone ex ipso Æschine infra in oratione τῶν. Παραπρεσβ. §. νγ'. παραπομπὴν, id est, *deductionem*. Palmer.

L 007 587 048 5

PA
3479
A1
1828
v.12

UC SOUTHERN REGIONAL LIBRARY FACILITY
AA 000 538 400 3